721056

47

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

Περὶ Βίων, Δογμάτων, ⸗ Ἀποφθεγμάτων ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων

ΒΙΒΛΙΑ ΔΕΚΑ.

Ταῖς ἀκριβεστάταις τῶν Ἐκδόσεων μεθ' ὅσης οἷόν τε τῆς ἐπιμελείας ἐκβληθέντα τε καὶ διορθωθέντα παρὰ

ΣΠΥΡΙΔΩΝΟΣ ΒΛΑΝΤΗ

Διδασκάλου τῆς Φλαγγινιανῆς Φροντιστηρίου.

ΕΝΕΤΙΗΣΙ. 1798.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

* БОТАНИЧКИ КОНГРЕС ДЕВРЕЛЕМ

ΤΟΙΣ

ΕΝΤΙΜΟΤΑΤΟΙΣ ΚΑΙ ΕΥΓΕΝΕΣΤΑΤΟΙΣ

ΚΥΡΙΟΙΣ ΚΥΡΙΟΙΣ

ΝΙΚΟΛΑΩ

ΚΑΙ ΛΟΙΠΟΙΣ ΑΔΕΛΦΟΙΣ

ΖΩΣΙΜΑ

ΤΟΙΣ ΕΞ ΙΩΑΝΝΙΝΩΝ.

ΕΥ ΠΡΑΤΤΕΙΝ.

Τὸ περὶ Βίων, Δογμάτων, καὶ Ἀποφθεγμάτων τῶν ἐν Φιλοσοφίᾳ ἀνδοκιμησάντων, τὸ τῆς σεβασμίας Ἀρχαιότητος Ὑπόμνημα, τὸ τοσοῦτον τοῖς Φιλολόγοις ποθε-

μότερον, ὅσον τὸν καθ' ἡμᾶς χρόνον ἀναμιόμτε ἐ δυσωόριστον· τὸ Σύγγραμμα λέγω τῦ Λαερτίυ Διογμύς, τὸ ἐ διὰ τῆς ὑμετέρας σωδρομῆς εἰς φῶς μῶ προαγόμενον· εἰς ποῖον ἔπρεπε δικαιότερον, εἰ μὴ εἰς ὑμᾶς, ὦ Ἄξιοι Φιλοπάτριδες, μὰ προσφωνηθῆ; Ὑμεῖς, ὐχὶ μόνον διὰ ῆ λόγων, ἀλλὰ μάλιστα ἐ διὰ ῆ ἔργων, καταφανεῖς ἐποιήσατε τὰς ὑμῶν ἀρετὰς, καὶ τὰ καθήκοντα ὅλα ἐπληρώσατε τῦ Ἀγαθῦ Πολίτυ, κοπιῶντες διλυεκῶς ἐ ἀμαχολύμενοι πρὸς μείζονα τῦ Ἑλλωικῦ Γενύς, ἐ τῆς ὑμῶν Πατρίδος ὐδαιμονίαν. Πῶς λοιπὸν μὰ μὴ σᾶς ὀνομάσω ἀληθεῖς ζηλωτὰς ῆ ὀλίγων ἐκείνων, οἵτινες ἠξιώθησαν τῆς Ἀθανασίας, διὰ ῆ αὐτῶν κατορθωμάτων, ἅτινα καὶ ὑμεῖς ἐμεταχειρίσθητε; Μάρτυρες δὲ ῆ παρ' ἐμῦ λεγομένων οἱ ὑμέτεροι Συμπολῖται, οἱ ὁποῖοι, εἰ ἐ ἀπόντες, ἔχυσι παύτοτε πρὸ ὀφθαλμῶν τὰ μεγάλα ὑμῶν ἀνεργετήματα· μεθ' ὧν εἷς καὶ ἐγὼ, ὅς τις αὖ καὶ μὰ σᾶς παρομοιάσω δεν δυνάμαι εἰς τὰ λαμπρὰ κατορθώ-

θώματα, καυχῶμαι ὅμως ἐ χαίρω ὡς κοι-
μὼ ἔχωμ τὼ Πατρίδα. Ἀλλὰ δὴ καὶ ἡ
τῶμ Γωαμμίμωμ Πόλις, ἡ γλυκυτάτη Πα-
τρίς μας, ἰδὸ τὰς χεῖρας ὀρέγει καὶ αὕτη
πρὸς ὑμᾶς τὰ ἀγαπητὰ τέκνα της, καὶ σωὸ
διαχύσει ψυχῆς, ἐ γηθοσώῳ τῇ φωνῇ ὅτ-
τω βοᾷ λέγουσα πρὸς τοῖς ἄλλοις ἐ τάδε·

„ Τοῦτό μου τὸ Σχολεῖομ τὸ πρότερομ κα-
„ ταπεπτωκὸς ἐ ἐκλεῖπομ, μωῦ δὲ αὖ ἀκαι-
„ μιθεὶ, ἐ πολλῶμ τροφίμωμ τε ἐ μαθη-
„ τῶμ, ἐ εὐδημόμωμ Διδασκάλωμ, καὶ πλου-
„ σίωμ εἰσοδημάτωμ προμηθώθεὶ, πρὸς ἀεί-
„ διομ αὐτῦ διαμομὴμ, δεὶ εἶμαι τάχα ὅλομ
„ ὑμέτερομ κατόρθωμα, ὦ τέκνα μου παμ-
„ φίλτατα; Αἱ χαρμόσυμοι καὶ εὐχαριστή-
„ ριοι φωναὶ, αἱ ὁποῖαι ἀκαταπαύστως ἠχῦ-
„ σιμ εἰς τὰ ὦτα μου, εἰσὶμ αἱ ὑπερήδιστοι
„ φωναὶ τῆς μειρακίωμ μου, τῆς δι' ὑμᾶς καθ'
„ ἑκάστωμ καρπουμένωμ καὶ τὼ ἀγαπαίαμ
„ τροφὼ, καὶ παιδείαμ τὼ καλλίστωμ. Αἱ
„ εὔθερμοι ἐ εἰλικρινεῖς εὐχαὶ, ἐ τὰ ὁλο-
„ καυτώματα, ἄτιμα ἡμέραμ ἐ μύκτα προσ-

„ φέ-

„ φέρονται τῷ Ἐπταμήνῳ Βασιλεῖ, εἰσὶν
„ αἱ χαὶ ὁλοκαυτώματα τῷ παρηγορημέ-
„ νων πατέρων, καὶ τῷ φιλοτέκνων μητέ-
„ ρων, τῷ δι' ὑμᾶς ὁρώντων τὴν τῶν τέ-
„ κνων αὐτῶν προκοπὴν τε καὶ ἐπίδοσιν. Δι'
„ ὑμᾶς αἰαζωπεπυρωμένος ὁ τῶν Διδασκά-
„ λων ζῆλος, δι' ὑμᾶς τεθηγμένα τὰ τῶν
„ μαθητῶν πνεύματα, καὶ ἐμὶ λόγῳ δι' ὑμᾶς
„ αὐτὴ ἐμαυτὴν ὁρῶ σήμερον λελαμπρυσμέ-
„ νην ὅλην καὶ γέμουσαν περιχαρῶν ἐλ-
„ πίδων.

Τοιούτῳ τρόπῳ λαλεῖ πρὸς ὑμᾶς, ὦ Ἄ-
ξιοι Πολῖται, ἡ Πατρίς· ὑμεῖς δὲ, ἀκροώ-
μενοι αὐτὴν, βέβαιος εἰμὶ ὅτι θέλετε πλη-
ρωθῆ τὴν ψυχὴν ἀπὸ ἄκραν χαρὰν καὶ εὐ-
φροσύνην. Αὐτοὶ εἶναι οἱ ἀειθαλεῖς στέφα-
νοι, ὁπὸ ἐκείνη σᾶς ἔξύφηνε μὲ τὰς χεῖ-
ράς της· αὐτὰ εἶναι τὰ ἄθλα, ἃ τινα ἐπα-
πόκειται ὑμῖν διὰ τὰς ἀρετάς.

Εἴθε τὸ ὑμέτερον παράδειγμα νὰ διεγεί-
ρῃ τὰ αὐτὰ φρονήματα καὶ εἰς ἄλλους τῶν Ὁ-
μογενῶν μας, οἵτινες τόσον ἀπέχουσιν ἀπὸ

τὸ

τὸ μὰ σᾶς μιμηθῶσιμ, ὥϛε μόλις ἐμθυμᾶμ-
ται ὅτι ἔχυσι Παϱρίδα· καὶ φθαίυσι πολ-
λάκις εἰς τὸ πεπρωμένομ τέλος, χωρὶς μὰ
ἀφήσυμ μετ' αὐτὺς ἄλλω τιμὰ μιήμω, εἰ
μὴ ἐκείνω τῶμ ἐλαττωμάτωμ αὐτῶμ. Διά-
γυσι μὲμ οἱ τοιῦτοι τὸμ βίομ ἐμ βαθυτάτη
ἀγμοίᾳ· τὰ δὲ πλύτητωμ εἰς ἄλλο δὲμ λθη-
σιμαίυσι, παρὰ εἰς τὸ μὰ αὐξαίωσιμ ἐπὶ
πλεῖϛομ τὰ μέφη αὐτῆς. Ἡ ὑπερηφαίεια,
ϗ φιλαργυρία εἶναι οἱ σωίϛροφοι τῆς ἀκ-
λεῦς ϗ ζοφώδυς αὐτῶμ ζωῆς. Αὐτὶ μὰ συ-
μεργῶσιμ εἰς τὸ συμφέρομ τῦ Γέμυς τωμ, ὐ-
δέμα λόγομ πεϱὶ τύτυ ποιῦμται· αὐτὶ μὰ
αὐταμείβωσι τὺς πόμυς τῶμ πεϱὶ τὰ μαθή-
ματα ἀγωμιζομέμωμ, ϖϱοθυμῦμται μὰ τὺς
καταθλίβωσιμ ἀϖτελίζομτες αὐτύς· αὐτὶ μὰ
συϛήσωσιμ, ἢ τὐλάχιϛομ μὰ αὐξησιμίσυμ
καμέμα κοιμωφελὲς Ἔ"ργομ, ϖϱοτιμῦμ μετὰ
θαίατομ τὰ πλύτητωμ ἢ μὰ ϖοιήσωσι ϖαμ-
τοτιμῶ τῷ ἀδοξίαμ τωμ, ἢ μὰ διασκοϖπι-
θῶσι τῇ φοϱᾷ τῶμ τυχόμτωμ αὐέμων. Κα-
τὰ τῦτομ τὸμ ϖϱόϖομ . . . . ἀλλ' ἐγὼ φι-

λογε-

λογισμῇ ζήλῳ φερόμενος, σχεδὸν ἀπαιδεύτους παρέβην τὰς ὅρους μιᾶς συντόμου ἐπιστολῆς. Πλὴν δὲν λυπᾶμαι, ὦ Γερμανοί, δι' ἄλλο παρὰ μόνον διότι δὲν ἐδυνήθην νὰ ἀποδώσω ὑμῖν τὰς κατ' ἀξίαν ἐπαίνους, καὶ ἐκείνας τὰς μαρτυρίας, ὁποῦ ἄλλοι ἀδοκιμώτεροι κάλαμοι ἤδη ἑτοιμάζονται νὰ παραδώσουν τοῖς ἑπείτα. Ἔρρωσθε ἀδαμονῦντες ἐπὶ τὸ κρεῖττον.

Τῆς ὑμετέρας Ἐντιμότητος

Ὅλος ὑποκείμενος

Νικόλαος Γλυκύς.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

Περὶ Βίων, Δογμάτων καὶ Ἀποφθεγμάτων, ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων.

ΤΟ ΠΡΟΟΙΜΙΟΝ.

Ὅτι τῆς φιλοσοφίας ἔργον οὐκ οἴονται εἶναι τὸ παρὰ τοῖς βαρβάροις ἄρξαι. γεγονέναι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Βαβυλωνίοις καὶ Ἀσσυρίοις Χαλδαίους, καὶ γυμνοσοφιστὰς παρὰ Ἰνδοῖς· παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους· καθά φησιν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Σωτίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς διαδοχῆς. Φοινικά τε γενέσθαι Ὄχον, καὶ Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα. Αἰγύπτιοι μὲν τὸν Νείλου γενέσθαι παῖδα Ὄφιν· οὗ ἄρξαι φιλοσοφίας, ἧς τοὺς ὁρισαμένους, ἱερέας εἶναι καὶ προφήτας.

Ἀπὸ δὲ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἐτῶν εἶναι μυριάδας τέσσαρας καὶ ὀκτακισχίλια ὀκτακόσια ἑξηκονταξία ἔτη. ἐν οἷς ἡλίου μὲν ἐκλείψεις γενέσθαι ξιακοσίας ἑβδομηκονταξεῖς, σελήνης δὲ ὀκτακοσίας ξιακονταδύο. ἀπὸ δὲ τῶν Μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρ-

σίων, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς, ἐν τῷ περὶ μαθημάτων φησὶν, εἰς τὸν Τροϊκὸν ἄλωσιν ἔτη γεγονέναι πεντακισχίλια· Ξάνθος δὲ ὁ Λυδὸς, εἰς τὸν Ξέρξου διάβασιν ἀπὸ τοῦ Ζωροάστρου, ἑξακόσια φησι· καὶ μετ' αὐτὸν γεγονέναι πολλούς τινας Μάγους καὶ διαδόχους, Ὀστάνας καὶ Ἀστραμψύχους, καὶ Γωβρύας καὶ Παζάτας, μέχρι τῆς Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως.

Λανθάνουσι δ' αὐτοὺς τὰ τῶν Ἑλλήνων κατορθώματα; ἀφ' ὧν μὴ ὅτι γε φιλοσοφία, ἀλλὰ καὶ γένος ἀνθρώπων ἤρξε, Βαρβάροις προσάπτοντες. ἰδοὺ γοῦν τοῦτο μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, τοῦτο δὲ Θηβαίοις Λίνος. καὶ τὸν μὲν, Εὐμόλπου παῖδά φασι, ποιῆσαι δὲ θεογονίαν καὶ σφαῖραν πρῶτον· φύσει τε ἐξ ἑνὸς τὰ πάντα γενέσθαι, καὶ εἰς ταὐτὸν ἀναλύεσθαι. τοῦτον τελεσθῆναι Φαληροῖ, καὶ αὐτῷ ἐπιγεγράφθαι τόδε τὸ ἐλεγεῖον,

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν ὕδας,
Μουσαῖον, φθίμενον σῶμ', ὑπὸ τῷδε τάφῳ.

Ἀπὸ τοῦ πατρὸς δὲ τοῦ Μουσαίου καὶ Εὐμολπίδαι καλοῦνται παρ' Ἀθηναίοις. τὸν δὲ Λίνον, παῖδα εἶναι Ἑρμοῦ καὶ Μούσης Οὐρανίας· ποιῆσαι δὲ κοσμογονίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζώων καὶ καρπῶν γενέσεις· τούτου ἀρχὴ τῶν ποιημάτων ἥδε,

Ἦν ποτέ τοι χρόνος ὅτε, ἐν ᾧ ἅμα πάντ' ἐπέφυκει.

ὅθεν λαβὼν Ἀναξαγόρας, πάντα ἔφη χρήματα γεγονέναι ὁμοῦ, νοῦν δὲ ἐλθόντα, αὐτὰ διακοσμῆσαι. τὸν δὲ Λίνον τελευτῆσαι ἐν Εὐβοίᾳ τοξευθέντα ὑπὸ Ἀπόλλωνος, καὶ αὐτῷ ἐπιγεγράφθαι·

Ὧδε

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μέσης Οὐρανίης ἰὸν δυσέφαμον.

καὶ ὧδε μὲν ἀφ' Ἑλλήνων ἤρξε φιλοσοφία· ἧς καὶ αὐτὸ τὸ ὄνομα τῇ Βαρβάρων ἀπέσραπται προσηγορίαν.

Οἱ δὲ τὴν εὕρεσιν διδόντες ἐκείνοις, φεύγουσι καὶ Ὀρφέα τὸν Θρᾷκα, λέγοντες Φιλόσοφον γεγονέναι, καὶ εἶναι ἀρχαιότατον. ἐγὼ δὲ, εἰ τὸν περὶ θεῶν ἐξαγορεύσαντα πιαύτα, καὶ Φιλόσοφον καλεῖν, οὐκ οἶδα. τίνα γὰρ δεῖ προσαγορεύειν τὸν παθὼ τὸ ἀνθρώπειον πάθος ἀφειδῶντα τοῖς θεοῖς προσείφαι, καὶ τὰ ἀσεβέως ὑπό τινων ἀνθρώπων αἰχρηγόημα καὶ τῷ τῆς φωνῆς ὀργάνῳ; πᾶτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δ' ἐν Δίῳ τῆς Μακεδονίας ἐπίγραμμα, κεραυνωθῆναι αὐτὸν, λέγον ὅπως,

Θρῄϊκα χρυσολύρῃω τῇ δ' Ὀρφέα μῆσαι ἔθαψαν,
Ὃν πάτερ ὑψιμέδων Ζεὺς φολόεντι βέλει.

Οἱ δὲ φάσκοντες ὑπὸ Βαρβάρων ἄρξαι Φιλοσοφίαν, καὶ τὸν τρόπον παρ' ἑκάσοις αὐτῆς ἐκτίθενται· καὶ φασι, τὸς μὲν Γυμνοσοφισὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι, σέβειν θεὸς, καὶ μηδὲν κακὸν δρᾶν, καὶ ἀνδρείαν ἀσκεῖν· τὸς μὲν Γυμνοσοφισὰς καὶ θανάτε καταφρονεῖν φησι Κλείταρχος ἐν τῇ δωδεκάτῃ.

Τοὺς δὲ Χαλδαίους περὶ ἀστρονομίαν καὶ προρρήσιν ἀσχολεῖσθαι· τὸς δὲ Μάγους περί τε θεραπείας θεῶν διατρίβειν, καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτὸς μόνους ἀκουομένους. ἀποφαίνεσθαί τε περὶ τε κόσμου καὶ γενέσεως, ὡς καὶ πῦρ εἶναι, καὶ γῆν, καὶ ὕδωρ. τῷ δὲ ξοάνων κα-

παγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεὰς καὶ θηλείας. περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ αἰσχρὸν ἡγεῖσθαι πυρὶ θάπτειν· καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ βίτῳ φησὶν ὁ Σωτίων. ἀσκεῖν τε καὶ μαντικὴν καὶ φορρήσιν, καὶ αὐτὰς θεὰς ἐμφανίζεσθαι λέγοντας. ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, καὶ ἀπόρροιαν ὑπὸ ἀκαθυμιάσεως εἰσκεκριμένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν. φρονοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν, τὸν δὲ ἐσθῆτα μὴ λαμπρὰν· στιβὰς δὲ, δύνη· καὶ λάχανον βοφὴ, τυρός τε, καὶ ἄρτας διπλῆς· καὶ κάλαμος ἡ βακτηρία. ᾧ κεντοῦντες (φασὶ) τὸ τυρὸν ἀνῃροῦντο, καὶ ἀπήθιον. τὴν δὲ γοητικὴν μαντείαν οὐδ' ἔγνωσαν, φησὶν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν. ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος. Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ Φιλοσοφίας καὶ πρεσβυτέρους εἶναι τῶν Αἰγυπτίων. καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα, καὶ κακὸν δαίμονα· καὶ τὸν μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὡρομάσδης· τὸν δὲ Ἅιδης καὶ Ἀρειμάνιος. Φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ περὶ Μάγων, καὶ Εὔδοξος ἐν τῇ περιόδῳ, καὶ Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν. Οὓς καὶ ἀναβιώσεσθαι, κατὰ τοὺς Μάγους, φησὶ τοὺς ἀνθρώπους, καὶ ἔσεσθαι ἀθανάτους, καὶ τὰ ὄντα ταῖς αὐτῶν ἐπιπλήσεσι χαμψύειν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. Ἑκαταῖος δέ, καὶ χρονικὸς τοὺς Θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ περὶ παιδείας, καὶ τοὺς Γυμνοσοφιστὰς ὑπογύους εἶναι τῶν Μάγων φησίν. Ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι. πρὸς τούτοις καταγινώσκουσιν Ἡροδότου οἱ τὰ περὶ Μάγων γράψαντες. μὴ γὰρ ἄνω εἰς τὸν ἥλιον βέλη Ξέρξου ἀφεικέναι, μηδ'

εἰς

εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεὸς τὸν τῆς Μαγνησίας καταδεδεμένους· τὰ μὲν τοι ἀγάλματα εἰκότως καθαιρεῖν.

Τὴν δὲ τῆς Αἰγυπτίων φιλοσοφίαν εἶναι τοιαύτην, περί τε θεῶν καὶ ὑπὲρ δικαιοσύνης. Φάσκειν τε ἀρχὰς μὲν εἶναι τέτταρας τῶν ὅλων, εἶτα τὰ τέσσαρα στοιχεῖα ἐξ αὐτῶν συγκεκρίσθαι, καὶ ζῶά τινα ἀποτελεσθῆναι. Θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην· τὸν μὲν, Ὄσιριν· τὴν δ', Ἶσιν καλουμένην. αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου, καὶ δράκοντος, καὶ ἱέρακος, καὶ ἄλλων. ὡς φησὶ Μάνεθως ἐν τῇ τῆς φυσικῶν ἐπιτομῇ, καὶ Ἑκαταῖος ἐν τῇ πρώτῃ περὶ τῆς Αἰγυπτίων φιλοσοφίας. καταπελάζειν δὲ ἀγάλματα καὶ γραφὴν, τῷ μὴ εἰδέναι τὴν τοῦ θεοῦ μορφήν. τὸν κόσμον γενητὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ· τὰς ἀστέρας πυρ εἶναι, καὶ τῇ τούτων κρίσει τὰ ὑπὸ γῆς γίνεσθαι. σελήνην ἐκλείπειν, εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν· τὴν ψυχὴν καὶ ὑπερμένειν, καὶ μετεμβαίνειν· ὑετὸς καὶ ἀέρος ζοφὴν ἀποτελεῖσθαι. ταῦτα ἄλλα φυσιολογεῖν, ὡς Ἑκαταῖός τε καὶ Ἀριστάγορας ἱστορεῖσιν. ἔθεσαν δὲ καὶ νόμους ὑπὲρ δικαιοσύνης, ὧν εἰσὶ Ἑρμῆν ἀνήνεγκαν· καὶ τὰ εὐχάριστα τῶν ζώων θεοὺς ἐδόξασαν· λέγουσι δὲ καὶ ὡς αὐτοὶ γεωμετρίαν, καὶ ἀστρολογίαν, καὶ ἀριθμητικὴν ἀνεῦρον· καὶ τὰ μὲν περὶ τῆς αἱρέσεως ὧδε ἔχει.

Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας, καὶ ἑαυτὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυωνίων τυράννῳ, ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῇ περὶ τῆς ἀπνοίας. μηδενὶ γὰρ εἶναι σοφὸν ἄνθρωπον, ἀλλ' ἢ θεόν. θᾶττον δὲ ἐπαλεῖται σοφία, καὶ σοφὸς ὁ παύτῃ ἐπαγγελλόμενος, ὃς εἴη ἂν καὶ ἀπόπτα ψυχῆς ἀπηκριβωμένος· φιλόσοφος δὲ, ἡ σοφίαν ἀσπαζόμενος.

Οἱ δὲ σοφοὶ, καὶ σοφισαὶ ἐκαλοῦντο. καὶ οὐ μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ, σοφισαί. καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ τὸν περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν, ὅπως καλεῖ. σοφοὶ δὲ ἐνομίζοντο οἵδε, Θαλῆς, Σόλων, Περίανδρος, Κλεόβουλος, Χείλων, Βίας, Πιττακός. τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μύσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα. οὗτοι καὶ Πεισίστρατον τὸν τύραννον. καὶ οἱ μὲν, σοφοί.

Φιλοσοφίας δὲ δύο γεγόνασι διαδοχαί, ἥ τε ἀπὸ Ἀναξιμάνδρου, καὶ ἡ ἀπὸ Πυθαγόρου. τὴν μὲν, Θαλῆς διεκπέσοντος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο. καὶ ἐκαλεῖτο ἡ μὲν, Ἰωνική, ὅτι Θαλῆς Ἴων ὢν (Μιλήσιος γὰρ) καθηγήσατο Ἀναξιμάνδρου. ἡ δὲ, Ἰταλική, ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα καὶ τὴν Ἰταλίαν διέζεψε. καταλήγει δὲ ἡ μὲν, εἰς Κλειτόμαχον, καὶ Χρύσιππον, καὶ Θεόφραστον, ἡ Ἰωνική· ἡ δὲ Ἰταλική, εἰς Ἐπίκουρον. Θαλῆν μὲν οὖν διήκουσεν Ἀναξίμανδρος, ὃν Ἀναξιμένης, ὃν Ἀναξαγόρας, ὃν Ἀρχέλαος, ὃν Σωκράτης, ὁ τὴν ἠθικὴν εἰσαγαγών· ὃν οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων, ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συνεστήσατο· ὃν Σπεύσιππος καὶ Ξενοκράτης, ὃν Πολέμων, ὃν Κράντωρ καὶ Κράτης, ὃν Ἀρκεσίλαος, ὁ τὴν μέσην Ἀκαδημίαν συνεστήσατο· ὃν Λακύδης, ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας· ὃν Καρνεάδης, ὃν Κλειτόμαχος. καὶ ὧδε μὲν εἰς Κλειτόμαχον. εἰς δὲ Χρύσιππον ὧδε καταλήγει. Σωκράτους διήκουσεν Ἀντισθένης, οὗ Διογένης ὁ κύων, ὃν Κράτης ὁ Θηβαῖος, ὃν Ζήνων ὁ Κιτιεύς, ὃν Κλεάνθης, ὃν Χρύσιππος. εἰς δὲ Θεόφραστον ὧδε· Πλάτωνος Ἀριστοτέλης διήκουσεν, ὃν Θεόφραστος. καὶ ἡ μὲν Ἰωνικὴ τοῦτον καταλήγει τὸν τρόπον, ἡ δὲ Ἰταλικὴ ὧδε. Φερεκύ-

δης

κύδης Πυθαγόρας, ἕ Τηλαυγὴς ὁ υἱὸς, ἕ Ξενοφάνης, ἕ Παρμενίδης, ἕ Ζήνων ὁ Ἐλεάτης, ἕ Λεύκιππος, ἕ Δημόκριτος, ἕ πολλοὶ μὲν, ἐπ' ὀνόματος δὲ, Ναυσιφάνης καὶ Ναυκύδης, ὧν Ἐπίκουρος.

Τῶν δὲ φιλοσόφων, οἱ μὲν γεγόνασι δογματικοὶ· οἱ δὲ, ἐφεκτικοί. δογματικοὶ μὲν, ὅσοι περὶ τῶν πραγμάτων ἀποφαίνονται, ὡς καταληπτῶν· ἐφεκτικοὶ δὲ, ὅσοι ἐπέχουσι περὶ αὐτῶν, ὡς ἀκαταλήπτων. καὶ οἱ μὲν αὐτῶν κατέλιπον ὑπομνήματα, οἱ δὲ ὅλως ἀσυγγράφως, ὥσπερ κατά τινας, Σωκράτης, Στίλπων, Φίλιππος, Μενέδημος, Πύρρων, Θεόδωρος, Καρνεάδης, Βρύσων· κατά τινας, Πυθαγόρας, Ἀρείσων ὁ Χίος, πλὴν βραχεῶν ὀλίγων. οἱ δὲ αὐτὰ οὐ συγγράψαντες, Μέλισσος, Παρμενίδης, Ἀναξαγόρας· πολλὰ δὲ Ζήνων, πλὴν Ξενοφάνης, πλὴν Δημόκριτος, πλὴν Ἀριστοτέλης, πλὴν Ἐπίκουρος, πλὴν Χρύσιππος.

Τῶν δὲ Φιλοσόφων, οἱ μὲν ἀπὸ πόλεων προσηγορεύθησαν, ὡς οἱ Ἠλειακοὶ, καὶ Μεγαρικοὶ, καὶ Ἐρετρικοὶ, καὶ Κυρηναϊκοί· οἱ δὲ ἀπὸ τόπων, ὡς οἱ Ἀκαδημαϊκοὶ καὶ Στωϊκοί. ἀπὸ συμπτωμάτων δὲ, ὡς οἱ Περιπατητικοί. καὶ ἀπὸ σκωμμάτων, ὡς οἱ Κυνικοί. οἱ δὲ ἀπὸ διαθέσεων, ὡς οἱ Εὐδαιμονικοί. τινὲς ἀπὸ οἰήσεως, ὡς οἱ φιλαλήθεις, καὶ ἐλεγκτικοὶ, καὶ ἀπαλογητικοί. οἵτινες δ' ἀπὸ τῶν διδασκάλων, ὡς οἱ Σωκρατικοὶ καὶ Ἐπικούρειοι, καὶ τὰ ὅμοια. καὶ οἱ μὲν, ἀπὸ τῆς περὶ φύσιν πραγματείας, φυσικοί. οἱ δὲ, ἀπὸ τῆς περὶ τὰ ἤθη σχολῆς, ἠθικοί. διαλεκτικοὶ δὲ, ὅσοι περὶ τὴν τῶν λόγων περιεργίαν καταβέβηκαν.

Μέρη δὲ φιλοσοφίας εἶα, φυσικὸν, ἠθικὸν, διαλεκτικόν· φυσικὸν μὲν, τὸ περὶ κόσμου, καὶ τῶν ἐν αὐτῷ. ἠθικὸν δὲ, τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτι-

λεκτικὸν δὲ, τὸ ἀμφοτέρων τὰς λόγους προσβεῦον. καὶ μὲν μὴν Ἀρχελάου τὸ φυσικὸν εἶδος ἐλέγετο· ἀπὸ δὲ Σωκράτους, ὡς προειρηται, τὸ ἠθικόν· ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου, τὸ διαλεκτικόν· τῶν δὲ ἠθικῶν γεγόασιν αἱρέσεις ἕξ, Ἀκαδημαϊκὴ, Κυρηναϊκὴ, Ἡλειακὴ, Μεγαρικὴ, Κυνικὴ, Ἐρετρικὴ, Διαλεκτικὴ, Περιπατητικὴ, Σπευσικὴ, Ἐπικούρειος. Ἀκαδημαϊκῆς μὲν ἦν τῆς ἀρχαίας προέστη Πλάτων, τῆς μέσης Ἀρκεσίλαος, τῆς νέας Λακύδης· Κυρηναϊκῆς Ἀρίστιππος ὁ Κυρηναῖος, Ἡλειακῆς Φαίδων ὁ Ἠλεῖος, Μεγαρικῆς Εὐκλείδης Μεγαρεύς, Κυνικῆς Ἀντισθένης ὁ Ἀθηναῖος. Ἐρετρικῆς Μενέδημος Ἐρετριεύς, Διαλεκτικῆς Κλειτόμαχος Καρχηδόνιος, Περιπατητικῆς Ἀριστοκλῆς Σπαρτιάτης, Σπευσικῆς Ζηνὼν Κιτιεύς. ἡ δὲ Ἐπικούρειος ἀπ' αὐτοῦ κέκληται Ἐπικούρου. Ἱππόβοτος δ' ἐν τῷ περὶ αἱρέσεων, ἐννέα φησὶν αἱρέσεις καὶ ἀγωγὰς εἶναι. πρώτην, Μεγαρικήν. δευτέραν, Ἐρετρικήν· τρίτην, Κυρηναϊκήν· τετάρτην, Ἐπικούρειον· πέμπτην Ἀννικέρειον· ἕκτην, Θεοδώρειον· ἑβδόμην, Ζηνώνειον, τὴν καὶ Σπευσικήν· ὀγδόην, Ἀκαδημαϊκὴν τὴν ἀρχαίαν. ἐννάτην, Περιπατητικήν. ὕστερον δὲ Κυνικὴν, ὕστερον Ἡλειακὴν, ὕστατον Διαλεκτικήν. τὴν μὲν γὰρ Πυρρώνειον ἀφ' οἱ πλείους προσποιοῦνται, διὰ τὴν ἀσάφειαν. οἱ δὲ κατά τι μὲν αἵρεσιν εἶναί φασιν αὐτὴν, κατά τι δὲ οὔ. δοκεῖ μὲν γὰρ αἵρεσις εἶναι. αἵρεσιν δὲ λέγομεν, φασὶ, τὴν λόγῳ τινὶ καὶ τὸ φαινόμενον ἀκολουθοῦσαν, ἢ δοκοῦσαν ἀκολουθεῖν. καθ' ὃ δὴ λόγως αὖ αἵρεσιν τὴν σκεπτικὴν καλοῦμεν. εἰ δὲ αἵρεσιν τοιοῦμεν προσκλισιν ἐν δόγμασιν, ἀκολουθίαν ἔχουσιν, ἐκεῖ' αὖ προσαγορεύοιτο αἵρεσις· ἃ δὴ ἔχει δόγματα. αἵδε μὲν ἀρχαὶ καὶ διαδοχαὶ, καὶ τοσαῦται μέρη, καὶ τόσαι φιλοσοφίας αἱρέσεις.

Ἔτι

Ἔτι δὲ πρὸ ὀλίγου καὶ ἐκλεκτική τις αἵρεσις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. ἀρέσκει δ' αὐτῷ (καθάφησιν ἐν τῇ στοιχειώσει) δύο κεφάλαια τῆς ἀληθείας εἶναι, τὸ μὲν, ὡς ὑφ' ἕ γίγνεται ἡ κρίσις, τοῦτο τὸ ἡγεμονικόν· τὸ δὲ, ὡς δι' ὅ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων, τόν τε ὕλην καὶ τὸ ποιοῦν, προϋπάρχειν τούτων. ἐξ ὧν γάρ, καὶ ὑφ' ὅ, καὶ ποιῶ, καὶ ἐν ᾧ. τέλος δὲ εἶναι ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν καὶ πᾶσαν ἀρετὴν τελείαν, ἀπὸ αὐτῶν τῶν τοῦ σώματος καὶ φύσιν ἀγαθῶν, καὶ τῶν ἐκτός. λεκτέον δὲ περὶ αὐτῶν ἀνδρῶν, καὶ πρώτου γε περὶ Θαλοῦ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΘΑΛΗΣ.

Ἐν τούτων ὁ Θαλῆς (ὡς μὲν Ἡρόδοτος καὶ Δῶρος καὶ Δημόκριτός φασιν) παῖς μὲν Ἐξαμίου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῆς Θηλιδῶν, οἵ εἰσι Φοίνικες, δ' γενέσατο τὸν ἀπὸ Κάδμου καὶ Ἀγήνορος, καθὰ καὶ Πλάτων φησί. καὶ σοφὸς σοφὸς ὠνομάσθη, ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ. ἐπολιτογραφήθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης. ὡς δ' οἱ πλείους φασίν, ἰθαγενὴς Μιλήσιος ὢν, καὶ γένους λαμπροῦ.

Μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας, καὶ κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν· ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη ναυτικὴ Ἀστρολογία, Φοίνικι λέγεται εἶναι τῷ Σαμίῳ. (Καλλίμαχος δ' αὐτὸν οἶδεν διαιρετὸν τῆς ἄρκτου τῆς μικρᾶς, λέγων ἐν τοῖς ἰάμβοις ὕπως.

Καὶ

Καὶ τῆς ἀμάξης ἐλέγετο σαθμήσασθαι
Τὰς ἀστερίσκας, ἢ πλέουσι φοίνικες.)

κατά τινας δὲ δύο μόνα συνέγραψε, περὶ ζοπῆς καὶ ἰσημερείας, τὰ ἄλλα καταλιπὼν εἶναι δοκιμάσας. δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι, καὶ ἡλιακὰς ἐκλείψεις καὶ ζοπὰς προειπεῖν, ὡς φησιν Εὔδημος ἐν τῇ περὶ τῆς ἀστρολογουμένων ἱστορίᾳ· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει. μαρτυρεῖ δ' αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος.

Ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασὶν ἀθανάτους τὰς ψυχάς. ὧν ἐστι Χοιρίλος ὁ ποιητής. πρῶτος δὲ καὶ τὴν ὁδὸν ζοπῆς ὅτι ζοπὴν πάροδον εὗρε, καὶ πρῶτος τὸ τῆς ἡλίου μέγεθος τῆς σελήνης ἑπτακοσιοστὸν καὶ εἰκοστὸν ἀπεφήνατο, κατά τινας. πρῶτος δὲ καὶ τὴν ὑστέραν τοῦ μηνός, ζιακάδα εἶπε. πρῶτος δὲ καὶ περὶ φύσεως διελέχθη, ὥς τινες. Ἀριστοτέλης δὲ καὶ Ἱππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχάς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος, καὶ τοῦ ἠλέκτρου. παρὰ τοῖς Αἰγυπτίοις γεωμετρεῖν μαθόντα, φησὶ Παμφίλη, πρῶτον καταγράψαι ὅτι ἡμικυκλίου τὸ ζίγωνον ὀρθογώνιον, καὶ θῦσαι βοῦν, οἱ δὲ Πυθαγόραν φασίν, ὧν ἐστιν Ἀπολλόδωρος ὁ λογιστικός. ἔτος προήγαγον ὅτι πλεῖστον, ἄφησι Καλλίμαχος ἐν τοῖς ἰάμβοις, Εὔφορβον εὑρεῖν τὸν Φρύγα· οἷον σκαληνὰ ζίγωνα, καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας. δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γὰρ πέμψαντος πρὸς Μιλησίους ὅτι συμμαχίαν, ἐκώλυσεν· ὅπερ, Κύρου κρατήσαντος, ἔσωσε τὴν πόλιν. καὶ αὐτὸς δέ φησιν, ὡς Ἡρακλείδης ἱστορεῖ, μονήρη αὐτὸν γεγονέναι καὶ ἰδιαζόντα.

Ἔνιοι

Ἔνιοι δέ φασι γῆμαι αὐτόν, καὶ Κίβισον υἱὸν ἔχειν· οἱ δὲ ἄγαμον μεῖναι· τῆς δὲ ἀδελφῆς τὸν υἱὸν θρέψαι· ὅτε καὶ ἐρωτηθείς τι ἂν τεκνοποιεῖ, καὶ φιλοτεκνίαν, εἰπεῖν. καὶ λέγεται, ὅτι τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι, Νὴ Δία, ἔλεγεν, ὕδατος καιρός· εἶτα, ἐπειδὴ παρῆσαν, ἐγκειμένης, εἰπεῖν, ἀκέτι καιρός.

Φησὶ καὶ ὁ Ῥόδιος Ἱερώνυμος ἐν τῷ δευτέρῳ τῷ παραδόξων ὑπομνημάτων, ὅτι βελόμενος δεῖξαι ῥᾴδιον εἶναι πλουτεῖν, φορᾶς μελλούσης ἔλαιων ἔσεσθαι, προορώμενος, ἐμισθώσατο τὰ ἐλαιουργεῖα, καὶ πάμπλειστα συνεῖλε χρήματα.

Ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη. πάσας τε ὥρας τὸ ἐνιαυτοῦ, φασὶν αὐτὸν εὑρεῖν, καὶ εἰς ἑξακοσίας ἑξήκοντα πρός τε ἡμέρας διελεῖν. ἔδειξέ τε αὐτῷ καθηγήσατο, πλεύσας ὅτε εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψεν. ὁ δὲ Ἱερώνυμος καὶ ἐκμιξῆσαί φησιν αὐτὸν τὰς πυραμίδας, ἐκ τῆς σκιᾶς καταμετρήσαντα, ὅτε ἡμῖν ἰσομεγέθεις εἰσί· συνεβίω δὲ καὶ Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ· καθάφησιν Μινύης.

Τὰ δὲ περὶ τὸν ἵππόδαμα φανερά, τὸν εὑρεθέντα ὑπὸ τῶν ἁλιέων, καὶ ἀναπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. Φασὶ γὰρ Ἰωνικούς τινας νεανίσκους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων· ἀναασαθέντος δὲ τοῦ ἵππόδαμα, ἀμφισβήτησις ἦν· ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς, καὶ ὁ Θεὸς ἔχρησεν οὕτως,

Ἔγνωτε Μιλήτου ἵππόδαμα πέρι Φοῖβον ἐρωτᾶς;
Τίς σοφίᾳ πάντων πρῶτος; τόνδ' ἐγὼ φράσω.

δίδω-

δίδωσιν ἓν Θαλῆ, ὁ δὲ ἄλλῳ, καὶ ἄλλος ἄλλῳ, ἕως Σόλωνος· ὁ δὲ ἔφη σοφίᾳ πρῶτον εἶναι τὸν θεὸν, καὶ ἀπέστειλεν εἰς Δελφούς. ταῦτα δὴ ὁ Καλλίμαχος ἐν τοῖς ἰάμβοις ἄλλως ἱστορεῖ, φησὶ Λεανδρίῳ λαβὼν τῷ Μιλησίῳ. Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλλῳ καταλιπεῖν, καὶ ὑπισχνῆμι δῶιμι τῷ σοφῶν τῷ πρωτίστῳ, ἐδόθη δὴ Θαλῆ, καὶ ἐς Θεμίστου πάλιν Θαλῆ. Οἱ δὲ τῷ Διδυμαίῳ Ἀπόλλωνι ἀπέστειλεν, εἰπὼν ὅτι, καὶ τὸν Καλλίμαχον,

Θαλῆς μὲ τῷ μελεωῦτι Νειλέῳ δήμῳ
Δίδωσι, τὸν δὶς λαβὼν ἀειστεῖον.

τὸ δὲ πεζὸν ὅπως ἔχει· Θαλῆς Ἐξαμίῳ Μιλήσιος Ἀπόλλωνι Δελφινίῳ Ἑλλώων ἀειστεῖον δὶς λαβών. ὁ δὲ θεμενηκὼν τὴν φιάλλω τῷ Βαθυκλέους παῖς, Θυρίων ἐκαλεῖτο, καθάφησιν Ἔλδυσις ἐν τῷ περὶ Ἀχιλλέως, καὶ Ἀλέξων ὁ Μυνδίος ἐν ἐνάτῳ μυθικῶν. Εὔδοξος δ' ὁ Κνίδιος, καὶ Εὐαίνης ὁ Μιλήσιος, φασὶ τῷ Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τὸ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῷ τῷ σοφωτάτῳ τῷ Ἑλλώων· τὸν δὲ δοῦναι Θαλῆ, καὶ παρελθεῖν εἰς Χείλωνα, ὃν πυθόμενον παρὰ τῆς Πυθίας, τίς αὐτῆ σοφώτερος; καὶ τὸν εἰπεῖν Μύσωνα, περὶ ὃ λέξομεν. τὸν οἱ περὶ τὸν Εὔδοξον αὖτις Κλεοβούλου τιθέασι, Πλάτων δ' αὖτις Περιάνδρου. περὶ αὐτοῦ δὴ τάδε εἶπεν ὁ Πύθιος.

Οἰταῖόν τινα φημὶ Μύσωνα ἐν Χηνὶ θρῴσθαι
Σοῦ μᾶλλον παρὰ πίδακι ἀμπρότατα πολυκαλήμενον.

Οἱ δ' ἐρωτήσαντες ἰδὶ Ἀνάχαρσις. Δαίδαχος δ' ὁ Πλατωνικὸς καὶ Κλέαρχος φιάλλω ἀποσαλεῦσαι ὑπὸ Κροίσου Πιττακῷ, καὶ ὅπως περιενεχθῆναι. Ἄνδρων δ' ἐν τῷ

Ξί-

ξίποδι. Ἀρετέας ἆθλον ἀρετῆς τῷ σοφωτάτῳ τῶν Ἑλλήνων ξίποδα θεῖναι. κεῖσθαι δὲ Ἀρεισόδημον Σπαρτιάτην, ὃν φασὶ χωρῆσαι Χείλωνι. μέμνηται τοῦ Ἀρεισοδήμου καὶ Ἀλκαῖος ὅπως,

Ὡς γὰρ δή ποτ' Ἀρεισόδαμον,
Οἵ φασιν ἐκ ἀπάλαμον
Ἐν Σπάρτᾳ λόγον εἰπεῖν,
Χρήματ' ἀνὴρ, πενιχρὸς δ' ἐδεὶς πέλετ' ἐσθλός.

οἱ δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ πλοῖον ἔμφορτον ἀποσαλῶσαι. τὸ δὲ περὶ τὴν Κῶαν θάλασσαν ναυαγήσαντος, ὕστερον ἁρεθῆναι ὡρός τινων ἁλιέων τὸν ξίποδα. Φανόδικος δὲ ἐν τῷ Ἀθηναίων θάλασσαν ἁρεθῆναι, καὶ ἀνενεχθέντα εἰς ἄστυ, θορυβῶν ἐκκλησίας, Βίαντι περιφθῆναι· ὃς τί δή, ἐν τῷ περὶ Βίαντος λέξομεν. Ἄλλοι φασὶν ἠφαιστόδικον εἶναι αὐτὸν, καὶ δοθῆναι ὡρὸς τὸν θεὸν Πέλοπι γαμοῦντι· αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν, καὶ σωὺ τῇ Ἑλένῃ ἁρπασθέντα ὑπὸ Ἀλεξάνδρου ῥιφθῆναι εἰς τὴν Κῶαν θάλασσαν ὡρὸς τῆς Λακαίνης, εἰπούσης ὅτι σοὶ μάχομαι ἕσαι. χρόνῳ δὲ Λεβεδίων τινῶν αὐτόθι χεῖρον ὠνησαμένων, καταληφθῆναι καὶ τὸν ξίποδα. μαχομένων δὲ ὡρὸς τὰς ἁλιέας, χρῆσθαι τὴν ἄοδον ἕως τῆς Κῶ. καὶ ὡς ἐδὲν λῷττον, τοῖς Μιλησίοις μηδοπόλει ὄσι μιαυόσιν. οἱ δ' ἐπειδὴ ἐξαφεσβολόμενοι ἠλογεῦντο, ὡρὸς τὰς Κόας πολεμοῦσι. καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, ἐκπίπτει χρησμὸς, δοῦναι τῷ σοφωτάτῳ· καὶ ἀμφότεροι σιωπῆσαν Θαλῆν. ὁ δὲ μὴ τὴν περίοδον τῷ Διδυμαίῳ τίθησιν Ἀπόλλωνι. Κώοις μὲν οὖν τοῦτον ἐχρήσθη τὸν ξόπον.

Μὴ

Μὴ πρότερον λήξειν νεῖκος Μερόπων καὶ Γόνων,
Πρὶν ξίφος χρύσειον, ὃν Ἥφαιστος βάλε πόντῳ,
Ἐκ πόλιος πέμψητε, καὶ ἐς δόμον ἀνδρὸς ἵκηται,
Ὃς δεδάηκε τά τ' ὄντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα.

Μιλησίοις δὲ,

Ἔννεπε Μιλήτου ξίφος πέρι Φοῖβον ἐρωτᾷς;

ὡς προείρηται. καὶ τάδε μὲν ἔπος. Ἕρμιππος δ' ἐν τοῖς βίοις, εἰς τῶν ἀφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. Ἔφασκε γάρ, φασὶ, ξιῶν τινων σφᾶς χάριν ἔχειν τῇ τύχῃ· πρῶτον μὲν, ὅτι ἄνθρωπος ἐγένοντο, καὶ οὐ θηρίον· εἶτα, ὅτι ἀνὴρ, καὶ οὐ γυνή· ξίτον, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος.

Λέγεται δ' ἀγόμενος, ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ εἰς βόθρον ἐμπεσεῖν, καὶ αὐτῷ σκοπτομένῃ φάναι τὴν γραῦν· Σὺ γάρ, ὦ Θαλῆ, τὰ ὄπισθεν οὐ δυνάμενος ἰδεῖν, τὰ ὑπὸ τοὺς πόδας οἴει γνώσεσθαι; οἶδε δ' αὐτὸν ἀστρονομούμενον καὶ Τίμων, ἐν τοῖς Σίλλοις ἐπαινῶν αὐτὸν, λέγων,

Οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν, ἀστρονόμημα.

τὰ δὲ γεγραμμένα ὑπ' αὐτοῦ φησὶ Λόβων ὁ Ἀργεῖος εἰς ἔπη τείνειν ἑξακόσια. ἐπιγεγράφθαι δ' αὐτὰ ὑπὸ τῆς εἰκόνος τάδε,

Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ' ἀνέδειξεν
Ἀστρολόγον παίπων πρεσβύτατον σοφίᾳ.

Τῶν δὲ ἀδομένων αὐτοῦ τάδε εἶναι,

Οὔτι τὰ πολλά γ' ἔπη φρονίμως ἀπεφήνατο δόξαι.

Ἔστι

Ἕν τι μάτην σοφὸν, σὺν τι κενὸν αἱρεῖ.
Λύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

φέρεται δὲ ὑποφθέγματα αὐτοῦ τάδε. πρεσβύτατον τῶν ὄντων, θεός· ἀγενητον γάρ· κάλλιστον, κόσμος· ποίημα τοῦ θεοῦ. μέγιστον, τόπος· ἅπαντα γὰρ χωρεῖ. τάχιστον, νοῦς· διὰ παντος γὰρ θέχει. ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων. σοφώτατον, χρόνος· ἀνευρίσκει γὰρ πάντα. ἡδὺ ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. Σὺ δὲν, ἔφη τις, διὰ τί οὐκ ὑποθνήσκεις; Ὅτι, ἔφη, ἡδὺ διαφέρει. πρὸς τὸν πυθόμενον, τί πρότερον ἐγένετο, νὺξ ἢ ἡμέρα; Ἡ νὺξ, ἔφη, μιᾷ ἡμέρᾳ πρότερον. ἠρώτησέ τις αὐτὸν εἰ λήθει θεὸς ἄνθρωπος ἀδικῶν· Ἀλλ' οὐδὲ διαλήθει, ἔφη. πρὸς τὸν μοιχὸν, ἐρόμενον, εἰ ὀμόσει μὴ μεμοιχεῦκέναι, Οὐ χεῖρον, ἔφη, μοιχείας ἐπιορκία. ἐρωτηθεὶς τί δύσκολον; ἔφη, τὸ ἑαυτὸν γνῶναι· τί δὲ εὔκολον; τὸ ἄλλῳ ὑποτίθεσθαι. τί ἥδιστον; τὸ εὐτυγχάνειν. τί τὸ θεῖον; τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν· τί δύσκολον εἶη θεσμός; Γέροντα, ἔφη, τύραννον. πῶς ἄντις ἀτυχίαν ῥᾴδια φέροι; εἰ τὰς ἐχθρὰς χεῖρον πράσσοντας βλέποι. πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν; ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν. τίς δαίμων; ὁ τὸ μὲν σῶμα ὑγιὴς, τῷ δὲ τύχῃ εὔπορος, τῷ δὲ ψυχῇ δ' παίδευτος. φίλων παρόντων καὶ ὀπόντων μεμνῆσθαί φησι. μὴ τῷ ὄψιν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. Μὴ πλάτει, φησὶ, κακῶς, μηδὲ διαβαλλέτω σε λόγος πρὸς τὴν πίστεως κεκοινωνηκότας. Οὓς ὦν ἐράσας εἰσενέγκῃς, φησὶ, τοῖς γονεῦσι, τὰς αὐτὰς προσδέχε καὶ παρὰ τῶν τέκνων. τὸν Νεῖλον εἶπε πληθύειν ἀπὸ κοπρωμάτων τῶν ῥημάτων τὰ ἐπισίων ἀνέμων ὄντων.

Φι-

Φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς γεγονέναι αὐτὸν καὶ τὸ πρῶτον ἔτος τῆς ἑξηκοστῆς πέμπτης ὀλυμπιάδος, ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ἑπτά, ἢ (ὡς Σωσικράτης φησὶν) ἐνενήκοντα. τελευτῆσαι γὰρ αὐτὸν τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος, γεγονότα καὶ Κροῖσον, ᾧ καὶ τὸν Ἅλυν ὑποχέσθαι αὖθι γεφύρας περάσαι, τὸ ῥεῖθρον ἀναχέαντα.

Γεγόνασι δὲ καὶ ἄλλοι Θαλαῖ (καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις) πέντε. ὧν πρῶτος, ῥήτωρ Καλαντιανός, κακόζηλος. δεύτερος, ζωγράφος, Σικυώνιος, μεγαλοφυής. τρίτος ἀρχαῖος ποιητής, καὶ Ἡσίοδον, καὶ Ὅμηρον, καὶ Λυκοῦργον. τέταρτος, ὃν μέμνηται Δεῖος ἐν τῷ περὶ ζωγραφίας· πέμπτος, νεώτερος, ἄδοξος, ὃν μνημονεύει Διονύσιος ἐν Κειτικοῖς.

Ὁ δ' ὢν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν, ὑπό τε καύματος καὶ δίψους καὶ ἀθυμίας, ἤδη γηραιός. καὶ αὐτὸν ἐπιγέγραπται τῷ μνήματι,

Ἠ ὀλίγον τόδε σῆμα· τὸ δὲ κλέος οὐρανόμηκες
Τῷ πολυφροντίστῳ τοῦτο Θάλητος ὄρη.

ἔστι καὶ παρ' ἡμῶν εἰς αὐτὸν ἐν τῷ πρώτῳ τῶν ἐπιγραμμάτων, ἢ παμμέτρῳ, τοδὶ τὸ ἐπίγραμμα,

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, ἤλεῖε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίων.
Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἢ γὰρ ὁ πρέσβυς
Οὐκέθ' ὁρᾶν ἐπὶ γῆς ἀστέρας ἠδύνατο.

Τέτε δὲ, τὸ Γνῶθι σαυτόν· ὅπερ Ἀντισθένης ἐν ταῖς Διαδοχαῖς Φημονόης εἶναί φησιν, ἰδιοποιήσασθαι δὲ αὐτὸ Χείλωνα.

Περὶ δὴ τῆς ἕπτα (ἄξιον γὰρ ἐνταῦθα καθολικῶς

πάντων ἐπιμνησθῆναι) λόγοι φέρονται τοιοῦτοι. Δάριων ὁ Κυρηναῖος, γεγραφὼς περὶ τῆς φιλοσόφων, πάσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά. Ἀναξιμένης δέ φησι πάντας ἐπῃνῆσθαι ποιητικῶς. ὁ δὲ Δικαίαρχος οὔτε σοφοὺς, οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, συνετοὺς δέ τινα καὶ νομοθετικούς. Ἀρχέτιμός τε ὁ Συρακούσιος ὁμιλίαν αὐτῆς γέγραφεν πρὸς Κυψέλῳ, ἣ καὶ αὐτός φησι περιτυχεῖν. Εὔφορος δὲ πρὸς Κροίσῳ, πλὴν Θαλοῦ· φασὶ δέ τινες καὶ ἐν Παιωνίῳ, καὶ ἐν Κορίνθῳ, καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. διαφωνοῦνται δὲ καὶ ὑποθέσεις αὐτῆς, καὶ ἄλλος ἄλλο φασὶν εἶναι· ὡς ἐκεῖνο,

Ἦν Λακεδαιμόνιος Χείλων σοφὸς, ὃς τάδ' ἔλεξε,
Μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεσι καλά.

σασιάζεται δὲ καὶ περὶ τὸ ἀριθμὸν αὐτῆς. Λεπίδριος μὲν γὰρ αὐτὴ Κλεοβούλη καὶ Μύσωνος Λεώφαντον Γορτυνίδα, Λεβέδιον ἢ Ἐφέσιον, ἐγκρίνει, καὶ Ἐπιμενίδην τὸν Κρῆτα. Πλάτων δ' ἐν Πρωταγόρᾳ, Μύσωνα αὐτὶ Περιάνδρου. Εὔφορος δὲ αὐτὶ Μύσωνος Ἀνάχαρσιν. οἱ δὲ καὶ Πυθαγόραν προσγράφουσι. Δικαίαρχος δὲ τέσσαρας ὡμολογημένους ἡμῖν προσδίδωσι Θαλοῦ, Βίαντα, Πιττακὸν, Σόλωνα. ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι ξεῖς, Ἀρισόδημον, Πάμφιλον, Χείλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον. οἳ οἱ προσιθέασιν Ἀκουσίλαον, Κάβα ἢ Σκάβρα, Ἀργεῖον. Ἕρμιππος δ' ἐν τῷ περὶ τῶν σοφῶν, ἑπτακαιδεκάφησιν ὧν τὰς ἑπτὰ, ἄλλους ἄλλως αἱρεῖσθαι. εἶναι δὲ, Σόλωνα, Θαλοῦ, Πιττακὸν, Βίαντα, Χείλωνα, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην, Ἀρισόδημον, Πυθαγόραν, Λάσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ, ὡς Ἀρισόξε-

ξόξενος; Χαβρίνα, Ἑρμιονέα, Ἀναξαγόρα. Ἱππόβοτος δ' ἐν τῇ τῶν φιλοσόφων ἀναγραφῇ. Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλῆν, Βίαντα, Πιττακὸν, Ἐπίχαρμον, Πυθαγόραν.

Φέρονται δὲ καὶ τὰ Θαλῆ ἐπιγόμενα ἅδε.

Θαλῆς Φερεκύδει.

Πυνθάνομαί σε πρῶτον Γώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων χρημάτων ἐς τοὺς Ἕλληνας ἐκφαίνειν. καὶ τάχα μὲν ἂν γνώμην τοι δικαίην, ἐς τὸ ξυνὸν καταθέσθαι γραφίν, μᾶλλον ἢ ἐφ' ὁποιοισῦν ἐπιβέπειν χρῆμα εἰς ἀδὸν ὄφελος. εἰ δή τοι ἥδιον, ἐθέλω χρᾶσθαι λεχλωσπὶς περὶ ὁτέων γράφεις· καὶ ἰὼ κελεύης, παράσε ἀφίξομαι ἐς Σύρον. ἢ γὰρ ἂν ἐ φρενήρεες εἰημὲν ἐγώτε κὴ Σόλων ὁ Ἀθηναῖος, πλώσαντες μὲν ἐς Κρήτίω κῇ τεῦ κεῖθι ἱστορίω, πλώσαντες δὲ ἐς Αἴγυπτον, ὁμιλήσαντες τοῖς ἐκείνη ὅσοι ἱερέες τε καὶ ἀστρονόμοι, φᾶσί σε δὲ μὴ πλώσαιμεν. ἥξει γὰρ κὴ ὁ Σόλων, ἰὼ ἐπιβέπεις. σὺ μὲν τοι χωρομιλέων, ὀλίγα φοιτέεις ἐς Γωνίω, ἐδέ σε ποθὴ ἴσχει ἀνδρῶν ξείνων· ἀλλὰ, ὡς ἔλπομαι, σὺν μένῳ χρήματι φοίσεαι, τῇ γραφῇ. ἡμεῖς δὲ οἱ μηδὲν γράφοντες φειδόμεθα τεῦτε Ἑλλάδα κὴ Ἀσίω.

Θαλῆς Σόλωνι.

Ἵπαποσὰς ἐξ Ἀθηναίων, δοκέεις ἄν μοι ἁρμοδιώτατα ἐν Μιλήτῳ οἶκον ποιέεσθαι φᾶδὲ τοῖς ἐποίκοις ὑμέων. κὴ γὰρ ἐνταῦθά τοι δεινὸν ἐδέν. εἰ δὲ ἀχαλήσεις ὅτι καὶ Μιλήσιοι τυραννεόμεθα (ἐχθαίρεις γὰρ

πάντας αἰσυμνήτας) ἀλλὰ τέρποι αὖ σωὶ τοῖς ἑταίροις ἡμῖν καταβιώς. ἐπέστειλε δέ σοι καὶ Βίας ἥκειν ἐς Πριήνην· σὺ δὲ εἰ προσλωέστερόν τοι τὸ Πριηνέων ἄστυ κεῖσθαι οἰκέειν, καὶ αὐτοὶ φράσε οἰκήσομεν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΣΟΛΩΝ.

Σόλων Ἐξηκεστίδου Σαλαμίνιος, πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις. τὸ δὲ διὰ λύσεως σωμάτων τε καὶ κτημάτων. καὶ γὰρ ὅτι σώμασιν ἐδανείζοντο, καὶ πολλοὶ δι' ἄπορίαν ἐθήτευον. ἔπαυσε δὴ τοιαύτων ὀφειλομένων αὐτῷ παρῳφῶν, συνεχώρησε πρῶτος, καὶ τὰς λοιπὰς τὸ ὅμοιον προὔτρεψε πρᾶξαι. καὶ ἔτος ὁ νόμος ἐκλήθη σεισάχθεια. φασὶ δέ τινες. ἔπειτα τὰς λοιπὰς νόμους ἔθηκεν, ὡς μακρὸν ἂν εἴη διεξιέναι, καὶ ἐς τοὺς ἄξονας κατέθετο.

Τὸ δὲ μέγιστον, τῆς παρῳδίας αὐτῷ Σαλαμῖνος, ἀμφισβητουμένης, ὑπό τε Ἀθηναίων καὶ Μεγαρέων, καὶ πολλάκις τῶν Ἀθηναίων ἐπικρατόντων ἐν τοῖς πολέμοις, καὶ ψηφισαμένων εἴ τις ἔτι συμβουλεύσει περὶ Σαλαμῖνος μάχεσθαι, θανάτῳ ζημιοῦσθαι· ὅτος μαίνεσθαι προσποιεῖται σάμβρος, καὶ σεφωσσάμβρος, εἰσέπεισεν εἰς τὴν ἀγοράν· ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω δὴ τὸ κήρυκος τὰ σωρευόμενα περὶ Σαλαμῖνος ἐλεγεῖα, καὶ παρώρμησεν αὐτούς. καὶ αὐθις ὡρὸς τοὺς Μεγαρέας ἐπολέμησαν, καὶ ἐνίκων δὴ Σόλωνα. ὧν δὲ τὰ ἐλεγεῖα τὰ μάλιστα καθαπτόμενα τῶν Ἀθηναίων, ταῦτα,

Εἴλω

Εἶμι δὴ τοτ' ἐγὼ Φολεγανδρίος ἢ Σικινίτης
Ἀντί γ' Ἀθηναίης, Παξὶ δ' ἀμειψόμενος·
Αἶψα γὰρ ὧδε φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο,
Ἀττικὸς ὅττις ἀνὴρ τῇδε Σαλαμῖνα ἀφέντων.

εἶπα,

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου.
Ἱμερτῆς, χαλεπὸν τ' αἶσχος ἀπωσόμεθα.

ἔπεισε δὲ αὐτοὺς καὶ τὸν ἐν Θράκῃ Χερρόνησον προσκτήσασθαι. ἵνα δὲ μὴ δοκοίη βίᾳ μόνον, ἀλλὰ καὶ δίκῃ τὸν Σαλαμῖνα κεκτῆσθαι, ἀνασκάψας τινὰς τάφους, ἔδειξε τοὺς νεκροὺς κατὰ τὰς ἐκφορὰς ἐκ πρώρης, ὡς τὸ ἔθος θάπτειν Ἀθηναίους. ἀλλὰ καὶ αὐτοὺς τοὺς τάφους πρὸς ἕω βλέποντας, καὶ ἀπὸ τῶν δήμων τοὺς χηματισμοὺς ἐγκεχαραγμένους, ὅπερ τὸ ἴδιον Ἀθηναίων. οἱ δὲ φασὶ καὶ ἐγγράψαι αὐτὸν εἰς τὸν κατάλογον τῶν Ὁμήρου μετὰ τὸν

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἀγὼν' ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

Τῷ δὲ λοιπῷ προσεῖχον αὐτῷ ὁ δῆμος, καὶ ἡδέως καὶ συμπονεῖσθαι ἤθελον παρ' αὐτῷ. ὁ δὲ οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, προαιθόμενος, τὸ ἐφ' ἑαυτῷ διεκάλυσεν. ἥξας γὰρ εἰς τινα ἐκκλησίαν μὴ θώρακος καὶ ἀσπίδος, προεῖπεν αὐτοῖς τὰ δεδογμένα τῷ Πεισιστράτῳ· καὶ ὁ μόνον, ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι· λέγων ταῦτα, Ἄνδρες Ἀθηναῖοι, τῷ μὲν σοφώτερος, τῷ δὲ ἀνδρειότερος εἰμί· σοφώτερος μὲν τῷ τὰ ἀπάτια Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῷ ὑπερμαχῶν μὲν, καὶ δέος δὲ

σιωπώντων. καὶ ἡ βελὴ, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν. ὅθεν εἶπε ταυτί·

Δείξει δὴ μανίῃ μὲν ἐμῇ βαιὸς χρόνος ἀσοῖς,
Δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

τὰ δὲ περὶ τῆς τε Πεισιστράτου τυραννίδος ἐλεγεῖα, προλέγοντος αὐτῷ, ταῦτα ἦν,

Ἐκ νεφέλης φέρεται χιόνος μῶυς ἠδὲ χαλάζης,
Βροντὴ τ' ἐκ λαμπρῆς γίνεται ἀστεροπῆς.
Ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται. εἰς δὲ μοναρχὴν
Δῆμος ἀϊδρείῃ δουλοσύνῃ ἔπεσεν.

Ἤδη δὲ αὐτοῦ κρατοῦντος ὁ πείθων, ἔθηκε τὰ ὅπλα πρὸ τῆς στρατηγίας, καὶ εἰπών, Ὦ πολῖται, βεβούληκά σοι καὶ λόγῳ καὶ ἔργῳ, ἀπέπλευσεν εἰς Αἴγυπτον καὶ εἰς Κύπρον· καὶ πρὸς Κροῖσον ἦλθεν. ὅτε καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, Τίς σοι δοκεῖ δ' δαίμων; Τέλος, ἔφη, Ἀθηναῖος, καὶ Κλεόβις καὶ Βίτων, καὶ τὰ θρυλούμενα. φασὶ δέ τινες ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς, καὶ καθίσας εἰς τὸν θρόνον, ἤρετο αὐτὸν εἴ τι θέαμα κάλλιον τεθέαται; ὁ δὲ ἀλεκτρυόνας εἶπε, φασιανοὺς, καὶ ταώς· φυσικῷ γὰρ ἄθει κεκόσμηνται, καὶ μυρίῳ καλλίονι· ἐκεῖθεν δὲ ἀπαλλαγεὶς, ἐλήφθη ἐν Κιλικίᾳ, καὶ πόλιν ᾤκισεν, ἣν ἀπ' αὐτοῦ Σόλους ἐκάλεσεν· ὀλίγους τέ τινας τῶν Ἀθηναίων ἐγκατῴκισεν, οἳ τῷ χάρακι τῷ φωνῇ ἀποξενωθέντες σολοικίζειν ἐλίχθησαν. καὶ εἰσὶν οἱ μὲν ἐνθεν, Σολεῖς· οἱ δ' ἀπὸ Κύπρου, Σόλιοι.

Ὅτε τὸν Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, πάλιν ἐπανῆλθε πρὸς τοὺς Ἀθηναίους.

Εἰ

Εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
Μή τι θεοῖς τύπτων μοῖραν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τύτους ἠυξήσατε, ῥύσια δόντες,
Καὶ δι' ταῦτα κακὴν ἔχετε δεισωίλην.
Γ'μέων δ' εἰς μιὴν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασι δ' ὑμῖν κῆφος ἔνεσι νόος.
Εἰς γὰρ γλῶσσαν ὁρᾶτε, κὴ εἰς ἔπος αἰόλον ἀνδρός·
Εἰς ἔργον δ' ἐδὲν γιγνόμενον βλέπετε.

κὴ ἔτος μιὴ ταῦτα.

Πεισίστρατος δ' αὐτῳ φεύγοντι τύτον ὑπεδέξατο τὸν τρόπον.

Πεισίστρατος Σόλωνι.

Οὔτε μόνος Ἑλλήνων τυραννίδι ἐπεθέμην, οὔτε ὡς δ' προσῆκόν μοι, ἁρὰς ὄντι τῆ Κοδρίδων. ἀπέλαβον γὰρ ἐγὼ ἃ ὀμόσαντες Ἀθηναῖοι παρέξειν Κόδρῳ τε καὶ τῆ ἐκείνε γῆει, ἀφείλοντο. τὰ δ' ἄλλα ἁμαρτάνω ἐδέν, ἢ τοῖς θεοῖς, ἢ τοῖς ἀνθρώποις. ἀλλὰ καθότι σὺ διέθηκας τὰς θεσμὰς Ἀθηναίοις, ὑπ' ἐμοῦ πολιτεύσει. κὴ ἄμεινόν τε πολιτεύσειν ἢ κατὰ δημοκρατίαν· ἐὼ γὰρ ἐδένα ὑβρίζειν· κὴ ὁ τύραννος ἐγὼ ὁ πλεῖον τι φέρομαι τἀξιώματος κὴ τῆς τιμῆς· ὁποῖα δὲ καὶ τοῖς πρὶν βασιλεῦσιν ἦν τὰ ῥητὰ γέρα· ἀπάγει δὴ ἕκαστος Ἀθηναίων τὴ αὐτῆ κλήρε δεκάτην, ἐκ ἐμοί, ἀλλ' ὁπόθεν ἔσαι ἀναλῶν εἰς τε θυσίας τὰς δημοτελεῖς, κὴ ἔτι ἄλλο τῆ κοινῶν, κὴ ἢν ὁ πόλεμος ἡμᾶς καταλάβῃ. σοὶ δ' ἐγὼ ὅτε μέμφομαι μεμύσαντι τὸν ἐμὸν δῆμον. ἐννοίᾳ γὰρ τῆς πόλεως μᾶλλον ἢ κῆ τὸ ἐμὸν ἔχθος ἐμήνυες· ἔτι τε ἀμαθίᾳ τῆς ἀρχῆς, ὁποίαν τινὰ ἐγὼ κα-

τησόμαι. ἐπεὶ μαθὼν, τάχα αὖ μ' ἰσχὺς καθισαμένη, οὐδὲ ἐφυγες. ἐπαίδι τίνων ἔπαδε, πίσδων μοι ἢ ἀνώμοτῳ, ἄχαρι μηδὲν πείσεσθαι Σόλωνα ἐκ Πεισίστρατε. ἴδι γὰρ μηδὲ ἄλλον τινὰ πεποιθέναι τῇ ἐμῶν ἐχθρᾶν· μὴ ἀξιώσης τῶν ἐμῶν φίλων εἶς εἶναι, ἔσῃ αὐτὰ πρότερος· (εἰ γάρτι ἐν σοὶ ὁρῶ δολερὸν ἢ ἄπιστον) εἴπ' ἄλλως Ἀθηναίοισιν οἰκεῖν, ὅπως ἐξέφευται· ἡμῶν δὲ εἵνεκα μὴ ἐσέρπησο τῆς παρρησίας. Ταῦτα μὲν Πεισίστρατος.

Σόλων δὲ ὅρον ἀνθρωπίνου βίου φησὶν εἶναι ἑβδομήκοντα. δοκεῖ δὲ καὶ κάλλιστα νομοθετῆσαι· εἰ μή τις μὴ ξέφυ τοὺς γονέας, ἄτιμος ἔστω. ἀλλὰ καὶ ὁ τὰ πατρῷα κατεδηδοκὼς, ὁμοίως· καὶ ὁ ἀργὸς ὑπόδικος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι. Λυσίας δ' ἐν τῷ κατὰ Νικίου Δρακοντίδῃ γεγραφέναι τὸν νόμον, Σόλωνα δὲ πεθεικέναι. τόν τε ἀτιμωτὸν εἴργειν τῶν βημάτων.

Συνέσειλε δὲ καὶ τὰς τιμὰς τῆς ἐν ἀγῶνι ἀθλητῶν. Ὀλυμπιονίκῃ μὲν πέντε ἑκατοντάδας δραχμὰς, Πυθιονίκῃ δὲ ἑκατὸν, καὶ ἀνάλογον ὅτι τῆς ἄλλων. ἀπειρόκαλον γὰρ ἐξαίρειν τὰς πάντων τιμάς· ἀλλ' ἄμεινον ἐκείνων τῆς ἐν πολέμοις τελουμένης, ὧν καὶ τοὺς υἱεῖς δημοσίᾳ δεῖν τρέφεσθαι καὶ παιδεύεσθαι. ὅθεν καὶ ἐζήλωσαν καλοὶ κἀγαθοὶ γίνεσθαι καὶ πόλεμον· ὡς Πολύζηλος, ὡς Κυνέγειρος, ὡς Καλλίμαχος, ὡς σύμπαντες οἱ Μαραθωνομάχοι. ἔτι δ' Ἁρμόδιος καὶ Ἀριστογείτων καὶ Μιλτιάδης, καὶ μυρίοι ὅσοι. ἀθληταὶ δὲ καὶ ἀσκήμονες, πολυδάπανοι· καὶ νικῶντες, ὀπτζήμιοι, καὶ στεφανοῦνται κατὰ τῆς πατρίδος μᾶλλον ἢ καὶ τῶν ἀπαγωνιστῶν· γέροντές τε γηρύμενοι, κατὰ τὸν Εὐριπίδην,

Τεί-

Τείβονες ἐκλείποντες οἴχονται κρόκας.

ὅπερ συνιδὼν ὁ Σόλων μεῖζόν τι ἀπεδέξατο.

Κάλλιστον δὲ καὶ τοῦτο, Τὸν ὄπιζθον τῇ τῆς ἁρματῶν μηδὲ μὴ συνοικεῖν· μηδ' ἐπιξυπολύειν, εἰς ὃν ἡ οὐσία ἔρχεται, τῆς ὀρφανῶν τελευτησάντων. καὶ τοῦτο, Δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τοῦ παραθεμένου δακτύλιον. καὶ ἐάν τις ὀφθαλμὸν ἔχοντος ἐκκόψῃ τις, ἀντεκκόπτειν τοὺς δύο. Ἂν μὴ ἔθῃ, μὴ ἀτέλης· εἰ δὲ μή, θανάτου ἡ ζημία. Τῷ ἄρχοντι, ἂν μεθύων ληφθῇ, θανάτου εἶναι τὴν ζημίαν. Τάς τε Ὁμήρου ἐξ ὑποβολῆς γέγραφε ῥαψῳδεῖσθαι, οἷον ὅπου ὁ πρῶτος ἔλιξεν ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον. μᾶλλον ἔν Σόλωνος Ὁμήρου ἐφώτισεν ἢ Πεισίστρατος, ὥς φησι Διδυμίδας ἐν πέμπτῳ Μεγαρικῶν. ἰδοὺ δὲ μάλιστα τὰ ἔπη ταυτί·

Οἱ δ' ἄρ' Ἀθήνας εἶχον, ἧς τὰ ἑξῆς.

πρῶτος δὲ Σόλων τὴν ξιφικάδα, οὕτω καὶ νέαν ἐκάλεσεν. καὶ πρῶτος τὴν συναγωγὴν τῆς ἐννέα ἀρχόντων ἐποίησεν, εἰς τὸ σύνεδρον· ὡς Ἀπολλόδωρός φησιν ἐν δευτέρῳ περὶ νομοθετῶν. ἀλλὰ καὶ τῆς σάσεως γενομένης, ὅτε μετὰ τῆς ὀξέως, ὅτε μετὰ τῆς πεδιέων, ἀλλ' οὐδὲ μετὰ τῆς παραλίων ἐπάχθη.

Ἔλεγε δὲ τὸν μὲν λόγον εἴδωλον εἶναι τῆς ἔργων· βασιλέα δὲ, τὸν ἰσχυρότατον τῇ δυνάμει· τοὺς δὲ νόμους τοῖς ἀραχίοις ὁμοίους· καὶ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀδενές, σέζειν· ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεσθαι. ἔφασκέ τε, σφραγίζεσθαι δεῖν τὸν μὲν λόγον σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. ἔλεγε δὲ τοὺς πολίτας τοῖς τυράννοις δυναμένους πλησίους εἶναι ταῖς ὑπὲρ τῆς λογισμῶν. καὶ γὰρ ἐκείνων ἑκάστῳ

ποτὲ

ποτὲ μὲν πλέω σημαίνειν, ποτὲ δὲ ἧττω· καὶ τῶν τὰς τυραννίδας ποτὲ μὲν ἔκαιον μέγαν ἄγειν καὶ λαμπρὸν, ποτὲ δὲ ἄτιμον. ἐρωτηθεὶς δέ τί κεῖται παροιμίᾳ νόμον ἐκ ἔθηκε; δέ τὸ ἀπελπίσαι, ἔφη. πῶς τε ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι; εἰ ὁμοίως, ἔφη, ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικοῦντες. καὶ τὸν μὲν κόρον ὑπὸ τῶν πλήθει χρᾶσθαι, τὴν δὲ ὕβριν ὑπὸ τῶν κόρων.

Ἠξίωσέ τε Ἀθηναίους τὰς ἡμέρας καὶ σελήνῃ ἄγειν. καὶ Θέωνα ἐκώλυσε γραφὰς ἄγοντα καὶ διδάσκειν, ὡς ἀνωφελῆ τὴν φιλολογίαν. ὅτ' ἦν Πεισίστρατος ἑαυτὸν κατέβρωσεν, ἐκεῖθεν μὲν ἔφη ταῦτα φυῆναι.

Τοῖς τε ἀνθρώποις συνεβούλευσεν (ὥς φησιν Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν φιλοσόφων αἱρέσεων) τάδε, Καλοκἀγαθίαν ὄρκου πιστότερον ἔχειν. μὴ φιλίδε. τὰ ἀσφαλῆ μελέτα· φίλως μὴ ταχὺ κτῶ· ὃς δ' ἂν κτήσῃ μὴ ἀποδοκίμαζε. ἄρχου, πρῶτον μαθὼν ἄρχεσθαι. συμβούλου μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ κάλλιστα. νῦν ἡγεμόνα ποιοῦ. μὴ κακοῖς ὁμίλει. θεοὺς τίμα. γονέας αἰδοῦ.

Φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος,

Αἴ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
Ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

ἐπιτιμῶντα αὐτῷ εἰπεῖν,

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο.
Μηδὲ μέγαιρ' ὅτι σεῦ τοῖον ἐπέφρασάμην.
Καὶ μεταποίησον λιγέως ταδί, ὧδε δ' ἄειδε,
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

Τῶν δὲ ᾀδομένων αὐτοῦ ἔξι τάδε,

Πα-

Περφυλαγμένος ἄνδρα ἕκαστον,
Ὄρα μὴ κρυπτὸν ἔγχος ἔχων
Καρδίῃ, φαιδρῷ προσενέπῃ προσώπῳ,
Γλῶσσα δὲ οἱ διχόμυθος
Ἐκ μελαίνας φρενὸς γεγωνῇ.

γέγραφε δὲ δῆλον μὲν ὅτι τοὺς νόμους, καὶ δημηγορίας δὲ καὶ εἰς ἑαυτὸν ἀποθήκας, ἐλεγεῖα, καὶ τὰ περὶ Σαλαμῖνος καὶ τῆς Ἀθηναίων πολιτείας, ἔπη πεντακιχίλια, καὶ ἰάμβους καὶ ἐπῳδάς.

Ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται πάδε,

Ἡ Μήδων ἄδικον παύσασ' ὕβριν, ἥδε Σόλωνα
Τόνδε τεκνοῖ Σαλαμὶς θεσμοθέτιν ἱερόν.

ἤκμαζε μὲν ἐν τῇ τεσσαρακοστῇ ἕκτῃ Ὀλυμπιάδι, ἧς τῷ τρίτῳ ἔτει ἦρξεν Ἀθηναίων, καθάφησι Σωσικράτης· ὅτε καὶ τίθησι τοὺς νόμους. ἐτελεύτησε δ' ἐν Κύπρῳ, βιοὺς ἔτη ὀγδοήκοντα· τὸν τόπον ἐπισκήψας τοῖς ἰδίοις τὸν τρόπον, κομίσαι αὐτοῦ τὰ ὀστᾶ εἰς Σαλαμῖνα, καὶ κεφρώσαντας εἰς τὴν χώραν σπεῖραι. ὅθεν καὶ Κρατῖνος ἐν τοῖς Χειροσίφωσιν, αὐτὸν ποιῶν λέγοντα,

Οἰκέω δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος,
Ἐπαρμένος καὶ πᾶσαν Αἴαντος πόλιν.

ἔστι δὲ καὶ ἡμέτερον ἐπίγραμμα ἐν τῇ προειρημένῃ παρεμβολῇ, ἔνθα καὶ περὶ πάντων τῶν τελεσθησάντων ἐλλογίμων διείλεγμαι πᾶσι μέτρῳ, καὶ ῥυθμῷ, ἐπιγράμμασι καὶ μέλεσιν, ἔχον ὧδε,

Σῶμα μὲν ἥρε Σόλωνος ἐν ἀλλοδαπῇ Κύπριον πῦρ·
Ὀστᾶ δ' ἔχει Σαλαμὶς, ὧν κόνις ἀσάχνης.

Ψυ-

Ψυχαὶ δ' ἄξονες εὐθὺς ἐς ἑρανὸν ἤγαγον. εὖ γὰρ
Θῆκε νόμους αὐτοῖς ἄχθεα κυφότατα.

Ἀπεφθέγξατο δὲ, φασὶ, Μηδὲν ἄγαν. ἡμῖ αὐτόν φησι Διοσκουρίδης ἐν τοῖς Ὑπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα (ὃν ἡμεῖς ὑ παρειλήφαμεν) φρὸς τὸν εἰπόντα, Ἀλλ' ὑδὲν αὐττεις, εἰπεῖν, Διὰ αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι ὑδὲν αὐττω.

Φέρονται δὲ αὐτοῦ ἡ ὑποθῆκαι αἵδε.

Σόλων Πεισάνδρῳ.

Ἐπαγγέλλεις μοι πολλούς τοι ὑπερβαλέειν. σὺ δὲ εἰ μὴ μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, ὑκ ἂν φθάνοις. ὑπερβαλόμενε δ' ἄν τις ἡμᾶς τῷ αὐτοπόπτων. ὁ μὲν δεδιὼς φρὶ αὐτῷ, ὁ δὲ σὲ καταγνὺς, ὑκ ἐῶν ὅ, τι ὑκ ὀρρωδοῦντος. κἂν τῇ πόλει χάριν καταθοιτο ἐξελρὼν, ἵνα μὴ ὕποπτος εἶης. ἄμεινον μὲν ὖν ἦν ἀπέχεσθαι, ἵνα τῆς αἰτίας ἀπαλλαγείης. εἰ δὲ παντως τυραννητέον, φροντίζειν ὅπως τῷ ἀλλοδαπῷ δυνάμιν μείζονα ἕξεις τῆς ἐν τῇ πόλει, ἡ ὑδείς ἔτι τοι δεινὸς, μηδὲ σὺ ἐκποδών τινα ποιῶ.

Σόλων Ἐπιμενίδῃ.

Οὔτε οἱ ἐμοὶ θεσμοὶ ἄρα Ἀθηναίοις ὑπολὺ ὠνήσειν ἔμελλον, ὔτε σὺ καθήρας τῷ πόλιν ὠνησας. τότε γὰρ θεῖον ἡ οἱ νομοθέται ὑ καθ' ἑαυτὰ δυνανται ὀνῆσαι τὰς πόλεις. οἱ δὲ ἀεὶ τὸ πλῆθος ἄγοντες, ὅπως ἂν γνώμης ἔχωσιν. ὅτω δὲ ἡ τὸ θεῖον ἡ οἱ νόμοι, εὖ μὲν ἀγόντων εἰσὶν ὠφέλιμοι· κακῶς δὲ ἀγόντων,

ὑδὲν

ᾐδεν ἐφελεῖσιν. ᾠδ' οἱ ἐμοὶ ἀμείνες εἰσὶ, καὶ ὅσα ἐγὼ ἐνομοθέτησα. οἱ δ' ὑπερέποντες τὸ κοινὸν ἔβλαπτον, οἷς ἐκ ἐγκείοντο ἐμποδὼν Πεισιστράτῳ ὑπαθέσθαι τυραννίδι. ᾠδε ἐγὼ προλέγων πιστὸς λῶ· ἐκεῖνος δὲ πιστέπρος, κολακεύων Ἀθηναίους, ἐμὲ ἀληθεύοντος. ἐγὼ δὴ θέμενος πρὸ τῶ στρατηίῳ τὰ ὅπλα, εἶπον, ὅσῳ μὲν μὴ αἰθανομένων Πεισιστρατον τυραννησείοντα, εἶναι ξυνετώτερος, ὅσῳ δὲ ὀκιώντων ἀμυνάσθαι ἀλκιμώτερος. οἱ δὲ μανίαν Σόλωνος κατεγίνωσκον. τελευτῶν δὲ ἐμαρτυράμην, Ὦ πάτρις, ὅτος μὲν Σόλων, ἕτοιμός τοι καὶ λόγῳ καὶ ἔργῳ ἀμύνειν· τοῖς δ' αὖ καὶ μαίνεσθαι δοκῶ, ὡς τε ἄπειμι οἱ ἐκ μέσου ὁ μόνος ἐχθρὸς Πεισιστράτῳ. ἔτοι δὲ καὶ δορυφορέντων αὐτὸν εἴτι βέλονται. ἴθι δὴ τὸν ἄνδρα, ὦ ἑταῖρε, δεινότατα ἀψάμενον τῆς τυραννίδος. ἤρξατο μὲν δημαγωγεῖν· εἶτα δὲ ἑαυτῷ ξαύμακτα ποιήσας, παρελθὼν ἐπ' Ἠλιαίαν ἐβόα, φάμενος πεπονθέναι ταῦτα ὑπὸ τῶν ἐχθρῶν· καὶ φύλακας ἠξίε παραχεῖν οἱ τεξακοσίους τοὺς νεωτάτους. οἱ δὲ ἀνήκεστα πάσχοντές μιν, παρέχον τοὺς ἄνδρας· ὅτοι δὲ ἦσαν κορυνηφόροι. καὶ μετὰ τοῦτο τὸν δῆμον κατέλυσεν. ἢ μάτην ἔσοδον ἀπαλλάξαι τοὺς πολίτας αὐτῷ τῆς ἀπειλῆς, οἵγε δὴ καὶ ξύμπαντες ἐνὶ δελθύρσι Πεισιστράτῳ.

Σόλων Πεισιστράτῳ.

Πιστεύω μηδὲν κακὸν ὑπὸ σεῦ πείσεσθαι, καὶ τῷ πρὸ τῆς τυραννίδος φίλος σοὶ λῶ. καὶ νεῦ ὃ μᾶλλον διάφορος ἢ τῷ ἄλλων τις Ἀθηναίων ὅτῳ μὴ ἀρέσκει τυραννίς. εἴτε δὲ ὑφ' σοῦ ἄρχεσθαι ἄμεινον αὐτοῖς, εἴτε δεῖ δημοκρατεῖσθαι, πεπείσθω ἢ ἑκάτερος γινώσκει. καί σε φημὶ πάντων τυράννων εἶναι βέλτιστον. ἐπαινῆκειν δέ μοι

Ἀθη-

Α'θηναζε ὲ καλῶς ἔχον ὁρῶ, μὴ μέ τις μέμψηται, εἰ ἐξὸν Α'θηναίοις ἰσοπολιτεύειν, καὶ παρὼν τυραννεῖν αὐτὸς οὐκ ἀξιώσας, νυῦ ἐπανελθὼν ἀρεσκοίμην οἷς σὺ πράσσεις.

Σόλων Κροίσῳ.

Α'γαμαί σε τῆς περὶ ἡμᾶς φιλοφροσυύνης καὶ τὴν τῶν Α'θηναίων, εἰ μὴ περὶ παντός μοι ἦν οἰκεῖν ἐν δημοκρατίᾳ, ἐδεξάμην ἂν μᾶλλον τὴν δίαιταν ἔχειν ἐν τῇ παρὰ σοὶ βασιλείᾳ, ἢ Α'θηναίοις, τυραννεύοντος βιαίως Πεισιστράτου. ἀλλ' ἡ ἡδίων ἡμῖν ἡ βιοτὴ, σὺ δὰ πᾶσι τὰ δίκαια καὶ ἴσα. ἀφίξομαι δ' ἂν παρά σε, ἀσμένων τοῦ ξενὸς ἡγέσθαι.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΧΕΙΛΩΝ.

Χείλων Δαμαγήτου, Λακεδαιμόνιος. ὅστος ἐποίησεν ἐλεγεῖα εἰς ἔτη ἑξακόσια, καὶ ἔφασκε παρόσιαν περὶ τὰ μέλλοντος λογισμῷ καταλήπτειν, εἶναι ἀνδρὸς ἀρετῆ. πρός τε τὸν ἀδελφὸν δυσφορῶντα ὅτι μὴ ἔφορος ἠιρέτο, αὐτὸ ὄντος, Ε'γὼ μὲν δὴ ὑπέσαμαι, εἶπεν, ἀδικεῖσθαι, σὺ δὲ ὄ. γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν ἕκτην Ο'λυμπιάδα. Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην. καὶ πρῶτον ἔφορον γενέσθαι ὑπὸ Εὐθυδήμου, ὥς φησι Σωσικράτης. καὶ πρῶτος εἰσηγήσατο ἐφόρους τοῖς βασιλεῦσι προσδιγνύναι. Σάτυρος δὲ Λυκάργου. ὅστος (ὥς φησιν Η'ρόδοτος ἐν τῇ πρώτῃ) Ι'πποκράτει συνομνύῳ

μῦθον ἐν Ὀλυμπίᾳ, τῷ λεβήτων αὐτομάτων ζεσάντων, συμβεβλῆσθαι ἢ μὴ γῆμαι, ἢ, εἰ ἔχοι γυναῖκα, ἐκπέμψαι, καὶ παῖδας ἀπείπασθαι.

Φασὶ δ' αὐτὸν καὶ Αἰσώπῳ συνθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν; τὸν δὲ φάναι; Τὰ μὲν ὑψηλὰ ταπεινῶν, τὰ δὲ ταπεινὰ ὑψῶν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη, Ἐλπίσιν ἀγαθαῖς. τί δύσκολον; Τὸ τὰ ἀνθρώπινα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδιάπεμπτον διάγειν φέρειν. προσέταττε δὲ καὶ ταῦτα· Γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ· μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μή, ἀκούεσθαι ἐφ' οἷς λυπήσεσθαι· μὴ ἀπειλεῖν μηδενί· γυναικώδες γάρ. ταχύτερον ὀπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ὀπὶ τὰς δυτυχίας πορεύεσθαι. γάμον τελεῖν ποιεῖσθαι· τὸν τεθνηκότα μὴ κακολογεῖν. γῆρας τιμᾶν. φυλάττειν ἑαυτόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε· τὸ δὲ διὰ παντὸς. ἀτυχοῦντι μὴ ἐπιγελᾶν. ἰσχυρὸν ὄντα φοβερὸν εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. μανθάνειν τὴν αὐτῶν οἰκίας καλῶς προσατεῖν. τὴν γλῶτταν μὴ προέχειν τοῦ νοῦ. θυμοῦ κρατεῖν. μαντικὴν μὴ ἐχθαίρειν· μὴ ἐπιθυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ καθεύδειν. λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. νόμοις πείθεσθαι. ἠρεμίᾳ χρῆσθαι. τῷ δὲ ἁδομένων αὐτοῦ μάλιστα ἀδοκίμησον ἐκεῖνο, Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανεράν. ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε καὶ κακῶν τε οὐδὲν ἔδωκε ἔλεγχον.

Φασὶ δ' αὐτόν ποτε, γηραιὸν ἤδη ὄντα, εἰπεῖν ὡς ἓν δὲν σοφώτερον ἄγνωμον ἑαυτῷ ἐν τῷ βίῳ· διηγεῖσθαι δὲ περὶ τούτου. κείνων γάρ ποτε φίλῳ δίκην, αὐτὸς μὲν κατὰ τὸν νόμον, τὸν δὲ φίλον πείσειν δικάσασθαι αὐ-

αὐτοῦ, ἵνα ἀμφότερα καὶ τὸν νόμον καὶ τὸν φίλον τηρήσῃ.

Ἐνδοξότατος δὲ μάλιστα ἐν τοῖς Ἕλλησιν ἐγένετο, προειπὼν περὶ Κυθήρων τῆς νήσου τῆς Λακωνικῆς. καταμαθὼν γὰρ τὴν φύσιν αὐτῆς, Εἴθε, ἔφη, μὴ ἐγεγόνει, ἢ γοῦν μὴ καταβυθισθῆναι. καὶ εὖ προὐνοήσατο. Δημάρατος μὲν γὰρ, φυγὰς ὢν Λακεδαιμονίων, Ξέρξῃ συνεβούλευσε τὰς ναῦς συνέχειν ἐν τῇ νήσῳ. κἂν ἑαλώκει ἡ Ἑλλὰς, εἰ ἐπείθη Ξέρξης. ὕστερόν τε Νικίας ὁ τὴν Πελοποννησιακὴν καταστρεψάμενος τὴν νῆσον, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα τὴν Λακεδαιμονίαν κακὰ διέθηκε.

Βραχυλόγος τε ἦν· ὅθεν καὶ Ἀγησαγόρας ὁ Μιλήσιος τὸν τὸν βοῦν Χειλώνειον καλεῖ. Βράγχα δέ εἶναι, ὃς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βραγχίδαις. ἦν δὲ γέρων περὶ τὴν πεντηκοστὴν δευτέραν Ὄλυμπιάδα, ὅτε Λίσωπος ὁ λογοποιὸς ἤκμαζεν. ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν ὀλυμπιονίκην ἀσπασάμενος πυγμῆς. ἔπαθε δὲ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀθυμίας πολυετίας. καὶ αὐτὸν πάντες οἱ περὶ τὴν παλαίστραν ἐντιμότατα παρέπεμψαν. ἔστι δὲ καὶ εἰς τοῦτον ἐπίγραμμα ἡμῶν,

Φωσφόρε σοὶ Πολύδευκες ἔχω χάριν, ὕνεκα υἱὸς
Χείλωνος πυγμῇ χλωρὸν ἔλεν κότινον.
Εἰ δ' ὁ πατὴρ σεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡδεῖ,
Οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θανάτος.

ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τόδε·

Τόνδε δορυσσέφανος Σπάρτα Χείλωνα τέθυκεν,
Ὃς τὴν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίην.

Ἀπε-

Α'περθέγξατο, Ἐγγύα, πάρα δ' ἄτα. ἔστιν αὐτῷ καὶ ἐπιτόλιον τόδε.

Χείλων Περιάνδρῳ.

Ἐπίσχεις ἐμὶν ἀστρατείαν ὅτι ἐκδάμως, ὡς αὐτὸς καὶ ἑξέρποις. ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκεῖα σφαλερὰ ἤμῳ ἀνδρὶ μοναρχῳ, καὶ τῆνον τυραννῳ εὐδαιμονίζω, ὅστις καὶ οἶκοι ἐξ αὐτὸς αὐτῷ κατθαίη.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΠΙΤΤΑΚΟΣ.

Πιττακὸς Γύρραδίου Μιτυληναῖος. φησὶ δὲ Δῶρις τὸν πάτερα αὐτῷ Θρᾷκα εἶναι. ἔπος μὲν τὸν Ἀλκαίου ῥόμβος ἀδελφῶν, Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον· καὶ περὶ τῆς Ἀχιλλείτιδος χώρας μαχόμενον Ἀθηναίων καὶ Μιτυληναίων, ἐστράτηγει μὲν αὐτὸς, Ἀθηναίων δὲ Φρυνίων παγκρατιαστὴς ὀλυμπιονίκης. συνέθετο δὴ μονομαχῆσαι πρὸς αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα, λαθραίως περιέβαλε τὸν Φρυνίωνα, καὶ κτείνας, ἀνεσώσατο τὸ χωρίον. ὕστερον μέν τοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς ἑξαδικαθῆναι τὰς Ἀθηναίας περὶ τῶν χωρίων πρὸς τὰς Μιτυληναίας, ἀκέσαντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκεῖναι.

Τότε δ' ἐν τὸν Πιττακὸν ἐχύρωσαν ἐτίμησαν οἱ Μιτυληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῷ. ὁ δὲ δέκα ἔτη καταχὼν, καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, καὶ

τέθετο τὴν ἀρχήν, καὶ δέκα ἐπέβιω ἄλλα. καὶ χώραν αὐτῷ ἀπέστειλαν οἱ Μιτυληναῖοι· ὁ δὲ ἱερὰν αἴτησεν, ἥτις νῦν Πιττάκειος καλεῖται. Σωσικράτης δέ φησιν ὅτι ὀλίγον ἀποτεμόμενος, ἔφη, Τὸ ἥμισυ τοῦ παντὸς πλεῖόν ἐστιν. ἀλλὰ καὶ Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλάσια· ἄπαιδος δὲ τοῦ ἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.

Παμφίλη δέ φησιν ἐν δευτέρῳ τῶν ὑπομνημάτων, ὡς τὸν ἵππον αὐτοῦ Τυρραῖον καθήμενον ἐπὶ κεφαλὴν ἐν Κύμῃ χαλκοῦς τις πέλεκυν ἐμβαλὼν ἀπέκτεινε. τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Πιττακῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν, Συγγνώμη μετανοίας κρείσσων. Ἡράκλειτος δέ φησιν, Ἀλκαῖον ὑποχείριον λαβόντα καὶ ἀπολύσαντα φάναι, Συγγνώμη τιμωρίας κρείσσων. νόμας δὲ ἔθηκε τοῖς μεθύουσι, ἐὰν ἁμάρτῃ, διπλοῦν εἶναι τὴν ζημίαν· ἵνα μὴ μεθύωσι, πολλοῦ καὶ τοῦ νήφειν οἴνου γινομένου.

Εἰπέ τε χαλεπόν, ἐσθλὸν ἔμμεναι. ὃ καὶ Σιμωνίδης μέμνηται, λέγων,

Ἄνδρα ἀγαθὸν ἀληθέως φυλάσσαι χαλεπὸν, τὸ Πιττάκειον.

Μέμνηται αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ· Ἀνάγκη δ' ἐδὲ θεοὶ μάχονται. καὶ, Ἀρχὴ ἀνδρὸς δεικνύει. ἐρωτηθεὶς δέ ποτε τί ἄριστον, Τὸ παρὸν εὖ ποιεῖν. καὶ πρὸς Κροίσον, τίς ἀρχὴ μεγίστη; ἢ τὸ ποικίλον, ἔφη, ξύλον· σημαίνων τὸν νόμον. ἔλεγε δὲ καὶ τὰς νίκας ἀπὸ αἵματος ποιεῖσθαι. ἔφη δὲ καὶ πρὸς τὸν Φωκαϊκὸν φάσκοντα, Δεῖν ζητεῖν ἄνθρωπον ἀσφαλῆ, Ἂν λίαν, ἔφη, ζητῇς, οὐχ εὑρήσεις. καὶ πρὸς τοὺς πυνθανομένους τί δύσκολον, Χρόνος, ἔφη. ἀφανές, τὸ μέλλον. πιστὸν,

γῆ.

γῆ· ἄπιστον, θάλασσα. ἔλεγέ τε σωφρόνων ἀνδρῶν εἶναι, πρὶν ψηφίσαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται· ἀνδρείων δὲ, ψηφίσματα εὖ θέσθαι. ὃ μέλλεις πράττειν, μὴ προλέγε· ἀποτυχὼν γὰρ, γελασθήσῃ. ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδέμονον. ξεῖνα καταθήκην λαβόντα, ἀποδοῦναι. φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. δυσέβειαν ἀσκεῖν. σωφροσύνην φιλεῖν. ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν.

Τῶν δὲ ἀδομένων αὐτῷ μάλιστα δοκίμησε τάδε,

Ἔχοντα δεῖ τόξον καὶ ἰοδόκον φαρέτραν,
Στείχειν ποτὶ φῶτα κακόν.
Πιστὸν γὰρ ἀνδρὸς γλῶσσα καὶ στόμαος λαλεῖ,
Δίχομυθον ἔχουσα κραδίην νόημα.

ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη ἑξακόσια, καὶ ὑπὲρ νόμων καταλογάδην τοῖς πολίταις.

Ἤκμαζε μὲν ἐπὶ τῆς τεσσαρακοστῆς δευτέρας Ὀλυμπιάδος· ἐτελεύτησε δ' ἐπὶ Ἀριστομένους, τῷ ἕκτῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας Ὀλυμπιάδος, βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα, ἤδη γηραιός. καὶ αὐτῷ ἐπὶ τῷ μνήματος ἐπιγέγραπται τόδε,

Οἰκείοις δακρύοις ἀγεναυμάχα καταθάπτει
Ἐνθάδε Πιττακὸν ἡ δ' ἱερὰ Λέσβος.

ἀπόφθεγμα αὐτοῦ, Καιρὸν γνῶθι.

Γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης (ὡς φησι Φαβωρῖνος ἐν ἀπομνημονευμάτων πρώτῳ, καὶ Δημήτριος ἐν ὁμωνύμοις) ὃς καὶ μικρὸς προσηγορεύθη.

Τὸν δ' ἐν σοφοῖς λέγεται ποτε νεανίσκῳ συμβαλλομένῳ περὶ γάμου ταῦτα εἰπεῖν, ἄφησι Καλλίμαχος ἐν ταῖς ἐπιγράμμασι,

Ξεῖνος Ἀταρνείτης τὶς ἀνὴρετο Πιττακὸν ἔτως
Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιυ.
Ἄτπα, γέρον, δοιός με καλεῖ γάμος. ἢ μία μὴ δὴ
Νύμφη, ἢ πλάτῳ ἢ ῥηγεῖ κατ' ἐμέ.
Ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε σύ μοι
Βάλεσσον πατέρων εἰς ὑμεναίον ἄγων.
Εἶπεν, ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
Ἠϊδ' ἐκεῖνός σοι πᾶν ἐρέεσιν ἔπος.
Οἱ δ' ἄρ' ὑπὸ πληγῆσι θοαὶς βέμβικας ἔχοντες
Ἔτριφον δίρειν παῖδες ὀϊὶ ξιόδω.
Κείνων ἔρχεο, φησί, μετ' ἴχνια. χὠ μὴ ἐπέσῃ
Πλησίον. οἱ δ' ἔλεγον, Γλῶ ἢ σαυτὸν ἔλα.
Ταῦτ' αἶσαν ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκε
Δράξασθαι, παίδων κλεηδόνι σωθέμενος,
Γλῶ δ' ὀλίγῳ, ὡς κεῖνος, ἐς οἰκίον ἤγαγε νύμφιον.
Οὕπω ἢ σὺ Δίων γλῶ ἢ σαυτὸν ἔλα.

δοκεῖ δ' ἐκ ἐμαθήσεως αὐτὰ εἰρηκέναι. διήμερα γὰρ αὐτῷ ἦσα ἡ γυνὴ, ἐπειδήπερ ἦν Δράκοντος ἀδελφὴ τῷ Πενθίλῳ, σφόδρα κατεσπαρδύετο αὐτῷ.

Τῶτον Ἀλκαῖος Σαράποδα μὲν ἢ Σάραπον ὀνομαλεῖ, διὰ τὸ πλατύπουν εἶναι ἢ ὑπισύρειν τὼ πόδε. Χειροπόδιον δὲ, διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλευ. Γαύεπα δὲ, ὡς εἰκῇ γαυριῶντα. Φύσκωνα δὲ ἢ Γάστρωνα, ὅτι παχὺς ἦν. ἀλλὰ μὴν ἢ Ζωφοδαρπίδαν, ὡς ἄλυχνον. Ἀγάσυρτον δὲ, ὡς ὑπασυρμῶν ἢ ῥυπαρόν. τὸ γυμνάσιον, σῖτον ἀλῶν, ὥς φησι Κλέαρχος ὁ φιλόσοφος.

Καὶ αὐτῷ ἐστιν ὑπόλιον τοιόνδε.

Πιτ-

Πιττακὸς Κροίσῳ.

Κέλεαί με ἐκνεῖθαι ἐς Λυδίαν, ὅπως σοι τὸν ὄλβον ἴδωμι. ἐγὼ δὲ οὐ μὴν ὀρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῆς βασιλίδων πολυχρυσότατον πέλειν. ὠδὶ τε πλέον ἄμμιν ἐκομίσσεις ἐς Σάρδις· χρυσὸς γὰρ ὁ δόλιμος, ἀλλ' ἃ πέπαμαι, ἄρκια μοὶ τοῖς ἐμοῖς ἑταίροις· ἔμπας δ' ἵξομαι, ὡς αὐδρὶ ξείνῳ χαριούμην τὸ σωμόμιλος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΒΙΑΣ.

Βίας Τελαμῶνος, Πριηνεύς, φρονιμώτατος τῶν ἐπὶ τοῦ Σατύρου. τοῦτον οἱ μὲν πλείονες, Δῶρις δὲ παροικάνθρωπον γεγονέναι. Φανόδικος δὲ κόρας αἰχμαλώτους λυζωσταμβόου Μιτυληναίας, θρέψαι τε ὡς θυγατέρας, καὶ φρονίμας ἐπιδοῦναι, καὶ εἰς τιμὴν Μιτυληναίων ἀποσεῖλαι τοῖς παρ' ἑαυτῶν. χρόνῳ δ' ἐν ταῖς Ἀθήναις, ὡς προείρηται, τὸ ζίφος ἁρεθὲν ὑπὸ τῶν ἁλιέων, τὸ χαλκοῦ ἐπιγραφὴν ἔχοντος, τῷ σοφῷ, Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας (οἱ δὲ, τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος) εἰς τιμὴν ἐπιλήσιαν, καὶ ἐπεῖν τὸν Βίαντα σοφὸν, διηγησαμένας τὰ καθ' ἑαυτάς. καὶ ἀπεσάλη ὁ ζίφος, καὶ ὁ Βίας ἰδὼν, ἔφη τὸν Ἀπόλλω σοφὸν εἶναι, ὃς προσήκατο.

Οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπεὶ ἀπόγονος ἦ Θηβαίων, ἀποικίαν ἐς Πριήνην στειλάντων· ὥσπερ καὶ Φανόδικός φησι. λέγεται δὲ καὶ

Ἀλυάττῃ πολιορκοῦντος Περιάνδρου, τὸν Βίαντα, πεμφθέντα δύο ἡμιόνους, ἐξελάσαι εἰς τὸ στρατόπεδον. τὸν δέ, συνιδόντα, καταπλαγῆναι μέχρι τῆς ἀλόγων ἐλατείνειν αὐτῶν τῇ δ' ἐσθῆτι, καὶ ἐβεβλήθη πεισθῆναι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωρὸς φάμνου χέας, καὶ ἄνωθεν σῖτον ἐπιχέας, ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης, εἰρήνην ἐποιήσατο πρὸς τοὺς Περιανδρέας. θάττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα ἵνα ἥκῃ παρ' αὐτόν, Ἐγὼ δέ, φησὶν, Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν, ἴσον τῷ κλαίειν.

Λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν. ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ προσεχρῆτο. ὅθεν καὶ Δημόδικος ὁ Ἀλείριος τοῦτο αἰνίττεται, λέγων, Ἤν τύχῃς κείνων, δικάζου τῷ Περιανδρείῳ δίκῃ· καὶ Ἱππώναξ, ἃ καὶ δικάζεσθαι Βίαντος τὸ Περιανδρείως κρεῖσσον.

Τοῦτον ἔν τε ἐτελεύτα τὸν τρόπον. δίκῃ γὰρ ὑπέρτιτος λέξας ἤδη ὑπέργηρως ὑπάρχων, μὴ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τῇ κεφαλῇ εἰς τὰς τῆς θυγατρὸς ἐκ κόλπους. εἰπόντος δέ τε ἐξ ἐναντίας, καὶ τῶν δικαστῶν τῇ ὑφορᾷ ἐνεγκόντων τὸ ὑπὸ τοῦ Βίαντος βουθυμηθέν, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοφρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν,

Κλεινῆς ἐν δαπέδοισι Περιάνδρης φύτλα καλύπτει
Ἥδε Βίαντα πέλα, κόσμον Ἴωσι μέγαν.

Ἀλλὰ καὶ ἡμεῖς,

Τῇδε Βίαντα κέκλιθε, τὸν ἀξέμας ἤγαγεν Ἑρμῆς
Εἰς ἀΐδαν, πολιῷ γήραϊ νικόμενον.

Εἶπε

Εἶπε γὰρ, εἶπε δίκλω ἑπάρα τινός, εἶτ' ἀπολιπὼν
θεὶς
Παιδὸς ἐς ἀγκαλίδας, μακρὸν ἔτεινον ὕπνον.

Ἐποίησε δὲ περὶ Ἰωνίας, τίνα μάλιστα αὖ ξόπον δ' δαιμονοίη, εἰς ἔπη δισχίλια. τῷ δὲ ἀδομένων αὐτῶ δ' δοκίμησε τάδε,

Ἀϝοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει αἶκε μενύης·
Πλείσαν γὰ ἔχει χάριν· αὐθάδης δὲ ξόπος
Πολλάκι βλαβερὰ ἐξέλαμψεν ἄταν.

κὴ τὸ μὲν, ἰσχυρὸν γνώθαι, τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δικάθαι τὰ συμφέροντα τῇ παρίδι, ψυχῆς ἴδιον κὴ φρονήσεως. δ' πορίαν δὲ χρημάτων πολλοῖς κὴ δχὶ τύχῃ περιγίνεθαι. ἔλεγε δὲ ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα. κὴ νόσον ψυχῆς, τὸ τῷ ἀδυνάτων ἐρᾶν, ἀλλοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶναι· ἐρωτηθεὶς τί δυσχερές, Τὸ ὅπῃ τὸ χεῖρον, ἔφη, μεταβολὴ δ' ἥδιστος ἐνεγκεῖν. συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς, κἀκείνων τὰς θεὰς ὁπικαλεμένων, Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. ἐρωτηθεὶς τὸν ἀσεβῆ ἀνθρώπα, τί ποτέ ἐστιν δυσέβεια, ἐσίγα· τῶ δὲ τὸν αἰτίαν τῆς σιγῆς πυθομένῳ, Σιωπῶ, ἔφη, ὅτι περὶ τῷ σὲ δεῖ σοι προσηκόντων πυθέσθαι. ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις, Ἐλπὶς, ἔφη· ἥδιον ἔλεγε δικαζειν μεταξὺ ἐχθρῶν ἢ φίλων. τῷ μὲν γὰ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον· τῷ δὲ ἐχθρῶν τὸν ἕτερον φίλον. ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη, Κερδαίνων. ἔλεγε πὸν βίον ὅπα δεῖν μεθεῖν, ὡς κὴ πολλῶ κὴ ὀλίγον χρόνον βιωσομένους. κὴ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰ πλείστους εἶναι κακούς. σωνεβάλλετε τε ὧδε,

Βαδέως ἐγχειρεῖ τοῖς πραττομένοις· ὃ δ' ἂν ἕλῃ, βεβαίως πρᾶον φέρει. Μὴ ταχὺ λαλεῖ· μανίαν γὰρ ἐμφαίνει. Φρόνησιν ἀγάπα. Περὶ θεῶν λέγε ὡς εἰσίν. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιασάμενος. Ὅ τι ἂν ἀγαθὸν πράττῃς, εἰς θεὸς αὐτὸ πέμπει. Ἐφοδίου δίκην νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῆς ἄλλων κτημάτων.

Μέμνηται τε Βίαντος καὶ Ἱππώνακτος, ὡς προείρηται. καὶ ὁ δυσάρεστος Ἡράκλειτος μάλιστα αὐτὸν ἐπῄνεσε, γράψας, Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων. καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον· ἀπεφθέγξατο, Οἱ πλεῖστοι κακοί.

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΚΛΕΟΒΟΥΛΟΣ.

Κλεόβουλος, Εὐαγόρου, Λίνδιος· ὡς δέ τινες, Καρῆνιος δέ, εἰς Ἡρακλέα ἀναφέρειν τὸ γένος αὐτοῦ. ῥώμῃ δὲ καὶ κάλλει διαφέρειν, μετασχεῖν τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. γῆμαί τε αὐτοῦ θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἐξαμέτρων ποιήτριαν· ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθωτικῶς ἐπιγράψας. ἀλλὰ καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀνατεθεῖσθαι αὐτὸν ὑπὸ Δαναοῦ.

Οὗτος ἐποίησεν ἄσματα καὶ γρίφους εἰς ἔπη ξιχίλια. καὶ τὸ ἐπίγραμμα τοῦτο τὸ ἐπὶ Μίδᾳ τοῦτον φασὶ ποιῆσαι,

Χαλ-

Χαλκῆ παρθενός εἰμι, Μίδεω δ' ὑπὸ σήματι κεῖμαι.
Ἐς ὅ κ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
Ἠέλιός τ' ἀνίων λάμπῃ, λαμπράτε σελήνη,
Καὶ ποταμοὶ γε ῥέωσιν, ἀκαχλύζῃ δὲ θάλασσα,
Αὐτῆ τῇδε μένουσα πολυκλαύτῳ ὑπὸ τύμβῳ,
Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

φέρουσι δὲ μαρτύριον, Σιμωνίδου ἔπος, ὅπου φησί,

Τίς κεν αἰνήσειε νῶι πίσυνος
Λίνδου ναέταν Κλεόβουλον,
Ἀθαναίοις ποταμοῖς,
Ἀνθεσί τ' εἰαρινοῖς,
Ἀελίῳ τε φλογί, χρυσάς τε σελάνας,
Καὶ θαλασσαίαισι δίναις
Ἀντιθέᾳ μνῆμα κάλας;
Ἄπαντα γὰρ ἔσται θεῶν πάρα.
Λίθον δὲ καὶ βροτείαι παλάμαι θραύοντι.
Μωρᾶ φωτὸς ἄδε βουλά.

ἃ γὰρ εἶναι Ὁμήρου τὸ ὑπόγραμμα, πολλοῖς ἔτεσι προέχοντος, φασί, τὴν Μίδου.

Φέρεται δ' αὐτῆ ἐν τοῖς Παμφίλης ὑπομνήμασι καὶ αἴνιγμα τοιόνδε,

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῷ δὲ καθ' ἑκάστῳ
Παῖδες ἔασι τριήκοντ' ἀΐδιχα εἶδος ἔχουσαι.
Αἱ μὲν, λευκαὶ ἔασιν ἰδεῖν· ἢ δ' αὖτε, μέλαιναι·
Ἀθάνατοι δέ τ' ἔασαι ὑποφθινύθουσιν ἅπασαι.

ἔστι δὲ ὁ ἐνιαυτός.

Τῶν δὲ ἀδομένων εὐδοκίμησεν αὐτῆ πάδε. Ἀμυσίᾳ τὴν

τὸ πλέον μέρος ἐν βροτοῖσι, λόγων τε πλῆθος. ἀλλ' ὁ καιρὸς ἀρκέσει. Φρόνει τὶ κεδνόν. Μὴ μάταιος ἄχαρις γινέσθω. Ἔφη δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθενίας μὲν τῇ ἡλικίαν, τῷ δὲ φρονεῖν γυναῖκας· ὑποδεικνὺς ὅτι δεῖ παιδεύεσθαι καὶ τὰς παρθενίας. Ἔλεγέ τε τὸν φίλον δεῖν ἐργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος· τὸν δὲ ἐχθρὸν, φίλον ποιεῖν. φυλάσσεσθαι γὰρ τῷ μὲν φίλων, τὸν ψόγον· τῷ δὲ ἐχθρῶν, τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ὀξίῃ τῆς οἰκίας, ζητεῖτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ πάλιν, ζητεῖτω τί ἔπραξε. Συμβάλλεσθε εὖ τὸ σῶμα ἀσκεῖν. Φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ. Γλῶσσαν εὔφημον ἔχειν. Ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλόγιον. Ἀδικίαν φεύγειν. Πόλει τὰ βέλτιστα συμβουλεύειν. Ἡδονῆς κρατεῖν. Βίᾳ μηδὲν πράττειν. Τέκνα παιδεύειν. Ἔχθραν ἀμύνειν. Γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ, αἰσχρὸν· τὸ δὲ, μανίαν σημαίνει. Οἰνίζειν μὲν παροινον μὴ κολάζειν· δοκεῖν γὰρ παροινεῖν. Γαμεῖν ἐκ τῶν ὁμοίων· ἀπὸ γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, φησὶ, δεσπότας κτήσῃ τοὺς συγγενείας. μὴ ἐπαγγελᾶν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τάχιστα. Εὐτυχῶν μὴ ἴδοι ὑπερήφανος· ἀπορήσας, μὴ ταπεινός. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐνεγκεῖν φέρειν.

Ἐτελεύτησε δὲ γηραιὸς, ἔτη βιοὺς ἑβδομήκοντα· καὶ αὐτῷ ἐπεγράφη·

Ἄνδρα σοφὸν Κλεόβουλον ἐποφθίμενον καταπύθει
Ἥ δὲ πάρος Λίνδος, πόντῳ ἀγαλλομένη.

Ἀπεφθέγξατο, Μέτρον ἄριστον. καὶ Σόλωνι ἐπέστειλεν ὅτι·

Κλεό-

Κλεόβυλος Σόλωνι.

Πολλοὶ μέν τινες εἰσὶν ἑταῖροι, ὦ οἶκος παντί. φαμὶ δὲ ἐγὼν ποτιωτάτων ἐσεῖδαι Σόλωνι τὸν Λίνδου δαμοκρατεόμενον. ὦ ἃ νᾶσος πελαγία, οὔθ' οἰκέοντι κῆδος δεινὸν ἐκ Πεισιράτω· ὦ τοὶ ἑταῖροι δὲ ἑκάστοθεν πάρτοι βασεῦνται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΠΕΡΙΑΝΔΡΟΣ.

ΠΕριανδρος Κυψέλω, Κορίνθιος, ἀπὸ τᾶ τῷ Ἡρακλειδᾶν φύας. ἔτος γήμας Λυσίδαν, ὧ αὐτὸς Μέλισσαν ἐκάλει, τὰν Προκλέος, τᾶ Ἐπιδαυρίων τυράννω, ὦ Ἐρισθενείας τᾶς Ἀριστοκράτας παιδός, ἀδελφᾶς δὲ τᾶ Ἀριστοδήμω, θυγατέρα, οἱ χῆδον πάσης Ἀρκαδίας ἐπῆρξαν (ὡς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἀρχᾶς) παῖδας ἐξ αὐτᾶς ἐποίησε δύο, Κύψελον ὦ Λυκόφρονα· τὸν μὲν νεώτερον, σιωπηρόν· τὸν δὲ πρεσβύτερον, ἄφρονα· χρόνῳ δὴ ὕστερον ὀργᾶς βαλὼν ὑποβάθρῳ, ἢ λακτίσας τὰν γυναῖκα, ἔγκυον οὖσαν, ἀπέκτεινε, πειθεὶς ἐγβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε. τόν τε παῖδα ἀπεκήρυξεν εἰς Κέρκυραν, λυπούμενον ὅτι τᾷ μητρὶ, ᾧ ὅμοια Λυκόφρων.

Ἤδη δὲ ἐν γήρᾳ καθεσὼς μετεπέμπετο αὐτὸν ὅπως ἀφελάβῃ τὰν τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο· ὅθεν ὀργισθεὶς ἔπεμψε τὰς παῖδας αὐτῶν πρὸς Ἀλυάττεω ἐπ' ἐκτομῇ. προχούσης δὲ τᾶς νεὼς

Σά-

Σάμῳ, ἱκετεύσαντες τὴν Ἥραν, ὑπὸ τῶν Σαμίων διεσώθησαν. καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἐτῶν ὀγδοήκοντα. Σωσικράτης δέ φησι πρότερον Κροίσῳ τελευτῆσαι αὐτὸν ἔτεσι τεττεράκοντα καὶ ἑνὶ, πρὸ τῆς τεσσαρακοστῆς ἐνάτης Ὀλυμπιάδος. τῶν Ἡρόδοτος ἐν τῇ πρώτῃ ξένον φησὶν εἶναι Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ. φησὶ δὲ Ἀρίσιππος ἐν πρώτῳ περὶ παλαιᾶς ὕβρεως περὶ αὐτὸν τάδε, ὡς ἄρα ἐραθεῖσα ἡ μήτηρ αὐτοῦ Κράτεια, σωιλῶν αὐτῷ λάθρα· καὶ ὃς ἤσθετο· φανερὸς δὲ ὠργίσθη βαρὺς πᾶσιν ἐγίνετο, μὴ τὸ αἰνιγεῖν ὅτι τὴν φωρᾷ. ἀλλὰ καὶ Ἔφορος ἱστορεῖ ὡς εὐξαίτου, εἰ νικήσειεν Ὀλύμπια τεθρίππῳ, χρυσοῦν ἀνδριάντα ἀναθεῖναι. νικήσας δὲ, καὶ λόγων χρυσίᾳ, κατά τινα ἑορτὴν ἐπιχώριον κεκοσμημένας ἰδὼν τὰς γυναῖκας, παντὶ ἀφεῖλετο τὸν κόσμον, καὶ ἐπέμψε τὸ ἀνάθημα.

Λέγουσι δέ τινες ὡς θελήσας αὐτῆς τὸν τάφον μὴ γνωσθῆναι, τοιόνδέ τι ἐμηχανήσατο. δυσὶν ἐπέλυσεν ναυπήγοις (δείξας τινὰ ὁδὸν) ἔξελθεῖν νύκτωρ, καὶ τὸν ἀπαντήσαντα ἀνελεῖν καὶ θάψαι. ἔπειτα βαδίζειν ἄλλους τε καὶ τῶν τέτταρας, καὶ ἀνελόντας θάψαι· πάλιν τε καὶ τῶν πλείονας. καὶ ὅπως αὐτὸς τοῖς φωνοῖς ἐντυχὼν ἀνηρέθη. Κορίνθιοι δὲ ὅπή τι κενοτάφιον ἐπέγραψαν αὐτῷ τόδε,

Πλάτα καὶ σοφίης φρύτανιν πάρος ἥδε Κόρινθος
Κόλποις ἀγχιάλοις γῆ Περίανδρον ἔχει·

ἔστι καὶ ἡμῶν,

Μή ποτε λυπήσῃ σε τὸ μήσε τυχεῖν τινος, ἀλλὰ
Τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
Οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἐθέλεν.

Τὸ-

Τότε ὀξὶ ϗ τὸ, Μηδὲν χρημάτων ἕνεκα πράττειν· ϗδὲν γὰρ τὰ κερδαντὰ κερδαίνειν· ἐποίησε δὲ ϗ ὑποθήκας εἰς ἔτη διχίλια. Εἰπέ τε τὶς μέλλοντας ἀσφαλῶς τυραννήσειν, τῇ δ'νοίᾳ δορυφορεῖσθαι, ϗ μὴ τοῖς ὅπλοις. καί ποτε ἐρωτηθεὶς δι' τί τυραννεῖ; ἔφη, Ὅτι ϗμὶ τὸ ἁκουσίως ἀποστῆναι, ϗ τὸ ἀφαιρεθῆναι, κίνδυνον φέρει. ἔλεγε δὲ ϗὰ τάδε, Καλὸν ἡσυχία. Ἐπισφαλὲς προπέτεια. Κέρδος αἰσχρόν. Δημοκρατία κρεῖττον τυραννίδος. Αἱ μὲν ἡδοναὶ, φθαρταί· αἱ δὲ τιμαὶ, ἀθάνατοι. Εὐτυχῶν μὲν, μέτριος ἴθι· δυσυχῶν δὲ, φρόνιμος. Φίλοις δ'τυχοῦσι ϗ ἀτυχοῦσιν ὁ αὐτὸς ἴθι· Ὃν ἂν ὁμολογήσῃς, ἀπάτρει. Λόγων ἀπορρήτων ἐφορᾶν μὴ ποιῶ. Μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ ϗ τοὺς μέλλοντας, κόλαζε.

Οὗτος πρῶτος δορυφόρους ἔσχε, ϗ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε. ϗδὲ κε εἶα ἐν ἄρχειν ζῆν τοὺς βελομένους, παθάφησιν Εὔφορος ϗ Ἀριστοτέλης.

Ἤκμαζε δὲ περὶ τὴν ξ̄ιακοστὴν ὀγδόην Ὀλυμπιάδα, ϗὶ ἐτυράννησεν ἔτη τετταράκοντα. Σωτίων δὲ, ϗ Ἡρακλείδης, ϗ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων, δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν, κύραννον· τὸν δὲ, σοφὸν ϗ Ἀμπρακιώτην. τοῦτο ϗ Νεάνθης φησὶν ὁ Κυζικηνὸς, ἀνεψιοὺς τε εἶναι ἀλλήλοις. ϗ Ἀριστοτέλης μὲν τὸν Κορίνθιον φησιν εἶναι τὸν σοφόν· Πλάτων δὲ, ἕφησι. πάντα ὀξὶ, Μελέτη τὸ πᾶν. ἤθελε δὲ ϗ τὸν Ἴσθμὸν διορύξαι.

Φέρεται δὲ αὐτοῦ ϗ ὑποθήκη.

Περίανδρος τοῖς Σοφοῖς.

Πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλωνι, ὅτ' εἰς σὸν ἐλθόν-

θόντας αὐτεῖ. ἥξεντι κὴ ἐς Κόρινθον ταὶ ἐμαὶ ὀπισθολαί. ἐγὼν δὲ ὑμᾶς ἀποδέχομαι, ὡς ἴστετε αὐτοὶ, ὅτι δαμοτικώτατα. πυθόμαι ὡς πέρυτι ἐγήνετο ὑμῶν ἀλία ἐκδὲ τὸν Λυδὸν ἐς Σάρδεις. ἤδη ὦν μὴ ὀκνεῖτε κὴ παρ' ἐμὲ φοιτῆν τὸν Κορίνθε τύραννον. ὑμᾶς γὰρ καὶ ἄσμυροι ὄφονται Κορίνθιοι φοιτεύντας εἰς οἶκον τὸν Περίανδρε.

Περίανδρος Προκλεῖ.

Ἀμὶν μὲν ἀκέσιον τᾶς δάμαρτος τὸ ἄγος· τὺ δὲ, ἐκὼν τῷ παιδὶ ἰὼ ὑπὸ θυμῷ ποιήσαις, ἀδικεῖς. ἢ ὦν παῦσον τὰν ἀπλυΐαν πῶ παιδός, ἢ ἐγώ τοι ἀμυνέμαι. κὴ δὴ κὴ αὐτὸς ποινὰς ἔτισα τὼ τε θυγατρὶ καταχάυσας αὐταὶ κὴ τὰ πασσὰ Κορινθίαν εἵματα.

Ἔγραφε δὲ αὐτῷ κὴ Θρασύβυλος ἔπος·

Θρασύβυλος Περιάνδρῳ.

Τῷ μὲν κήρυκι σεῦ ἐδὸν ὑποκεινάμενος. ἀγαγὼν δὲ αὐτὸν ἐς λήϊον, τὰς ὑπερφυέας τᾶν ἀσταχύων ῥάβδῳ παίων ἀπεθέριζον, ὁμαρτεόντος ἐκείνε· καί σοι ἀπαγγελεῖ, εἰ ἐπέροιο, ὅ, τι μευ ἀκέσεται ἢ ἴδοι. σύ τε ποίει ἔπος, ἰὼ γ' ἐθέλῃς καρτυνάσθαι τὼ αἰσυμνητίλω· τὰς ἐξόχες τᾶν πολιτέων ἐξαίρεν, ἰὼ τέ τις ἐχθρός τοι φαίνηται, ἰὼ τε μή. ὕποπτος ἀνδρὶ αἰσυμνήτᾳ κὴ τᾶν τις ἑταίρων.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΑΝΑΧΑΡΣΙΣ Ο ΣΚΥΘΗΣ.

Ἀνάχαρσις ὁ Σκύθης, Γνάρε μὲν υἱὸς, ἀδελφὸς δὲ Καδουίδα, τῶ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλλωίδος.

Διὸ καὶ δίγλωττος ἦν. ἔτος ἐποίησε τῇ τε θαλάττῃ τοῖς Σκύθαις νομίμων, καὶ τῇ θαλάττῃ τοῖς Ἕλλησιν, εἰς δὲ τέλειαν βίβλους, καὶ τὰ κατὰ τὸν πόλεμον, ἔπη ἑκατόν. παρέχει δὲ καὶ ἀφορμὴν παροιμίας, ὡς τὸ παρρησιαστὴς εἶναι, τὴν ὑπὸ Σκυθῶν ῥῆσιν.

Λέγει δὲ αὐτὸν Σωσιπάτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν πεντηκοστὴν ἑβδόμην Ὀλυμπιάδα, ἐπὶ ἄρχοντος Εὐκράτους. Ἕρμιππος δὲ πρὸς τὸν Σόλωνος οἰκίαν ἀφικόμενον, τῷ θεραπόντων τινὶ κελεῦσαι, μηνύσαι ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, καὶ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι πέρ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιεῖνται. οὕνεκεν ὁ Ἀνάχαρσις ἐλθὼν ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι, καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. ὁ δὲ, καταπλαγεὶς τὴν ἑτοιμότητα, εἰσέφρησεν αὐτὸν, καὶ μέγιστον φίλον ἐποιήσατο.

Μετὰ χρόνον δὲ παραγενόμενος εἰς τὴν Σκυθίαν, καὶ νομίζων τὰ νόμιμα θαλύειν τῆς πατρίδος, πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, πεμφθεὶς ἐν κωμηγεσίῳ πρὸς τὸν ἀδελφὸν, τελούντα, εἰπὼν, Διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σεσῶσθαι, καὶ δὲ τὸν θεὸν ἐν τῇ οἰκείᾳ ὄντα λέ-

λέσθαι. οἵτινες δὲ πλείους Ἑλληνικὰς ἀπελθόντας ἀφικνεῖσθαι. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν,

Εἰς Σκυθίην Ἀνάχαρσις ὅτ' ἦλυθε, πολλὰ πλανηθείς,
Πάντας ἔπειθε βιῶν ἤθεσιν Ἑλλαδικοῖς.
Τὸν δ' ἔτι μυθοῦντα ἄπρακτον σὺν σοφίαισιν ἔχοντα
Πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὠκὺ δόναξ.

Οὗτος τὸν ἄμπελον εἶπε ξηρὸν φέρειν βότρυς· τὸν πρῶτον, ἡδονῆς· τὸν δεύτερον, μέθης· τὸν τρίτον, ἀηδίας. θαυμάζειν δὲ ἔφη, πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ μὴ τεχνῖται. Ἐρωτηθεὶς πῶς ἂν οὖν χρήσαιτό τις φιλοπότης; Εἰ πρὸ ὀφθαλμῶν, εἶπεν, ἔχοι τὰς τῶν μεθυόντων ἀχημοσύνας. Θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες καὶ τοὺς ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, Τοσοῦτον, ἔφη, τὸ θαλάττης τοὺς πλέοντας ἀπέχειν. τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε, διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς ὑπομαίνεσθαι ἀλλήλοις.) πῶς, ἔλεγεν, ἀπαγορεύοντες τὸ ψεύδεσθαι, ἐν ταῖς κατηλείαις φανερῶς ψεύδονται; καὶ θαυμάζειν φησὶ, πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πληθόντες δὲ ἐν μεγάλοις. ὑπογράφεται δὲ αὐτὰ ταῖς εἰκόσι, Γλῶσσης, γαστρὸς, αἰδοίων κρατεῖν. ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί; εἶπεν, Οὐδὲ ἄμπελοι. ἐρωτηθεὶς τίνα τῶν πλοίων εἰσὶν ἀσφαλέστερα, ἔφη, Τὰ ἐκκεκλικμένα. καὶ τοῦτο ἔφη θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τοὺς μὲν καπηλοὺς ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. ἐρωτηθεὶς πότεροι πλείους εἰσὶν, οἱ ζῶντες, ἢ οἱ νεκροί; ἔφη,

ἔφη, Τὰς ἐν πλέοντας πᾶ τίθης; ὀνειδιζόμενος ὑπὸ Ἀττικῶ ὅτι Σκύθης ὤξιν, ἔφη, Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σὺ δὲ τῆς πατρίδος. ἐρωτηθεὶς τί ὤξιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον; ἔφη, Γλῶσσα. κρῆττον ἔλεγε σὺν φίλον ἔχειν πολλοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους. τὴν ἀγορὰν ὠνούμενος ἔφη τόπον εἰς τὸ ἀκίνδυνος ἀπατᾶν καὶ πλουτεῖν. ὑπὸ μειρακίου ἀθροῦ πότον ὑβριζόμενος, ἔφη, Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις.

Εὗρε δ' ἐν τὸν βίον ἀγκυρά τε καὶ κεραμικὸν ξυλόν, ὥς τινες.

Καὶ ἐπέσειλεν ὧδε·

Ἀνάχαρσις Κροίσῳ.

Ἐγὼ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἤθη τε πάτων καὶ ἐπιτηδεύματα. χρυσὸν δ' οὐδὲν δέομαι, ἀλλ' ἐπιχειρῶ ἐπανήκειν ἐς Σκύθας αὐθρὰ ἀμείνονα. ἥκω γὰν ἐς Σάρδεις, πρὰ μεγάλε ποιέμενος ἐν γνώμῃ τι φρονεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΜΥΣΩΝ.

Μύσων Σφύμενος, ὥς φησι Σωσικράτης, Ἕρμιππον φιλοτιθέμενος, τὸ γένος Χιονεὺς, ὑπὸ κώμης τινὸς Οἰαικῆς ἢ Λακωνικῆς, σὺν τοῖς ἑπτὰ καταριθμεῖται. φασὶ δὲ αὐτὸν καὶ τυράννε παῖδα εἶναι. λέγεται δή ποτε τινος Ἀναχαρσιδος πυνθανομένε, ἔστις

αὐτῆ σοφώτερος εἴη; τὴν Πυθίαν εἰπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλῆ βίῳ ὑπὲρ Χείλωνος,

Οἰκαίου τινα φημὶ Μύσωνα ἐν Χηνίῃ ναίειν,
Σὲ μάλιστα παραπλήσιον ἀνθρώποις πολυκαλίμνοις.

πολυπραγμονήσαντα δὴ ἐλθεῖν εἰς τὴν κώμην, καὶ εὑρεῖν αὐτὸν θέρους ἐχέτλην ἀρόῳ προσαρμόττοντα, καὶ εἰπεῖν, Ἀλλ', ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρόειν. Καὶ μάλα, εἶπεν, ὅστε ἐπισκλάζειν. ἄλλοι δὲ τὸν χρησμὸν ὧδε ἔχειν φασίν, Ἡτεῖόν τινα φημί· καὶ ζητοῦσι τί ἐστιν ὁ Ἡτεῖος. Παρμενίδης μὲν ἂν δῆμον εἶναι Λακωνικῆς, ὅθεν εἶναι τὸν Μύσωνα· Σωσικράτης δ' ἐν δόξαις, ἀπὸ μὲν πατρὸς Ἡτεῖον εἶναι, ἀπὸ δὲ μητρὸς Χιωνέα. Εὐθύφρων δ' ὁ Ἡρακλείδου τοῦ Ποντικοῦ, Κρῆτά φησιν εἶναι· Ἡτείαν γὰρ πόλιν εἶναι Κρήτης. Ἀναξίλας δ' Ἀρκάδα.

Μέμνηται δὲ αὐτοῦ καὶ Ἵππωναξ, εἰπών, Καὶ Μύσωνι, ὃν Ἀπόλλων ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων. Ἀριστόξενος δέ φησιν ἐν τοῖς ἀποράδην, ὑπόρρωθεν Τίμωνος αὐτὸν καὶ Ἀπημαντεγονέναι· μισανθρωπεῖν γάρ. ὀφθῆναι γοῦν ἐν Λακεδαίμονι μόνον ἐπ' ἐρημίας γελῶντα. ἄφνω δέ τινος ὑπαντῶντος, καὶ πυθομένου διὰ τί μηδενὸς παρόντος γελᾷ, φάναι, Διὰ αὐτὸ τοῦτο. φησὶ δ' Ἀριστόξενος, ὅτι οὐκ ἦν καὶ ἄδοξος ἰδεῖν, ὅτι μηδὲ πόλεως, ἀλλὰ κώμης, καὶ ταῦτα ἀφανοῦς. ὅθεν διὰ τὴν ἀδοξίαν αὐτοῦ, καὶ τὰ αὐτοῦ τινὰς Πεισιστράτῳ προσθεῖναι τῷ τυράννῳ, χωρὶς Πλάτωνος τοῦ φιλοσόφου· μέμνηται γὰρ αὐτοῦ καὶ ὅτος ἐν τῷ Πρωταγόρᾳ, αὐτὸ Περιάνδρου θέντος αὐτόν.

Ἔφασκε δὴ, Μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους ζητεῖν. ὁ γὰρ σοφὸς τῶν λό-

λόγων τὰ πράγματα συντελεῖσθαι, ἀλλ' εἰκὰ τῷ πραγμάτων τοὺς λόγους.

Κατέρρεψε δὲ βιὸς ἔτη ἑπτὰ καὶ ἐνενήκοντα.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

ΕΠΙΜΕΝΙΔΗΣ.

Ἐπιμενίδης, καθάφησι Θεόπομπος καὶ ἄλλοι συχνοί, παῖς μὲν ἦν Φαιστίου· οἱ δέ, Δωσιάδου· οἱ δὲ Ἀγησάρχου. Κρὴς τὸ γένος, ἀπὸ Κνωσσοῦ, καθέσει τῆς κόμης τὸ εἶδος παραλλάσσων.

Οὗτος ποτὲ πεμφθεὶς παρὰ τὸν πατέρα εἰς ἀγρὸν ὄπου πρόβατον, τῆς ὁδοῦ καὶ μεσημβρίαν ἐκκλίνας, ὑπ' αὔρᾳ τινὶ κατεκοιμήθη ἔτη ἑπτὰ καὶ πεντήκοντα ἔτη. διανασὰς δὲ μὴ ταῦτα, ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρὸν, καὶ μετεσκευασμένα πάντα καταλαβὼν, καὶ παρ' ἑτέρων τινῶν κτῆσιν, πάλιν ἦκε εἰς ἄστυ ἀθυμότερος· κἀκεῖ δὲ εἰς τινὰ ἑαυτοῦ εἰσιὼν οἰκίαν, παρέτυχε τοῖς πεπυθημένοις τίς εἴη· ἕως τὸν νεώτερον ἀδελφὸν εὑρὼν τότε ἤδη γέροντα ὄντα, πᾶσαν ἔμαθε παρ' ἐκείνου τὴν ἀλήθειαν.

Γνωσθεὶς δὲ τοῖς Ἕλλησι, θεοφιλέστατος εἶναι ὑπελήφθη. Ὅθεν Ἀθηναίοις τῷ τε λοιμῷ κατεχομένοις ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν· οἱ δὲ πέμπουσι ναῦν τε καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην, καλοῦντες τὸν Ἐπιμενίδην. καὶ ὃς ἐλθὼν Ὀλυμπιάδι τεσσαρακοστῇ ἕκτῃ ἐκάθηρεν αὐτῇ τὴν πόλιν, καὶ ἔπαυσε τὸν λοιμὸν τοῦτον τὸν τρόπον. λαβὼν προβάτια μέλανά τε καὶ λευκὰ, ἤγαγε πρὸς τὸν Ἄρειον πάγον· κἀκεῖθεν

ἔασεν ἰσχὺν οἱ βέλοιντο, προσάξας τοῖς ἀκολούθοις, ἔνθα ἂν κατακλίνοι αὐτῷ ἕκαστον, θύειν τῷ προσήκοντι θεῷ· καὶ ἔτι λέξαι τὸ κακόν· ὅθεν ἔτι καὶ νῦν ἐστιν εὑρεῖν καὶ τὰς δήμους τῶν Ἀθηναίων βωμὰς ἀνωνύμους, ὑπόμνημα τῆς τότε γνωμενης ἐξιλάσεως. οἱ δὲ τὴν αἰτίαν εἰπεῖν τὸ λοιμὸν τὸ Κυλώνειον ἄγος, σημαίνοντες τὴν ἀπαλλαγήν· καὶ δι' ἃ τοῦτο ἀποθανεῖν δύο νεανίας, Κρατῖνον καὶ Κτησίβιον, καὶ λυθῆναι τὴν συμφοράν. Ἀθηναῖοι δὲ πάλαντον ἐψηφίσαντο δοῦναι αὐτῷ, καὶ ναυῦ τὴν ἐς Κρήτην ἀπάξασαι αὐτόν. ὁ δὲ τὸ μὲν ἀργύριον οὐ προσήκατο· φιλίαν δὲ καὶ συμμαχίαν ἐποιήσατο Κνωσίων καὶ Ἀθηναίων.

Καὶ ἐπανελθὼν ἐπ' οἴκου, μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φάσγων ἐν τῷ περὶ μακροβίων, βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν· ὡς δὲ Κρῆτες λέγουσι, ἐνὸς δέοντα ζιακόσια· ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησὶ, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν.

Ἐγαίησε δὲ Κυρήτων καὶ Κορυβαντῶν γενέσιν καὶ θεογονίαν, ἔτη πεντακιχίλια· Ἀργᾶς ναυπηγήσαντα, καὶ Γάσονος εἰς Κίλικας ἀπόπλουν, ἔτη ἑξακιχίλια πεντακόσια. συνέγραψε δὲ καὶ καταλογάδην περὶ θυσιῶν, καὶ τῆς ἐν Κρήτῃ πολιτείας· καὶ περὶ Μίνω καὶ Ῥαδαμάνθυος, εἰς ἔτη τετρακιχίλια.

Ἱδρύσατο δὲ καὶ παρ' Ἀθηναίοις τὸ ἱερὸν τῶν σεμνῶν θεῶν, ὥς φησι Λύβων ὁ Ἀργεῖος ἐν τῷ περὶ ποιητῶν. λέγεται δὲ καὶ πρῶτος οἰκίας καὶ ἄρχας καθῆραι, καὶ ἱερὰ ἱδρύσασθαι.

Εἰσὶ δ' οἱ μὴ κοιμηθῆναι αὐτὸν λέγουσιν, ἀλλὰ χρόνον τινὰ ἐκπατῆσαι, ἀχολύμβον περὶ ῥιζοτομίαν.

Φέρεται δ' αὐτοῦ καὶ ἐπιστολὴ πρὸς Σόλωνα τὸν νομοθέτην, περὶ ἔχουσα πολιτείαν ἣν διέταξε Κρησὶ Μίνως.

ὡς. ἀλλὰ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων, διελέγχειν πειρᾶται τὴν ἐπιστολὴν ὡς νεαράν, καὶ μὴ τῇ Κρητικῇ φωνῇ γεγραμμένην, Ἀτθίδι δέ, καὶ ταύτῃ νέᾳ.

Ἐγὼ δὲ καὶ ἄλλην εὗρον ἐπιστολὴν ἔχουσαν ὧδε.

Ἐπιμενίδης Σόλωνι.

Θάρρει, ὦ ἑταῖρε. οὐ γάρ ἔτι ἀντεύσουσιν Ἀθηναίοις καὶ μὴ δυνομημένοις ἐπεθήκατο Πεισίστρατος, ἔχει καὶ τὰν ἀρχὰν ἀεὶ, ἀνδραποδιξάμενος τὼς πολίτας· νῦν δὲ ἑκὼν ἀνδρας δελῶται· τοὶ μεμναμένοι τᾶς Σόλωνος μανύσιος, ἀλγόοντι παῖδα ἀιχμάν, ἐδὲ ἀνίξονται τυραννέοντος. ἀλλ' αἶκε Πεισίστρατος κατασχεθῇ τὰν πόλιν, ἐ μὰν ἐς παῖδας τλάω ἔλπομαι τὸ κράτος ἵξεσθαι. δυσμάχανον γάρ, ἀνθρώπως ἐλθόντα ἐξαίρεσιν ἐν τεθμοῖς ἀείσοις, δέλως ἤμεν. τὺ δὲ μὴ ἀλᾶσθαι, ἀλλ' ἔρπε ἐς Κρήτην ποθ' ἅμε. πάντα γάρ κα ἐσσεῖται τοι θεινὸς ὁ μόναρχος· αἰ δέ πη πλατείᾳ ἐγκύρσωντί τοι τλάω τοι φίλοι, δειμαίνω μήτι θεινὸν πάθῃς. Καὶ ἔτος μὲν ὧδε.

Φησὶ δὲ Δημήτριος τινὰς ἱστορεῖν, ὡς λάβαι ὁ Σόλων νυμφῶν ἔδεσμά τι, καὶ φυλάττοι ἐν χηλῇ βοός· ὥστε φερόμβρός τε κατ' ὀλίγον, μηδεμιᾷ κνᾶσθαι ἐπικείσει, μηδὲ ὀφθῆναι ποτὲ ἑδίων. μέμνηται αὐτοῦ καὶ Τίμαιος ἐν τῇ δευτέρᾳ.

Λέγουσι δέ τινες ὅτι Κρῆτες αὐτῷ θύουσιν ὡς θεῷ· φασὶ γὰρ καὶ γνωσιμώτατον γεγονέναι. ἰδόντα γὰρ τὸν Μανυχίαν παρ' Ἀθηναίοις, ἀγνοεῖν, φάναι, αὐτὸς, ὅσων κακῶν αἴτιον ἔσαι τοῦτο τὸ χωρίον αὐτοῖς· ἐπεὶ καὶ τοῖς θεοῖσιν αὐτὸν διαφορῆσαι. ταῦτα ἔλεγε τοσούτοις πρότερον

χρόνοις. λέγεται δὲ ὡς ἢ τρῶτος αὐτὸν Αἰακὸν λέγοι, ἢ Λακεδαιμονίοις τροείποι τιὼ ὑπὸ Ἀρκάδων ἅλωσιν· τροαποιηθῆναί τε πολλάκις ἀναβεβιωκέναι. Θεόπομπος δ' ἐν τοῖς θαυμασίοις, κατασκευάζοντος αὐτῷ τὸ τῆς νυμφῶν ἱερὸν, βαγίζαι φωνὴν ἐξ ἀέρος, Ἐπιμενίδη, μὴ νυμφῶν, ἀλλὰ Διός. Κρησίτε τροειπεῖν τιὼ Δακεδαιμονίων ἥκειν ὑπὸ Ἀρκάδων, καθάπερ τροείρηται. ἢ δὴ ἢ ἐλήφθησαν τρὸς Ὀρχομενῷ.

Γηράσαι τε ἐν τοσαύταις ἡμέραις αὐτὸν ὅσαπερ ἔτη κατεκοιμήθη· ἢ γὰρ τοῦτό φησι Θεόπομπος. Μυρωνιανὸς δ' ἐν ὁμοίοις φησὶν, ὅτι Κέρπα αὐτὸν ἐκάλουν Κρῆτες. ἢ τὸ σῶμα αὐτοῦ φυλάττεσι Λακεδαιμόνιοι παρ' ἑαυτοῖς, κατά τι λόγιον, ὥς φησι Σωσίβιος ὁ Λάκων.

Γεγόνασι δὲ ἢ Ἐπιμενίδαι ἄλλοι δύο· ὅτε ῥητορικός, ἢ ἕτερος ὁ Δωριεὺς γεγραφὼς τερὶ Ῥόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

ΦΕΡΕΚΥΔΗΣ.

ΦΕρεκύδης, Βάδυος, Σύριος, καθά φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς, Πιττακοῦ διακήκοε.

Τοῦτόν φησι Θεόπομπος τρῶτον τερὶ φύσεως ἢ θεῶν Ἕλλησι γράψαι. τολλὰ δὲ ἢ θαυμάσια λέγεται τερὶ αὐτοῦ. ἢ γὰρ τερὶ τὸν αἰγιαλὸν τῆς Σάμου τεριπατοῦντα, ἢ ταῦν ἐλθοδρομοῦσαν ἰδόντα, εἰτεῖν ὡς μετ' ὀλίγον καταδύσεται· ἢ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. ἢ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος, πιόντα, τροειπεῖν ὡς εἰς ἕβδομον ἡμέραν ἔσοιτο σεισμός· ἢ γενέσθαι. ἀνιόντα τε εἰς Ὄλυμπίαν ἐς Μεσσήνην, τῷ ξένῳ Περιλάῳ συμβε-

βελεῦσαι μετοικίσαι μὴ τὴν οἰκείων, καὶ τὸν μὴ πειθῆναι· Μεσσηνίοις δὲ ἐλωκέναι.

Καὶ Λακεδαιμονίοις εἰπεῖν, μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις. προσέταξαι δὲ αὐτῷ ὄναρ τᾶτο τὸν Ἡρακλέα· ἐν ᾗ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι· οἱ δὲ Πυθαγόρᾳ ᾠήθησαν ταῦτα.

Φησὶ δ' Ἕρμιππος, πολέμᾳ σωιεχῶτος Ἐφεσίοις καὶ Μάγνησι, βελόμενον τοὺς Ἐφεσίους νικῆσαι, πυθέσθαι τινὸς παρόντος πόθεν εἴη, τὸ δ' εἰπόντος, Ἐξ Ἐφέσου, Ἕλκυσόν με τοίνυν, ἔφη, τῆς σκιᾶς, καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν, καὶ ἀπάγγειλόν σε τοῖς πολίταις, μὴ τὸ νικῆσαι, αὐτόθι με θάψαι. ἐπεσκηφήσαντε ταῦτα Φερεκύδῃ ὁ μὲν ἀπήγγειλεν· οἱ δὲ, μὴ μίαν ἐπελθόντες, κρατῆσαι τῶν Μαγνήτων, καὶ τόν τε Φερεκύδην μεταλάξαντα θάψαντες αὐτόθι, καὶ μεγαλοφρεπῶς τιμῶσιν.

Ἔνιοι δέ φασιν ἐλθόντα εἰς Δελφοὺς ὑπὸ τῶν Κωρυκίων ὀρῶν αὐτὸν δισκῆσαι. Ἀνεξόξενος δ', ἐν τῷ περὶ Πυθαγόρου καὶ τῶν γνωρίμων αὐτοῦ, φησὶ, νοσήσαντα αὐτὸν ὑπὸ Πυθαγόρου ταφῆναι ἐν Δήλῳ. οἱ δὲ, φθειριάσαντα τὸν βίον τελευτῆσαι· ὅτε καὶ Πυθαγόραν θαμβουμένων καὶ πυνθανομένων πῶς διακέοιτο, προβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν, Χρωτὶ δῆλα. καὶ ἐντεῦθεν φασὶ τοῖς φιλολόγοις ἡ λέξις ὅτι τῶν χειρόνων πάντες· οἱ δ' ὅτι τῶν βελτίσων χώμενοι, ἐξαμαρτάνουσιν. ἐλεγέτε ὅτι οἱ θεοὶ τὴν ξάπεζαν θυωρὸν καλοῦσιν.

Ἄνδρων δ' ὁ Ἐφέσιος δύο φησὶ γενέσθαι Φερεκύδας, Συρίους· τὸν μὲν, ἀστρολόγον· τὸν δὲ, θεολόγον, οὗ Βάδιος, ᾧ καὶ Πυθαγόραν σχολάσαι. Ἐρατοσθένης δ' ἕνα μόνον, καὶ ἕτερον Ἀθηναῖον, μυθολόγον. σώζε-

ται δὲ τὸ Συριακὸν τότε βιβλίον ὃ συνέγραψεν, ἣ ἀρχή, Ζεὺς μὲν ἀεὶ καὶ χρόνος εἷς ἀεί, καὶ χθὼν καὶ. Χθονίη δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῇ Ζεὺς γέρας ἔδωκε. σώζεται δὲ καὶ ἡλιοδρόμιον ἐν Σύρᾳ τῇ νήσῳ.

Φησὶ δὲ Δικαίαρχος ἐν τῷ δευτέρῳ τῶν ἱερῶν, ὑπογεγράφθαι αὐτῷ τὸ ὑπόγραμμα τόδε,

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἴσθι δέ τι πλεῖον,
Πυθαγόρη τῷ μοι λέγε ταῦθ', ὅτι φρῶτας ἁπάντων
Εἰσὶν ἀν' Ἑλλάδα γαῖαν. ἐφεύρομαι ὧδ' ἀγορεύων

Ἴων δ' ὁ Χῖος περὶ αὐτῆς φησιν,

Ὡς ὁ μὲν ἱερεύς τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ,
Καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον.
Εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
Ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

Ἔστι καὶ ἡμῶν ἔπος ἔχον τῷ μέτρῳ τῷ Φερεκρατείῳ,

Τὸν κλεινὸν Φερεκύδην,
Οὗ τίκτει ποτὲ Σῦρος,
Ἐς φθείρας λόγος ἐστὶν
Ἁλέξαι τὸ φρὶν εἶδος,
Θεῖναί τ' ἀθὺ κελεύειν
Μαγνήτων, ἵνα νίκᾳ
Δοίη τοῖς Ἐφέσοιο
Γενναίοις πολίταις.
Ἦν γὰρ χρησμὸς, ὃν ᾔδει
Μέγας, τῶτο κελεύων·
Καὶ θνήσκει παρ' ἐκείνοις.

Ἀρ

Ἆρ' ἔστ' ἄρ' ἀληθὴς
Ἦν, εἴτις σοφὸς, ὄντως
Καὶ ζῶν ὄζιν ὄνησις,
Χ' ὅταν μηδὲν ὑπάρχῃ.

γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν ἐνάτην Ὀλυμπιάδα. Καὶ ἐπέσκηλεν ὧδε.

Φερεκύδης Θαλῆ.

Εὖ ἴσκεις, ὅταν τοι τὸ χρεὼν ἥκῃ. νέσός με καταλελάβηκε, δεδεγμένον τὰ ἐκ Δηλου σέο γράμματα. φθειρῶν ἔβρυον πᾶς, καί με εἶχεν ἡπίαλος. ἐπέσκηψα δ' ὧν τοῖσι οἰκήτῃσι, ἐπεὶ με καταθάψωσιν, ἐς σὲ τὴν γραφὴν ἐνέγκαι. σὺ δὲ ἢν δοκιμάσῃς σεωυτὸν τοῖς ἄλλοις σοφοῖς, ὕστερον φῆνον· ἢν δὲ μὴ δοκιμώσητε, μὴ φήνῃς. ἐμοὶ μὲν γὰρ ἔκαν ἐδόκεον. ἔστι δὲ ὅτε ἀπορίῃ πραγμάτων, ἐπιχειρέομαι ὅτ' ἀληθὲς εἰδέναι. ἅσσα δ' ἂν ὅπλέγῃ θεολογέων, τὰ ἄλλα χρὴ νοεῖν. ἅπαντα γὰρ αἰνίσσομαι· τῇ δὲ νέσῳ πιεζόμενος ἐπὶ μᾶλλον, ἔτε τῷ τινα ἐκ ξωῶν, ἔτε τὰς ἑταίρας ἐσιέμην. προσεσεῶσι δὲ τῇ θύρῃ, καὶ εἰρομένοις ὁκοῖόντι εἶεν, διεὶς δάκτυλον ἐκ τῆς κλειήθρης, ἔδειξ' ἂν ὡς ἔθυον τὰ κακά. καὶ προεῖπ' αὐτοῖσιν ἥκειν εἰς τὴν ὑστεραίην ὅπη τὰς Φερεκύδεω ταφάς.

Καὶ ἔστι μὲν οἱ κληθέντες σοφοὶ, οἷς τινες καὶ Πεισίστρατον τὸν τύραννον προσκαταλέγουσι. λεκτέον δὲ καὶ τῶν φιλοσόφων· καὶ πρῶτόν γε ἀρκτέον ἀπὸ τῆς Ἰωνικῆς φιλοσοφίας, ἧς καθηγήσατο Θαλῆς, ἕ δεύτερος Ἀναξίμανδρος.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ.

Ἀναξίμανδρος Πραξιάδε, Μιλήσιος. Οὗτος ἔφασκεν ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον· ὁ διορίζων ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλοτι. καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ πᾶν ἀμετάβλητον εἶναι. μέσην τε τὴν γῆν κεῖσθαι, κοίλης τάξιν ἐπέχουσαν ἔσαν σφαιροειδῆ. τήν τε σελήνην ψεύδεσθαι, καὶ ὑπὸ ἡλίου φωτίζεσθαι. ἀλλὰ καὶ τὸν ἥλιον ἐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ.

Εὗρε δὲ καὶ γνώμονα πρῶτος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ· τροπάς τε καὶ ἰσημερίας σημαίνοντα· καὶ ὡροσκόπια κατεσκεύασε. καὶ γῆς καὶ θαλάσσης ᾠήμιξον πρῶτος ἐχάραξε. ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε. τῷ δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ἥπερ ᾠφελέτυχε καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος.

Οὗς καίφησιν αὐτὸν ἐν τοῖς χρονικοῖς, τῷ δευτέρῳ

ἔτει

ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος, ἐτῶν εἶναι ἑξήκοντα τεσσάρων· καὶ μετ' ὀλίγον τελευτῆσαι, ἀκμάσαντά πη μάλιστα τῇ Πολυκράτους τυραννίδι. τότε φασὶν ἅδοντος καταγελάσαι τὰ παιδάρια. τὸν δὲ μαθόντα, φάναι, βέλτιον ἂν ἡμῖν ἀσκεῖν ἔτι τὰ παιδάρια.

Γέγονε δὲ καὶ ἄλλος Ἀναξίμανδρος ἱστορικός, καὶ αὐτὸς Μιλήσιος, τῇ Ἰάδι γεγραφώς.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΑΝΑΞΙΜΕΝΗΣ.

Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἤκουσε Ἀναξιμάνδρου· εἶτοι δὲ καὶ Παρμενίδου φασὶν ἀκοῦσαι αὐτόν· ὅστις ἀρχὴν ἀέρα εἶπε, καὶ τὸ ἄπειρον. κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὲρ γῆν, ἀλλὰ περὶ γῆν· κέχριται τε γλώσσῃ Ἰάδι ἁπλῇ καὶ ἀπερίττῳ. καὶ γεγράφηκε μὲν (καθάφησιν Ἀπολλόδωρος) τῇ ἑξηκοστῇ ἕκτῃ Ὀλυμπιάδι, ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν.

Γεγόνασι δὲ καὶ ἄλλοι δύο, Λαμψακηνοί· ῥήτωρ, καὶ ἱστορικὸς, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ παρὰ Ἀλεξάνδρῳ πραξίεις γεγραφότος.

Οὗτος δὲ ὁ φιλόσοφος καὶ ἐπέστειλεν ὧδε·

Ἀναξιμένης Πυθαγόρῃ.

Θαλῆς ἐκ καλοῦ βίου γήρως ἐκ εὐπότμου οἴχεται. φρόνης, ὥσπερ εἰώθεις, ἅμα τῇ ἀμφιπόλῳ προϊὼν ἐκ

τοῦ

τὴ αὐλίδι τὰ ἄστρα ἐθηεῖτο· καὶ, ἐ γὰρ ἐς μνήμιον ἔθετο, θηδύμβος, εἰς τὸ κρημνώδες ἐμβὰς καταπίπτει. Μιλησίοισι μὲν νυῦ ὁ αἰθερολόγος ἐν τοιῷδε κεῖται τέλει, ἡμέες δὲ οἱ λεχινῶται, αὐτοίτε μεμνώμεθα τὴ ἀνδρὸς, οἵτε ἡμέων παῖδές τε καὶ λεχιωῶτας. ἐπιδεξιοί μεθα δ' ἔτι τοῖς ἐκείνε λόγοις· ἀρχὰ μὲν τοι παντὸς τὸ λόγε, Θαλῆ ἀνακείσθω.

Καὶ πάλιν·

Ἀναξιμένης Πυθαγόρῃ.

Εὐβελόπατος ἦς ἡμέων. μεταναστὰς ἐκ Σάμε εἰς Κρότωνα, ἐνθάδε εἰρίωεῖς· οἱ δὲ Αἰακίδες παῖδες ἄλλοις τὰ κακὰ ἔρδεσι, καὶ Μιλησίες ἐκ ἐπιλείπεσιν αἰσυμνῆται. δεινὸς δὲ ἡμῖν καὶ ὁ Μήδων βασιλεὺς, ἐκ ἐθέλωμεν δασμοφορέειν· ἀλλὰ μέλλεσι δὴ ἀμφὶ τῆς ἐλευθερίης ἅπαντων Ἰωνες Μήδοις καθίσασθαι ἐς πόλεμον· κατασσασι δὲ ἐκέτι ἐλπὶς ἡμῖν σωτηρίης· κῶς ἂν ἔν Ἀναξιμένης ἐν θυμῷ ἐπέχοι αἰθερολογέειν, ἐν δείματι ἐὼν ἐλεύθρε ἢ δουλοσυύης; σὺ δὲ εἰ, καταθύμιος μὲν Κροτωνιήτῃσι, καταθύμιος δὲ καὶ τοῖσι ἄλλοισιν Ἰταλιώτῃσι· φοιτέεσι δέ τοι λεχιωῶται καὶ ἐς Σικελίης.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΑΝΑΞΑΓΟΡΑΣ.

Ἀναξαγόρας Ἡγησιβούλου ἢ Εὐβούλου, Κλαζομένιος. ἔτος ἦκμασεν Ἀναξιμένους, καὶ πρῶτος τῇ ὕλῃ τὸν ἐπέστησεν, ἀρξάμενος ἔτι τοῦ συγγράμματος, ὅ ἐστιν ἁδέως καὶ μεγαλοφρόνως ἡρμοσμένον. Παύτα χρήματα ἐλθὼν ὁμοῦ, εἶπε νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. παρὸ καὶ νοῦς ἐπεκλήθη. καί φησι περὶ αὐτοῦ Τίμων ἐν τοῖς Σίλλοις ἔπη,

Καί τιν' Ἀναξαγόρην φασ' ἔμμεναι ἄλκιμον ἥρω,
Νοῦν, ὅτι δὴ νόος αὐτῷ, ὃς ἐξαπίνης ἐπαγείρας
Παύτα συμιστορήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

Οὗτος δ' εὐγενείᾳ καὶ πλούτῳ διαφέρων ἐλιπε, ἀλλὰ καὶ μεγαλοφροσύνῃ, ὅς γε τὰ πατρῷα παρεχώρησε τοῖς οἰκείοις. αἰτιαθεὶς δὲ ὑπ' αὐτῶν ὡς ἀμελῶν, Τί δέ, ἔφη, οὐχ ὑμεῖς ἐπιμελεῖσθε; καὶ τέλος ἀπέστη, καὶ περὶ τοὺς τῆς φυσικῶν θεωρίας ἐλιπε, καὶ φροντίζων τῆς πολιτικῶν. ὅτε καὶ πρὸς τὸν εἰπόντα, Οὐδέν σοι μέλει τῆς πατρίδος; Εὖφημει, ἔφη, ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν.

Λέγεται δὲ κατὰ τοῦτον ξέρξου διάβασιν εἰκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο· φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς, γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι, τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς ὀγδόης. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου, ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φα-

Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ· ἔνθα καί φασιν αὐτὸν ἐτῶν ἑξήκοντα.

Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον, καὶ μείζω τῆς Πελοποννήσου. οἱ δέ φασι Ταύταλον· τινὲς δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν ψυγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ παῖν συγκεῖσθαι· καὶ νοῦν μὲν ἀρχὴν κινήσεως· τῶν δὲ σωμάτων τὰ μὲν βαρέα τὸν κάτω τόπον, ὡς τὴν γῆν, τὰ δὲ κοῦφα τὸν ἄνω ἔχειν, ὡς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα, τὸν μέσον. ἔτι δὲ ὑπὸ τῆς γῆς πλατείας οὔσης τὴν θάλασσαν ὑποσῆναι, διατμιζόντων ὑπὸ τὸν ἥλιον τῶν ὑγρῶν· τὰ δ' ἄστρα κατ' ἀρχὰς μὲν θολοειδῶς ἐνεχθῆναι, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἐγκλισιν λαβεῖν. καὶ τὸν γαλαξίαν ἀπάκλασιν εἶναι φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἄστρων. τὰς δὲ κομήτας, σωρὸν πλανητῶν, φλόγας ἀφιέντων· τάς τε διάττοντας οἷον ἀπινθῆρας ὑπὸ τοῦ ἀέρος ὑποπάλλεσθαι. ἀνέμους γίνεσθαι λιπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου. βροντὰς, σύγκρασιν νεφῶν· ἀστραπὰς, ἔκπτωσιν νεφῶν· σεισμὸν, ὑπονόησιν ἀέρος εἰς γῆν. ζῶα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους· ὕστερον δὲ, ἐξ ἀλλήλων. καὶ ἄρρενα μὲν ὑπὸ τῶν δεξιῶν, θήλεα δὲ ὑπὸ τῶν ἀριστερῶν.

Φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῖς λίθοις πτῶσιν, οὗ εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ Εὐριπίδῃ, μαθητὴν ὄντα αὐτοῦ, χρυσίαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι. ἀλλὰ καὶ εἰς Ὀλυμπίαν ἐλθόντα ἐν δερματίνῳ καθίσαι, ὡς μέλλοντος ὕσειν· καὶ γενέσθαι. πρός τε τὸν εἰπόντα, εἰ τὰ

ἐν

ἐν Λαμψάκῳ ὄρη ἔσαι ποτὲ θάλαττα; φασὶν εἰπεῖν, Ἐὰν γε ὁ χρόνος μὴ ἐπιλίπῃ.

Ἐρωτηθεὶς ποτε εἰς τί γεγώνηται; Εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. πρὸς τὸν εἰπόντα, Ἐστερήθης Ἀθηναίων, Οὐμενοῦν, ἔφη, ἀλλὰ ἐκεῖνοι ἐμοῦ. ἐδῶν τὸν Μαυσώλου τάφον, ἔφη, Τάφος πολυτελὴς λελιθωμένης ἔξεστιν οὐσίας εἴδωλον. πρὸς τὸν δυσφορούντα ὅτι ἐπὶ ξένης τελευτᾷ, Πανταχόθεν, ἔφη, ὁμοία ἐστὶν ἡ εἰς ᾅδου κατάβασις.

Δοκεῖ δὲ πρῶτος (καθάφητι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἔτι πλεῖον δὲ προσῆναι τῷ λόγῳ Μητρόδωρον τὸν Λαμψακηνὸν, γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον ἀπεδόσαι τὸ ποιητὴ περὶ τὴν φυσικὴν πραγματείαν.

Πρῶτος δὲ Ἀναξαγόρας καὶ βιβλίον ἐξέδωκε συγγραφῆς. φησὶ δὲ Σεληνοῦς ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν, ἔτι ἄρχοντος Διμύλου λίθον ἐξ οὐρανοῦ πεσεῖν· τὸν δὲ Ἀναξαγόραν εἰπεῖν, ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ φορᾷ δινήσει συνεσκάσθαι, καὶ αὐτὸν κατενεχθῆσεσθαι.

Περὶ δὲ τῆς δίκης αὐτοῦ διαφορὰ λέγεται. Σωτίων μὲν γάρ φησιν ἐν τῇ ἐκδοχῇ τῶν φιλοσόφων, ὑπὸ Κλέωνος αὐτὸν ἀσεβείας πεισθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμένου δὲ ὑπὲρ αὐτοῦ Περικλέους τοῦ μαθητοῦ, πεντετὲς ἀναστίους ζημιωθῆναι καὶ φυγαδευθῆναι. Σάτυρος δ' ἐν τοῖς βίοις ὑπὸ Θουκυδίδου φησὶν εἰσαχθῆναι τὴν δίκην, ἀντιπολιτευσαμένου τῷ Περικλεῖ. καὶ οὐκ ἀσεβείας, ἀλλὰ καὶ μηδισμοῦ, καὶ ἀπόντα καταδικασθῆναι θανάτου. ὅτε καὶ ἀμφοτέρων αὐτῷ προσαγγελθέντων, τῆς τε καταδίκης καὶ τῆς τῶν παίδων

τε-

τελευτῆς, εἰπεῖν, περὶ μὲν τῆς καταδίκης, ὅτι Ἆρα κἀκείνων κἀμὲ πάλαι ἡ φύσις κατεψηφίσατο. περὶ δὲ τῶν παίδων, ὅτι ἤδειν αὐτὰς θνητὰς γεγεννήσας. οἱ δὲ εἰς Σόλωνα τοῦτο ἀναφέρουσιν. ἄλλοι δὲ εἰς Ξενοφῶντα. τοῦτον δὲ καθάψαι ταῖς ἰδίαις χερσὶν αὐτὸς Δημήτριός φησιν ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως. Ἕρμιππος δ' ἐν τοῖς βίοις φησίν, ὅτι καθειρχθη ἐν τῷ δεσμωτηρίῳ τεθνηξόμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν, εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον; ἐδόκει δὲ εἰπόντων, Καὶ μὴν ἐγώ, ἔφη, τότε μαθητὴς εἰμι. μὴ οὖν διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνδρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε. καὶ ἀφείθη. ὅτε συνέγκων δέ τινα ὕβρει, ἑαυτὸν ἐξήγαγε. Γερώνυμος δὲ ἐν τῷ δευτέρῳ τῶν παραδόξων ὑπομνημάτων φησίν, ὅτι ὁ Περικλῆς παρήγαγε αὐτὸν ἐπὶ τὸ δικαστήριον, διεῤῥυπωμένα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. καὶ τὰ μὲν περὶ τῆς δίκης αὐτῆς τοσαῦτα. ἔδοξε δέπως καὶ Δημοκρίτῳ ἀπεχθῶς ἔχησαι, ἀποτυχὼν τῆς πρὸς αὐτὸν κοινολογίας.

Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον, αὐτόθι κατέστρεψεν. ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων, τί βούλεται αὐτῷ γενέσθαι; φάναι, Τὰς παίδας, εἰ ᾧ ἂν ἀποθάνῃ μικρὸς ἔτος παίζειν συγχωρεῖν. καὶ φυλάττεται τὸ ἔθος καὶ νυνί. τελευτήσαντα δὴ αὐτὸν ἔθαψαν ἐντίμως οἱ Λαμψακηνοὶ, καὶ ἐπέγραψαν,

Ἐνθάδε πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
Οὐρανίους κόσμους, κεῖται Ἀναξαγόρας.

ἔστι καὶ ἡμῶν εἰς αὐτὸν,

Ἥλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν,
Καὶ δι' τοῦτο θανεῖν μέλλον Ἀναξαγόρας.

Ἀλλ'

Ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον, ὁ δ' αὐτὸν
Ἐξάγαγε βιότε, μαλθακίῃ σοφίης.

Γεγόνασι δὲ καὶ ἄλλοι ξεῖς Ἀναξαγόραι, ὧν ἐν ὑδενὶ πάντα· ἀλλ' ὁ μὲν ἰὼ ῥήτωρ Ἰσοκράτειος· ὁ δ', ἀνδριαντοποιός, ἔ μέμνηται Ἀντίγονος. ἄλλος, γραμματικὸς Ζηνοδότειος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΑΡΧΕΛΑΟΣ.

Ἀρχέλαος, Ἀθηναῖος, ἢ Μιλήσιος, πατρὸς Ἀπολλοδώρε, ὡς δέ τινες, Μύδωνος, μαθητὴς Ἀναξαγόρε, διδάσκαλος Σωκράτες.

Οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγε Ἀθήναζε, καὶ ἐκλήθη φυσικὸς, παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτες τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικε δὲ καὶ ἔτος ἅψασθαι τῆς ἠθικῆς. καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε, καὶ καλῶν καὶ δικαίων· παρ' ἕ λαβὼν Σωκράτης, τῷ αὐξῆσαι εἰς τὸ βέλτιον ὑπελήφθη.

Ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῶα ἀπὸ τῆς ἰλύος γεννηθῆναι. καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν ἐ φύσει, ἀλλὰ νόμῳ. ὁ δὲ λόγος αὐτῷ ἅπως ἔχει. πυκνούμενον φησι τὸ ὕδωρ ὑπὸ τῆ θερμῆ, καθὸ μὲν εἰς τὸ πυρῶδες συνίσταται, ποιεῖν γῆν· καθὸ δὲ ἀναῤῥέει, ἀέρα γενᾶν. ὅθεν ἡ μὲν ὑπὸ τῆ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τε πυρὸς ἀναφορᾶς κρατεῖται.

γενναῖσθαι δέ φησι τὰ ζῶα ἐκ θερμῆς τῆς γῆς, καὶ ἰλυώδη πλησίαν γάλακτι, οἷον τοφλοῦ, αὐιείσης. ὕπω δὲ καὶ τοὺς ἀνθρώπους ποιῆσαι. πρῶτος δὲ εἶπε φωνῆς χρέσιν τῷ τὸ ἀέρος πλῆξιν. Τῷ δὲ θάλατταν ἐν τοῖς κοίλοις ὑπὸ τῆς γῆς ἠθροίσθαι συμβαίνει. μέγιστον τῶν ὄντων τὸν ἥλιον, καὶ τὸ παν ἄπειρον.

Γεγόνασι δὲ καὶ ἄλλοι ξεῖς Ἀρχέλαος ὁ χωρογράφος τῆς ὑπὸ Ἀλεξάνδρου παιδείσης γῆς, ὁ τὰ διοφυῆ ποιήσας, ἄλλος τεχνογράφος ῥήτωρ.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

ΣΩΚΡΑΤΗΣ.

ΣΩκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργός, καὶ Φαιναρέτης μαίας (ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησὶν) Ἀθηναῖος, τὸν δῆμον Ἀλωπεκῆθεν.

Ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ. ὅθεν Μνησίλοχος ὕπω φησί·

Φρύγες ἐσὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου,
Ὃ καὶ Σωκράτης τὰ φρύγανα ὑποτίθησι.

καὶ πάλιν,

Εὐριπίδης, σωκρατογόμφους.

καὶ Καλλίας πεδήτας,

Ἤδη σὺ σεμνὴ καὶ φρονεῖς ὕπω μέγα.
Ἔξεσι γάρ μοι. Σωκράτης γὰρ αἴτιος.

Ἀεισοφάνης νεφέλαις,

Εὐρι-

Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν
Τὰς περιλαλήσας ἔτος ὄζει τὰς σοφάς.

Ἀκέσας δὲ Ἀναξαγόρᾳ, καὶ τινας, ἀλλὰ καὶ Δαίμωνος, ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς, μετὰ τοῦτον ἐκείνῳ καταδίκῃ διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ. ἔνθα καὶ παιδικὰ χρησθαι φησὶν Ἀριστόξενος.

Δοκεῖ δὲ καὶ δουλεῦσαι αὐτὸν καὶ ἐργάσασθαι λίθους, εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει χάριτας οὔσας φασίν, ἐνδεδυμένας ἅπασας· ὅθεν καὶ Τίμωνα ἐν τοῖς Σίλλοις εἰπεῖν,

Ἐκ δ' ἄρα τοῦ ἀπέκλινε λιθοξόος, ἐννομολέσχης,
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγος σοφήνας.
Μυκτήρ, ῥητορόμυκτος, ὑπαττικός, εἰρωνευτής.

Ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς δεινός, ὥς φησι καὶ Ἱερώνυμος. ἀλλὰ καὶ οἱ τελέσαντα αὐτὸν ἐκέλευσαν τέχνας διδάσκειν λόγων, ὥς φησι Ξενοφῶν. καὶ Ἀριστοφάνης αὐτὸν κωμῳδεῖ, ὡς τὸν ἥττω λόγον κρείττω ποιοῦντα. καὶ δὴ πρῶτος (ὥς φησι καὶ Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) μισθὸν τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε. λέγει δὲ τοῦτο καὶ Ἱερώνυμος ἐν τοῖς περὶ τῆς Σωκρατικῶν. καὶ πρῶτος περὶ βίου διελέχθη, καὶ πρῶτος φιλοσόφων καταδικασθεὶς ἐτελεύτα. φησὶ δ' αὐτὸν Ἀριστόξενος ὁ Σπινθάρου καὶ χρηματίσασθαι· τιθέντα γὰρ τὸ βαλλόμενον κέρμα ἀθροίζειν· εἶτ' ἀπολώσαντα, πάλιν τιθέναι. Κείρωνα δ' ἀνασῶσαι αὐτὸν ἀπὸ τοῦ ἐργαστηρίου καὶ παιδεῦσαι, τῆς καὶ ψυχῆς χάριτος ἐραθέντα, Δημήτριός φησιν ὁ Βυζάντιος.

Γνώριμα δὲ τοῦ φυσικοῦ θεωρίαν μηδὲν εἶναι πρὸς ἡμᾶς, τὰ ἠθικὰ φιλοσοφεῖν ἄρξαι, ὅπου τε τοῦ ἐργαστηρίου καὶ ἐν τῇ ἀγορᾷ. κἀκεῖνα δὲ φάσκειν ζητεῖν,

Ὅτι τοι ἐν μεγάροισι κακὸν τ' ἀγαθόν τε τέτυκται.

πολλάκις δὲ βαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον, κονδυλίζεσθαι καὶ βαστάζεσθαι, τὸ πλέον τε γελᾶσθαι καταφρονούμενον· καὶ πάντα ταῦτα φέρειν ἀεξικάκως. ὅθεν καὶ λακτισθέντα, ἐπειδὴ ἐπέσχετο, τινὸς θαυμάσαντος, εἰπεῖν, Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην αὐτῷ ἐλάγχανον; καὶ ταῦτα μὴν ὁ Δημήτριος.

Ἀποδημίας δὲ οὐκ ἐδέήθη, καθάπερ οἱ πλεῖες, πλὴν εἰ μὴ στρατεύεσθαι ἔδει. τὸ δὲ λοιπὸν αὐτόθι μένων, φιλονεικότερον συνεζήτει τοῖς προσδιαλεγομένοις, οὐχ ὥστε ἀφιλέσθαι τινὰ δόξαν αὐτῷ, ἀλλ' ὥστε τὸ ἀληθὲς ἐκμαθεῖν πειρᾶσθαι. φασὶ δ' Εὐριπίδου αὐτῷ δόντα τὸ Ἡρακλείτου σύγγραμμα, ἔρεσθαι, Τί δοκεῖ; τὸν δὲ φάναι, Ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ, καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέτινος δεῖται κολυμβητοῦ. ἐπεμελεῖτο δὲ καὶ σωματικῆς, καὶ ἐν ἀλείπτου. ἐστρατεύσατο γοῦν εἰς Ἀμφίπολιν· καὶ ξυνεφῶντα ἀφ' ἵππου πεσόντα ἐν τῇ περὶ Δήλιον μάχῃ, διέσωσεν ὑπολαβών· ὅτε καὶ πάντων φευγόντων Ἀθηναίων, αὐτὸς ἠρέμα ἀνεχώρει, παρεπισκοπούμενος ἡσυχῇ, καὶ πρῶν ἀμυνάσθαι εἴ τις οἱ ἐπέλθοι. ἐστρατεύσατο δὲ καὶ εἰς Ποτίδαιαν διὰ θαλάττης· πεζῇ γὰρ οὐκ ἐνῆν, τοῦ πολέμου κωλύοντος. ὅτε καὶ μεῖναι νυκτὸς ὅλης ἐφ' ἑνὸς χήματος αὐτόν φασι, καὶ ἀνασκήσαντα αὐτόθι προσχωρῆσαι Ἀλκιβιάδῃ τῷ ἀνδρείᾳ, ὃν καὶ ἐραστὴν εἶναί φησιν αὐτὸν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. Γνώμων δὲ ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον συνεκπλεῦσαι Ἀρχελάῳ ἀποδημῆσαι. καὶ Πυθῶδε ἐλθεῖν, Ἀνιστόκλης φησίν. ἀλλὰ καὶ εἰς Γδμὸν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων.

Ἦν

Ἦν δὲ καὶ ἰσχυρογνώμων καὶ δημοκρατικός, ὡς δῆλον ἔκ τε τοῦ μὴ εἶξαι τοῖς περὶ Κριτίαν, κελεύσασι Λέοντα τὸν Σαλαμίνιον, πλούσιον ἄνδρα, ἀγαγεῖν πρὸς αὐτούς, ὥστε ἀποκτεῖναι· ἀλλὰ καὶ μόνος ἀποψηφίσασθαι τῶν δέκα στρατηγῶν. καὶ ἐπὶ αὐτῷ ἀποδρᾶναι τῆς εἰρκτῆς, μὴ ἐθελῆσαι· τοῖς τε κλαίουσιν αὐτὸν ἐπιπλῆξαι, καὶ τὰς καλλίστας λόγους ἐκείνους δεδεμένον διαθέσθαι. αὐτάρκης τε ἦν καὶ σεμνός.

Καί ποτε Ἀλκιβιάδου (καθάφησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων) δι δόντος αὐτῷ χώραν μεγάλην ἵνα οἰκοδομήσηται οἰκίαν, φάναι, Καὶ εἰ ὑποδήματος ἔδει, βύρσαν μοι ἐδίδες ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην; καὶ καταγέλασος αὖ ἦν λαβών. πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν περιπατουμένων, ἔλεγε πρὸς αὑτόν, Πόσων ἐγὼ χρείαν οὐκ ἔχω; καὶ σωτηρίας ἐκείνας ἀνεφθέγγετο τὰ ἰαμβεῖα,

Τὰ δ' ἀργυρώματ' ἐστίν, ἥ τε πορφύρα,
Εἰς τὰς ἑταιρὰς χρήσιμ', οὐκ εἰς τὸν βίον.

ὑπερεφρόνησε δὲ καὶ Ἀρχελάου τοῦ Μακεδόνος, καὶ Σκώπα τοῦ Κραννωνίου, καὶ Εὐρυλόχου τοῦ Λαρισαίου, μήτε χρήματα προσείμενος αὐτῶν, μήτε παρ' αὐτοὺς ἀπελθών. εὐπαιτούς τε ἐῶν τοὺς δι' αἰτίαν ἄπως, ὥστε πολλάκις Ἀθηναίοις λοιμῶν θυομένων μόνος οὐκ ἐνόσησε.

Φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν ἀγαγέσθαι. πρότερον μὲν Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπροκλέα. δεύτερον δὲ, Μυρτὼ, τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα, ἣν καὶ ἅπροικον λαβεῖν· ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον. οἱ δὲ πρότερον γῆμαι τὴν Μυρτὼ φασιν· οὗτοι δὲ, καὶ ἀμφοτέρας ἔχειν ὁμοῦ. ὧν ἐστι Σάτυρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. φασὶ γάρ, βε-

ληθεύτας Ἀθηναίους, ἀλλὰ τὸ λειπανδρεῖν, συναυξῆσαι τὸ πλῆθος, ψηφίσασθαι, Γαμεῖν μὲν ἑξὸν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας· ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτει.

Ἦν δ' ἱκανὸς καὶ τῷ σκώπτοντων αὐτὸν ὑπερορᾶν. καὶ ἐσεμνύνετο ἐπὶ τῇ αὐτελείᾳ. μιθόντε εὐδοκίμησε καὶ ἔλεγεν, ἥδιστα ἐθίων, ἥκιστα ὄψα προσδεῖσθαι· καὶ ἥδιστα πίνων, ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν· καὶ ἐλαχίστων δεόμενος, ἐγγίστα εἶναι θεῶν· τοῦτο δ' ἐνέφαινε καὶ τῷ κωμῳδοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς, δι' ὧν σκώπτουσιν, ἐπαινοῦντες αὐτόν. Ἀριστοφάνης μεν' ἔπος,

Ὦ τῆς μεγάλης ὑπομνήσας σοφίας ἄνθρωπε δικαίως,
Ὡς δαίμων παρ' Ἀθηναίοις καὶ τοῖς ἄλλοις βαζῇς.

εἶπε,

Μνήμων καὶ φροντιστὴς, καὶ τὸ παλαίπωρον ἔχεις
Ἐν τῇ γνώμῃ, κοὐκέτι κάμνεις, ἔθ' ἑσὼς, ἔτε βαδίζων,
Οὔτ' αὖ ῥιγῶν ἄχθῃ λίαν, ἔτ' ἀρίστων ὑπομείς,
Οἷόν τ' ἀπέχῃ καὶ ἀδηφαγίας, καὶ τῶν ἄλλων ἀπονήτων.

Ἀμειψίας δ' ἐν Βίβωνι φθέγγων αὐτὸν φησιν ἔπος,

Σώκρατες, ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ ματαιότατ',
Ἦκεις καὶ σὺ πρὸς ἡμᾶς, καρτερικός τ' εἶ.
Πόθεν ἄνσοι χλαῖναν χρύσοιτο; τατὶ τὸ κακόν

Τῶν

Τῶν σκυτοτόμων κατ' ἐπήρειαν γεγράφηται.

Οὗτος μὲν τοι πεινῶν ὅπως, ἢ πώποτ' ἔτλη κολακεῦσαι. τοῦτο δ' αὐτῷ τὸ ὑπεροπτικὸν καὶ μεγαλόφρον ἐμφαίνει καὶ Ἀριστοφάνης, λέγων ὅπως, ὅτι

Βρενθύῃ τ' ἐν ταῖς ὁδοῖς, καὶ τὼ ὀφθαλμὼ βαλλαντιοβαλεῖς,
Καὶ ὑποδιτεῖς, κακὰ πολλ' ἀνέχῃ, καὶ σὺ ἡμῖν σεμνοπροσωπεῖς.

καίτοι ἐνίοτε πρὸς τὰς καιρὰς ἁρμοττόμενος, καὶ λαμπρὰ ἠμπίσχετο. καθάπερ ἐν τῷ Πλάτωνος συμποσίῳ παρ' Ἀγάθωνα βαδίζων.

Ἱκανὸς δ' ἀμφότερα μὲν καὶ προβέβλησθαι καὶ ὑποβέβλησθαι. ὥσπερ τὸν Θεμίστιον, περὶ ὁπισήμης ζηλοτυπηθείς, ἐνθέου ἀπέπεμψε, καθά καὶ Πλάτων φησίν. Εὐθύφρονα δὲ τῷ πατρὶ γραφάμενον ξενίας δίκῃ, περὶ δούλου τινὰ ζηλοτυπηθεὶς ἀπήγαγε. καὶ τὸν Λύσιν δὲ ἠθικώτατον ἐποίησε προβέβλησθαι. μὲν γὰρ ἱκανὸς ἀπὸ τῶν πραγμάτων τοὺς λόγους διείσκειν. συνέβλησθαι δὲ καὶ Λαμπροκλέα τὸν υἱὸν τῇ μητρὶ ἀχριαινόμενον, ὥς που καὶ Ξενοφῶν εἴρηκε. καὶ Γλαύκωνα μὲν τὸν Πλάτωνος ἀδελφὸν θέλοντα πολιτεύεσθαι, ἀπέσπασε, ζηλοτυπήσας τὸ ἀπείρως ἔχειν, ὡς φησιν ὁ Ξενοφῶν. Χαρμίδην δὲ τὸν ἀντίτιον ἐπέσπασε, οἰκείως ἔχοντα. ἐπῆρε δὲ καὶ εἰς φρόνημα Ἰφικράτην τὸν στρατηγὸν δείξας αὐτῷ τὸ κυρέως Μίδου ἀλεκτρυόνας αὐτίον τῆς Καλλίου περιξαμένους. καὶ αὐτὸν Γλαυκωνίδης ἠξίου τῇ πόλει περιποιεῖν, καθάπερ φασὶ τὸν ὄρνιν, ἢ πάω. ἔλεγε δὲ ὡς θαῦμα, τὰ μὲν ἄλλα σοφὸν εἶναι αὐτὸν ῥᾳδίως ὅσα ἔχοι, φίλους δ' ἐκ οὓς ὀνομάσαι ὁπόσους κέκτηται· ὅπως ὀλιγώρως ἔχειν περὶ αὐτούς. ὁρῶν δ' Εὐκλείδην ἐσπου-

δακόπα περὶ τὰς ἐρωτικὰς λόγους, Ὦ Εὐκλείδη, ἔφη, σοφισαῖς μὴν δωσήσῃ κῆθαι, ἀνθρώποις δὲ ἐδαμῶς. ἄχθεσθαι γὰρ ὤετο εἶναι τὴν περὶ ταῦτα ἀδολογίαν, ὡς καὶ Πλάτων ἐν Εὐθυδήμῳ φησί.

Χαρμίδε τε οἰκέτας αὐτῷ δίδοντος, ἵν' ἀπ' αὐτῶν προστοδλοῖτο, οὐκ εἴλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδε, καπατίνας.

Καὶ ἐπῄνει χολὴν, ὡς κάλλιστον κτημάτων, καθὰ καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. ἔλεγε δὲ καὶ οὐ μόνον ἀγαθὸν εἶναι, τὴν ὀπτικήμην· καὶ οὐ μόνον κακὸν, τὴν ἀμαθίαν. πλεῖστον δὲ καὶ δόξαν σεμνὸν ἔχειν· παῦ δὲ τἐναντίον κακόν. εἰπόντος γέν τινος αὐτῷ ὡς εἴη Ἀντισθένης μηδὲν Θράττης, Σὺ δ' ὦε, ἔφη, ὅπως οὐ γραῖον ἐκ δυοῖν Ἀθηναίων γρύεται; Φαίδωνα δὲ δι' αἰχμαλωσίαν ἐπ' οἰκήματος καθήμενον προσέταξε Κείτωνι λυτρώσασθαι, καὶ φιλόσοφον ἀπεργάσατο.

Ἀλλὰ καὶ λυείζειν ἐμάθανεν ὅτε καιρός· μηδὲν λέγων ἄτοπον εἶναι, ἅτις μὴ οἶδεν ἐκμανθάνειν. ἔτι τε ὠρχεῖτο συνεχὲς, τῇ τε σώματος δεξία λυσιτελεῖν ἡγέμενος τὴν τοιαύτην γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν.

Ἔλεγε δὲ καὶ προσημαίνειν τὸ δαιμόνιον τοῖς μέλλουσιν αὐτῷ. τό, τε εὖ ἄρχεσθαι, μικρὸν μὲν μὴ εἶναι, οὐδὲ μικρὸν δέ. καὶ εἰδέναι μὲν μηδὲν, πλεῖν αὐτὸ τοῦτο εἰδέναι. τοὺς τε τὰ ὦρια πολλὰ ἐωτημένους, ὑπογινώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. καί ποτε ἐρωτηθεὶς, τίς ἀρετὴ νέοι; Τὸ μηδὲν ἄγαν, εἶπεν. ἔφασκέ τε δεῖν γεωμετρεῖν, μέχρι αὖτις μέτρῳ δύνηται γῆν τε διαλαβεῖν καὶ διαδοῦναι. Εὐριπίδε δ' ἐν τῇ Αὐγῇ εἰπόντος περὶ ἀρετῆς,

Κράτιστον εἰκῇ ταῦτ' ἐὰν ἀφειμένα,

ἀνα-

ωάσας ἐξῆλθε· φήσας, γελοῖον εἶναι, ἀνδράποδον μὲν μὴ διερωτᾶν, ἀξιῶν ζητεῖν· ἀρετὴν δ' ὅπως ἐάν τις ἀπολωλεκέναι. ἐρωτηθεὶς πότερον γῆμαι ἢ μή; ἔφη, Ὅ τι ἂν αὐτῶν ποιήσῃς, μεταγνώσῃ. ἔλεγέ τε θαυμάζειν τοὺς τὰς λιθίνας εἰκόνας κατασκευαζομένους, τὸν μὲν λίθον φρονεῖν, ὡς ὁμοιότατος ἔσται· αὐτῶν δ' ἀμελεῖν, εἰς μὴ ὁμοίους τοῦ λίθου φαίνεσθαι· ἠξίου δὲ καὶ τοὺς νέους συνεχῶς κατοπτρίζεσθαι, ἵν' εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίγνοιντο· εἰ δ' αἰσχροί, παιδείᾳ τὴν δυσείδειαν ἐπικαλύπτοιεν. καλέσας ἐπὶ δεῖπνον πλουσίως, τῆς Ξανθίππης αἰδημονούσης, ἔφη, Θάρρει· εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπερισενεχθεῖεν ἄν· εἰ δὲ φαῦλοι, ἡμῖν αὐτῶν οὐδὲν μελήσει. ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵν' ἐσθίοιεν· αὐτὸν δὲ ἐσθίειν, ἵνα ζῴη. πρὸς τὸν οὐκ ἀξιόλογον πλῆθος ἔφασκεν, ὅμοιον εἴ τις τραπέζαν ἀποδοκιμάζων, τὸν ἐκ τοῦ τοιούτου σωρὸν ὡς δόκιμον ἀποδέχοιτο. Αἰσχίνου δὲ εἰπόντος, Πόθεν εἰμὶ καὶ ἄλλο μοι οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν· Ἆρ' οὖν, εἶπεν, οὐκ αἰσθανῇ τὰ μέγιστά μοι διδούς; πρὸς τὸν ἀποδυσπετοῦντα ὅτι τοῦ παρορᾶσθαι, ὁπότε ἐπαινέσησαν οἱ ξιάκοντα, Ἆρα, ἔφη, μή τι σοι μεταμέλει; πρὸς τὸν εἰπόντα, Θάνατόν σε κατέγνωσαν Ἀθηναῖοι, Κἀκείνων, φησὶν, ἡ φύσις. οἱ δὲ τὸν Ἀναξαγόραν φασὶν εἰπεῖν. τῆς γυναικὸς εἰπούσης, Ἀδίκως ἀποθνήσκεις, Σὺ δὲ, ἔφη, δικαίως ἐβούλου; ὄναρ δόξας τινὰ αὐτῷ λέγειν,

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

πρὸς Αἰσχίνην ἔφη, Εἰς ξίτλην ἀποθανεῖται. μέλοντί τε αὐτῷ τὸ κώνειον πιεῖν, Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλὸν, ἵν' ἐν ἐκείνῳ ἀποθάνῃ· ᾧ ὃς, Τί δ', ἔφη, τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μοι ἀπιδεῖον, ἀποθανεῖν

δὲ

δὲ ἀχί; πρὸς τὸν εἰπόντα, Κακῶς ὁ δεῖνά σε λέγει· Καλῶς γὰρ, ἔφη, λέγειν οὐκ ἔμαθε. Σβέννυτος Ἀντισθένους τὸ διερρωγὸς τοῦ βίβλιον εἰς τὰμφανές, Ὁρῶσι, ἔφη, δηλῶ τοῦ βίβλιου τὴν κενοδοξίαν. πρὸς τὸν εἰπόντα, Οὐ σοὶ λοιδορεῖται ὁ δεῖνα; Οὐχί, ἔφη· ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα. ἔλεγε δὲ τοῖς κωμικοῖς δεῖν ὑπάρχειν ἑαυτὸν δίδοναι. εἰ μὲν γάρτι τῶν προσόντων λέξειαν, διορθώσονται· εἰ δ' οὔ, οὐδὲν πρὸς ἡμᾶς.

Πρὸς Ξανθίππην, πρότερον μὲν λοιδορουμένην, ὕστερον δὲ καὶ περιχέασαν αὐτῇ, Οὐκ ἔλεγον, εἶπεν, ὅτι Ξανθίππη βροντῶσα, καὶ ὕδωρ ποιήσει; πρὸς Ἀλκιβιάδην εἰπόντα, διὰ τί ἀνέχῃ ἡ Ξανθίππη λοιδορουμένη, Ἀλλ' ἔγωγ', ἔφη, συνείθισμαι, καθάπερ οἱ ἐν τοῖς ἀχέων συνεχές. καὶ σὺ μὲν, εἶπε, χιλιῶν βοῶντων οὐκ ἀνέχῃ· τὸν δὲ εἰπόντος, Ἀλλ' ἅμα καὶ νεοττὸς τίκτουσι· Καὶ μοὶ, φησὶ, Ξανθίππη παιδία γλυκύ. ποτὲ αὐτῆς ἐν ἀγορᾷ καὶ ἱματίου περιλομένης συνεβούλου οἱ γνώριμοι χρῆναι ἀμύνασθαι· Νὴ Δί', εἶπεν, ἵν' ἡμῶν πυκτευόντων, ἕκαστος ὑμῶν λέγοι, εὖ Σώκρατες, εὖ Ξανθίππη. ἔλεγε συνεῖναι ταχεῖα γυναικὶ, καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις· Ἀλλ' ὡς ἐκεῖνοι, φησὶ, τύπων κρατήσαντες, ῥᾳδίως τὴν ἄλλων περιγίνονται, ὕπω κἀγὼ Ξανθίππην χαλεπὴν, τοῖς ἄλλοις ἀνθρώποις συμπεριενεχθήσομαι.

Ταῦτα δὴ καὶ πολλὰ λέγων καὶ πράττων, πρὸς τῆς Πυθίας ἐμαρτυρήθη, Χαιρεφῶντι ἀναλύσας ἐκεῖνο δὴ τὸ περιφερόμενον,

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

ἀφ' ὃ δὴ καὶ ἐφθονήθη μάλιστα. καὶ δὴ καὶ ὅτι διήλεγχε τοὺς μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, ὡς ἀνόητος, καθάπερ

Μέ-

Μέλιτον καὶ Ἄνυτον· ὡς καὶ ἐν τῷ Πλάτωνος ὄζει Μενέξενῳ. Οὗτος γὰρ ὁ φέρων τὸν ὑπὸ Σωκράτους χλευασμὸν, πρῶτον μὲν ἐπίλεψεν αὐτῷ τὰς περὶ Ἀσεσφαῖον· ἔπειτα καὶ Μέλιτον συνέπεισεν ἀπενέγκασθαι κατ' αὐτοῦ γραφὴν ἀσεβείας καὶ τῆς νέων διαφθορᾶς. ἀπηνέγκατο μὲν ἓν τῇ γραφῇ ὁ Μέλιτος· εἶπε δὲ τῇ δίκῃ Πολύδικος, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. συνέγραψε δὲ τὸν λόγον Πολυκράτης ὁ σοφιστὴς, ὥς φησιν Ἕρμιππος· ἢ Ἄνυτος, ὥς τινες. προυτρέψατο δὲ πάντα Λύκων ὁ δημαγωγός. Ἀντιδοτὴν δ' ἐν ταῖς τῶν φιλοσόφων διατριβαῖς, καὶ Πλάτων ἐν Ἀπολογίᾳ, φησὶν αὐτὸν κατηγορῆσαί φασιν, Ἄνυτον καὶ Λύκωνα καὶ Μέλιτον. τὸν μὲν Ἄνυτον περὶ τῶν δημιουργῶν, καὶ τῶν πολιτικῶν ὀργιζόμενον· τὸν δὲ Λύκωνα, ὑπὲρ τῶν ῥητόρων· καὶ τὸν Μέλιτον ὑπὲρ τῶν ποιητῶν· ὃς ἅπαντας ὁ Σωκράτης διέσυρε. Φαβωρῖνος δέ φησιν ἐν τῷ πρώτῳ τῶν ὑπομνημονευμάτων, μὴ εἶναι ἀληθῆ τὸν λόγον τὸν Πολυκράτους. ἐν αὐτῷ γάρ, φησὶ, μνημονεύει τῶν ὑπὸ Κόνωνος τειχῶν ἀνατεθέντων, ἃ γέγονεν ἐν ἕτεσιν ἓξ τῆς Σωκράτους τελευτῆς ὕστερον. καὶ ἔστιν ἅπως ἔχον.

Ἡ δ' ἀπωμοσία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον. ἀνάκειται γὰρ ἔτι καὶ νῦν (φησὶ Φαβωρῖνος ἐν τῷ Μηδείῳ). Τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλιτος Μελίτου Πιτθεύς, Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν. Ἀδικεῖ Σωκράτης, ὃς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος.

Ὁ δ' αὐ φιλόσοφος, Λυσίᾳ γράψαντος ἀπολογίαν αὐτῷ, διαγνούς, ἔφη, Καλὸς μὲν ὁ λόγος, ὦ Λυσία, οὐ μέντοι ἁρμόττων ἐμοί. δηλαδὴ γὰρ ἐμοὶ τὸ πλέον δικανικὸς, ἢ ἐμφιλόσοφος. εἰπόντος δὲ τοῦ Λυσίου, Πῶς, εἰ

κα-

καλός ἐστιν ὁ λόγος, οὐκ αἰσχοι ἁρμόττει; ἔφη, Οὐ γὰρ οὐ ἱμάτια καλὰ οὐ ὑποδήματα εἶπ' αὐ ἐμοὶ ἀνάρμοστα; κελευομένου δ' αὐτοῦ, φησὶν Ἔρρος ὁ Τιβερίου ἐν τῷ στέμματι, Πλάτωνα ἀναβιῶναι ἐπὶ τὸ βῆμα, καὶ εἰπεῖν, Νεώτατος ὢν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβαίνων· τὰς δικασὰς ἐνβοῆσαι καταβαίνων, πατέρες κατάβηθι.

Ὅτ' ἐν καταδικάσθη, ἑξακοσίαις ὀγδοηκονταμιᾷ πλείοσι ψήφοις τῶν ἀπολυσασῶν· καὶ τιμωμένου τῶν δικαστῶν, τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτίσαι; πεντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν. Εὐβουλίδης μὲν γάρ φησιν ἑκατὸν ὁμολογῆσαι. Θορυβησάντων δὲ τῶν δικαστῶν, Ἕνεκα μὲν, εἶπε, τῶν ἐμοὶ ἑξαπεραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν πρυτανείῳ σιτήσεως. καὶ οἱ θάνατον αὐτῷ κατέγνωσαν, προθέντες ἄλλας ψήφους ὀγδοήκοντα. καὶ δεθεὶς, μετ' ὀλίγας ἡμέρας ἔπιε τὸ κώνειον, πολλὰ καλὰ καὶ ἀγαθὰ διαλεχθεὶς, ἃ Πλάτων ἐν τῷ Φαίδωνί φησιν.

Ἀλλὰ καὶ παιᾶνα κατά τινας ἐποίησεν, ἧς ἡ ἀρχή,

Δήλι' Ἄπολλον χαῖρε, καὶ Ἄρτεμι, παῖδε κλεεινώ.

Διονυσόδωρος δέ φησι μὴ εἶναι αὐτοῦ τὸν παιᾶνα. ἐποίησε δὲ καὶ μῦθον Αἰσώπειον, ἀπαρτιδυμβώς, ἧς ἡ ἀρχή,

Αἴσωπος ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσι,
Μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

Ὅτι μὲν ἦν ἐξ ἀνθρώπων ἰῶ. Ἀθηναῖοι δ' αὖθις μετέγνωσαν, ὥστε κλεῖσαι καὶ παλαίστρας καὶ γυμνάσια. καὶ τοὺς μὲν ἐφυγάδευσαν· Μελίτου δὲ θάνατον κατέγνωσαν. Σωκράτην δὲ χαλκῆς εἰκόνος ἐτιμήσαντο, ἰῶ ἔθεσαν

σαν ἐν τῷ πομπείῳ Λυσίππε ταύτῃ ἐργασαμένῳ. Ἀνυτόν τε ὑπεδημήσαντα αὐθημερὸν ἐξεκήρυξαν Ἡρακλεῶται. ὑ μόνον δὲ ὅτι Σωκράτης Ἀθηναῖοι πεπόνθασι τοῦτο, ἀλλὰ κ) ὅτι πλείσων ὅσων. κ) γὰρ Ὄμηρον (καθά φησιν Ἡρακλείδης) πεντήκοντα δραχμαῖς, ὡς μαινόμενον, ἐτίμησαν· κ) Τυρταῖον ἀχρήστειν ἔλεγον, κ) Ἀνυδάμαντα πρῶτον τῶν περὶ Αἰσχύλον ἐτίμησαν εἰκόνι χαλκῇ. Εὐριπίδης δὲ κ) ὀνειδίζει αὐτοῖς ἐν τῷ Παλαμήδει, λέγων,

Ἐκαίετ' ἐκαίετε τὸν παίσοφον
Τὸν ὕδαι ἀλγύνασαν ἀηδόνα μοῦσαν.

Καὶ πάλε μὲν ὧδε. Φιλόχορος δέ φησι προτελεῖσθαι τὸν Εὐριπίδου τὸ Σωκράτες. ἐχρήσθη δὲ (καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς) ὅτι Ἀψεφίωνος, ἐν τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῳ, ὅτε καθαίρουσι τὴν πόλιν Ἀθηναῖοι, κ) τὴν Ἄρτεμιν γρύφασι Δήλιοί φασιν. ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐνενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. κ) ταῦτά φησι κ) Δημήτριος ὁ Φαληρεύς. οἱ δὲ ἑξήκοντα ἐτῶν τελευτῆσαι αὐτόν φασιν.

Ἀμφότεροι δὲ ἤκμασαν Ἀναξαγόρᾳ, κ) ἔτος κ) Εὐριπίδης, ὃς κ) τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐχρήσθη ὅτι Καλλιάδῃ. δοκεῖ δέ μοι κ) περὶ τῶν φυσικῶν ὁ Σωκράτης διειλέχθαι. ὅπου γε καὶ περὶ φρονήσεως τινὰ διαλέγεται, καθά φησι κ) Ξενοφῶν, καί τοι περὶ μόνων τῶν ἠθικῶν ποιεῖσθαι τοὺς λόγους αὐτὸν εἰπών. ἀλλὰ κ) Πλάτων ἐν τῇ Ἀπολογίᾳ μνησθεὶς Ἀναξαγόρᾳ κ) ἄλλων φυσικῶν, ἃ Σωκράτης ἀρνεῖται, περὶ τούτων αὐτὸς λέγει, καίπερ αἰτιασθεὶς πάντα Σω-

κρά-

κράτει. φησὶ δ' Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα εἰς Συρίας εἰς Ἀθηνᾶς, πρίν τε ἄλλα καταγνῶναι τὸν Σωκράτης, καὶ δὴ καὶ βίαιον ἔσεσθαι τοῦ τελευτοῦ αὐτῷ· ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἔπος,

Πίνειν ἐν Διὸς ὤν, ὦ Σώκρατες· ἢ σε γὰρ ὄντως
Καὶ σοφὸν εἶπε θεὸς, καὶ θεὸς ἡ σοφίη·
Πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς μὲν ἐδέξω,
Αὐτοῖ δ' ὀξέπιον τοῦτο τεῷ στόματι.

Τέτῳ τις, καθάφησιν Ἀριστοτέλης ἐν τρίτῳ περὶ ποιητικῆς, ἐφιλονείκει Ἀντιόλοχος Λήμνιος, καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ Κύδων καὶ Ὀνάπας· καὶ Σάγαρις Ὀμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης· καὶ Πινδάρῳ Ἀμφιμένης ὁ Κῷος· Θάλητι δὲ Φερεκύδης, καὶ Βίαντι Σάλαρος Πριηνεύς· Πιττακῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος, καὶ Σιμωνίδῃ Τιμοκρέων.

Τῶν δὲ ἑξαδέκα μόνων αὐτὸν, τῶν λεγομένων Σωκρατικῶν, οἱ κορυφαιότατοι μὲν Πλάτων, Ξενοφῶν, Ἀντισθένης. τῶν δὲ φερομένων δέκα οἱ ἑξαιμέτατοι τέσσαρες, Αἰσχίνης, Φαίδων, Εὐκλείδης, Ἀρίστιππος. λεκτέον δὲ πρῶτον περὶ Ξενοφῶντος. εἶτα περὶ Ἀντισθένους ἐν τοῖς κυνικοῖς. ἔπειτα περὶ τῶν Σωκρατικῶν, εἶθ' ἕτω περὶ Πλάτωνος· ἐπεὶ καπάρχει τῶν δέκα αἱρέσεων, καὶ τῷ πρώτῳ Ἀκαδημίαν αὐτὸς συνέστησατο. ἡ μὲν οὖν ἀκολουθία τοῦτον ἐχέτω τὸν τρόπον.

Γέγονε δὲ Σωκράτης καὶ ἕτερος, ἱστορικὸς, Φλήγυαν Ἄργος γεγραφώς. καὶ ἄλλος, Φλιάσιος, Βιθυνός· καὶ ἕτερος, ἐπιγραμμάτων ποιητής· καὶ ὁ Κῷος, ἐπικλήσεις θεῶν γεγραφώς.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΞΕΝΟΦΩΝ.

ΞΕνοφῶν, Γρύλλε μὲν ἦν υἱὸς, Ἀθηναῖος, τὸν δῆμον Ἐρχιεύς· ἀιδήμων δὲ καὶ ἀνεδέκατος εἰς ὑπερβολήν.

Τοῦτον ἐν συνωπῷ φασιν ἀπαντήσαντα Σωκράτει, διατεῖναι τὴν βακτηρίαν καὶ κωλύειν παρελθεῖν, πυνθανόμενον ποῦ πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον· ἀποκεκμηκότα δὲ πάλιν πυθέσθαι, Πῆ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι; ἀπορήσαντος δὲ, Ἕπου τοίνυν, φάναι, καὶ μάνθανε. καὶ τοιοῦτον ἀκροατὴς Σωκράτους ἐγένετο.

Καὶ πρῶτος ὑπομνημονεύματα τὰ λεγόμενα, εἰς ἀνθρώπους ἤγαγε, ὑπομνημονεύματα ἐπιγράψας. ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψε.

Καὶ αὐτὸν φησιν Ἀρίστιππος, ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς, ἐραστὴν γενέσθαι Κλεινίου· πρὸς ὃν καὶ ταῦτα εἰπεῖν, Νὴ γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τοσοῦτῳ μείζω χαίρειν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι.

Κύρῳ δὲ φίλος ἐγένετο πάνυ τὸν τρόπον. ὃν αὐτῷ συνῴκησε Πρόξενος ὄνομα, γένος Βοιώτιος, μαθητὴς μὲν Γοργίου τοῦ Λεοντίνου, φίλος δὲ Κύρου. Οὗτος ἐν Σάρδεσι διατρίβων τότε τῷ Κύρῳ, ἔπεμψεν εἰς Ἀθήνας ἐπιστολὴν Ξενοφῶντι, καλῶν αὐτὸν ἵνα γένηται Κύρῳ φίλος· ὁ δὲ τὴν ἐπιστολὴν δείκνυσι Σωκράτει, καὶ σύμ-

βουλον

βελον ἠρεῖτο. καὶ ὃς ἀπέστειλεν αὐτὸν εἰς Δελφοὺς χρησόμενον τῷ θεῷ. πείθεται Ξενοφῶν· ἦκεν οὖν πρὸς τὸν θεόν· πυνθάνεται, εἰ χρὴ ἀπιέναι πρὸς Κῦρον, ἀλλ' ὅπως. ἐφ' ᾧ καὶ Σωκράτης αὐτὸν ἠτιᾶτο μὲν, συνεβούλευσε δὲ ἐξελθεῖν. καὶ ὃς γίνεται οὖν πρὸς Κύρῳ, καὶ τὰ Πρόξενε φίλος ἐκ ἦττον ἦν αὐτῷ. τὰ μὲν ἓν ἄλλα τὰ κατὰ τὴν ἀνάβασιν γενόμενα, καὶ τὴν κάθοδον, ἱκανῶς αὐτὸς ἡμῖν διηγεῖται.

Ἐχθρῶς δὲ διέκειτο πρὸς Μένωνα τὸν Φαρσάλιον περὶ τὸν χρόνον τῆς ἀναβάσεως, τὸν ξεναγόν. ὅτε καὶ λοιδορῶν αὐτὸν φησιν, αὐτῷ μείζοσι κεχρῆσθαι παιδικοῖς. ἀλλὰ καὶ Ἀπολλωνίδῃ τινὶ ὀνειδίζει, τεχνᾶσθαι τὰ ὦπα.

Μετὰ δὲ τὴν τε ἀνάβασιν καὶ τὰς ἐν τῷ Πόντῳ συμφορὰς, καὶ τὰς πρὸς τὴν Σεύθε τοῦ τῆς Ὀδρυσῶν βασιλέως, ἦκεν εἰς Ἀσίαν πρὸς Ἀγησίλαον τὸν Λακεδαιμονίων βασιλέα, μισθοῦ τοὺς Κύρου στρατιώτας αὐτῷ συλλέγων· φίλος τε ἦν εἰς ὑπερβολήν. παρ' ὃν καιρὸν ὑπὸ Λακωνισμῷ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη. χρόμενος δ' ὁ Ἐφέσῳ, καὶ χρυσίον ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ φυλάττειν, ἕως ἂν ἐπανέλθῃ· εἰ δὲ μὴ, ἄγαλμα ποιησάμενον, ἀναθεῖναι τῇ θεῷ. τὸ δὲ ἥμισυς ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα. ἐντεῦθεν ἦλθεν μετ' Ἀγησιλάου εἰς τὴν Ἑλλάδα, κεκλημένου εἰς τὸν πρὸς Θηβαίους πόλεμον· καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι.

Ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον, ἦλθεν εἰς Σκιλλοῦντα, χωρίον τῆς Ἠλείας, ὀλίγον τῆς πόλεως ἀπέχον. εἵπετο δὲ αὐτῷ καὶ γυναῖον, ὄνομα Φιλησία, καθάφησι Δημήτριος ὁ Μάγνης· καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα Ὑποθέσει, οἳ καὶ Διόσκουροι ἐπεκαλοῦντο· ἀφικομέ-

νε

νε δὲ τὸ Μεγαβύζε καὶ φρόφασιν τῆς παρηγύρεως, κοσμισάμβους τὰ χρήματα, χωρίον ἐφρίατο, καὶ καθιέρωσε τῇ θεῷ, δι' ὃ ποταμὸς ῥέῤῥει Σελινοῦς, ὁμώνυμος τῷ ἐν Ἐφέσῳ· πάντεῦθεν διετέλει κυνηγετῶν, καὶ τὰς φίλας ἑστιῶν, καὶ τὰς ἱσοδίας συγγράφων. φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδωσαν Λακεδαιμόνιοι. ἀλλὰ καὶ Φιλοπίδην τὸν Σπαρτιάτην φασὶν αὐτῷ πέμψαι αὐτόθι δωρεάν, ἀνδράποδα αἰχμάλωτα ἐκ Δαρδανὶς· καὶ τὸν δεχθέσθαι αὐτὰ ὡς ἐβούλετο. Ἡλείους τε στρατευσαμβοῦς εἰς τὸν Σκιλλοῦντα, καὶ βραδυνόντων Λακεδαιμονίων, ἐξελεῖν τὸ χωρίον.

Ὅτε καὶ τὰς ὑέας αὐτοῦ εἰς Λέπρεον ὑπεξελθεῖν μετ' ὀλίγων οἰκετῶν, καὶ αὐτὸν Ξενοφῶντα εἰς τὸν Ἦλιν πρότερον, εἶτα καὶ εἰς Λέπρεον πρὸς τὰς παῖδας, κἀκεῖθεν σὺν αὐτοῖς εἰς Κόρινθον ἐξασωθῆναι, καὶ αὐτόθι κατοικῆσαι.

Ἐν τούτῳ δὲ ψηφισαμβόων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις, ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομβοῦς ὑπὲρ τῶν Λακεδαιμονίων. καὶ δὴ ἐπεπαίδευντο αὐτόθι ἐν τῇ Σπάρτῃ, καθάφτι Διοκλῆς ἐν τοῖς βίοις τῶν φιλοσόφων. ὁ μὲν ἂν Διόδωρος ὕδεν ὅπφανὲς ποιῆσαι, ἐκ τῆς μάχης ἀνασώζεται, καὶ αὐτῷ υἱὸς ὁμώνυμος γίνεται τἀδελφῷ. ὁ δὲ Γρύλλος πεταγμβός καὶ τὰς ἱππέας (ἐν δὲ ἡ μάχη περὶ Μαντίνειαν) ἰσχυρῶς ἀγωνισάμβους ἐτελεύτησεν, ὥς φησιν Ἔφορος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ. Κηφισοδώρε μὲν ἱππαρχοῦντος, Ἡγησιλέω δὲ στρατηγοῦντος. ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμινώνδας ἔπεσε. τινὲς καὶ δὴ καὶ τὸν Ξενοφῶντα φασὶ θύειν ἐστεμμβόν· ἀπαγγελθέντος δ' αὐτῷ τὸ θανάτε, ἀποστεφανώσασθαι· ἔπειτα μαθόντα ὅτι ψευδῶς, πάλιν ἐπιθέσθαι τὸν στέφανον· οἱ δὲ καὶ δακρῦσαι φασὶν

τὴν αὐτὸν, Ἀλλὰ γὰρ, εἰπεῖν, ἤδειν ἅπαντα γεγενημένα. φησὶ δὲ Ἀριστοτέλης, ὅτι ἐγκώμιά τε ὀπισθόφιον Γρύλλε μυρίοι ὅσοι συγγράψειαν, τὸ μέρος τῷ παρὰ χαριζόμενοι. ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ περὶ Θεοφράστε, καὶ Σωκράτη φησὶ Γρύλλε ἐγκώμιον γεγραφέναι. Τίμων δ' ὑποσκώπτει αὐτὸν ἐν τούτοις,

Ἀθηναίων τε λόγων δυὰς ἢ τρὶς, ἢ ἔτι πλείω,
Οἷος Ξενοφῶν, ἢν' Ἀριστίππε καὶ ὀπισθόφιος γράψαι.

Καὶ ὁ μὲν βίος αὐτῷ τοιόσδε. ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, καὶ ἀνέβη σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου, ἐνιαυτῷ πρότερον ἢ τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δὲ (κατὰ φησὶ Σποσικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ) ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιδημίδε, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντε Μακεδόνων ἦρξε. τέθαπται δὲ ἐν Κορίνθῳ (ὡς φησι Δημήτριος ὁ Μάγνης) ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς.

Ἀνὴρ τά τε ἄλλα γεγονὼς ἀγαθὸς, καὶ δὴ καὶ φίλιππος καὶ φιλοκυνήγος καὶ τακτικὸς, ὡς ἐκ τῶν συγγραμμάτων δῆλον· δυσεβής τε καὶ φιλοθύτης, καὶ ἱερεῖα θαυμάσαι ἱκανὸς, καὶ Σωκράτη ζηλώσας ἀκριβῶς.

Συνέγραψε δὲ βιβλία πρὸς τὰ τετταράκοντα, ἄλλων ἄλλως διαιρούντων. τίνά τε ἀνάβασιν, ἧς καὶ βιβλίον μὲν ἐποίησε προοίμιον, ὅλης δὲ ἕ. καὶ Κύρε παιδείαν, καὶ Ἑλληνικὰ, καὶ ἀπομνημονεύματα· συμποσίόν τε, καὶ οἰκονομικὸν, καὶ περὶ ἱππικῆς, καὶ κυνηγετικὸν, καὶ ἱππαρχικὸν, ἀπολογίαν τε Σωκράτους, καὶ περὶ πόρων, καὶ Ἱέρωνα ἢ τυραννικὸν, Ἀγησίλαόν τε, καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἃ φησιν ἂν εἶναι Ξενοφῶντος ὁ Μά-

ὁ Μάγνης Δημήτριος. λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδε βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος, αὐτὸς εἰς δόξαν ἤγαγεν.

Ἐκαλεῖτο δὲ καὶ Ἀττικὴ μέλισσα, γλυκύτητι τῆς ἑρμηνείας· ὅθεν καὶ παρὰ ἀλλήλοις ζηλοτύπως εἶχον αὐτός τε καὶ Πλάτων, ὡς ἐν τῷ περὶ Πλάτωνος λέξομεν. ἔστι δὲ καὶ εἰς τῶν ἡμῶν ἐπιγράμματα τῶνδε ἔχοντα τὸν τρόπον,

Οὐ μόνον ἐς Πέρσας αὐέβη Ξενοφῶν σὺν Κῦρον,
Ἀλλ' ἀνάδην ζητῶν ἐς Διὸς ἤτις ἄγοι.
Παιδείης δ' ἕνεκ' Ἑλληνικὰ πράγματα δείξας,
Ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος.

Ἄλλο, ὡς ἐτελεύτα·

Εἰ καί σε Ξενοφῶν Κραναὴ Κέκροπός τε πολῖται
Φεύγειν κατέγνων, τὰ φίλα χαίρειν Κύρε.
Ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ἣ σὺ φιλήσῶν
Οὕτως ἀρέσκῃ, κεῖθι καὶ μενέειν ἔγνως.

Εὗρον δὲ ἀλλαχόθι ἀκμάσαι αὐτὸν περὶ τὴν ὀγδοηκοστὴν καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, σὺν τοῖς ἄλλοις Σωκρατικοῖς. καὶ Ἴστρος φησὶν αὐτὸν φυγεῖν τὸ ψήφισμα Εὐβέλε, καὶ κατελθεῖν τὸ ψήφισμα τὸ αὐτό.

Γεγόνασι δὲ Ξενοφῶντες ἑπτά· πρῶτος αὐτὸς ὅτος. δεύτερος, Ἀθηναῖος ἀδελφὸς Πυθοσράτε, τὸν τὴν Θησηΐδα πεποιηκότος, γεγραφὼς ἅμα τε καὶ βίον Ἐπαμινώνδε καὶ Πελοπίδε. τρίτος, ἰατρὸς Κῷος· τέταρτος, ἱστορίαν Ἀννιβαϊκὴν γεγραφώς. πέμπτος, μυθώδη τερατείαν πεπραγματευμένος· ἕκτος, Πάριος, ἀγαλματοποιός· ἕβδομος, κωμῳδίας ἀρχαίας ποιητής.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΑΙΣΧΙΝΗΣ.

Αἰσχίνης, Χαρίνου τοῦ ἀλλαντοποιοῦ. οἱ δὲ, Λυσανίου, Ἀθηναῖος, ἐκ πένης φιλόπονος. διὸ καὶ Σωκράτους ἀκήκοεν.

Διό καὶ ἔλεγε, Μόνος ἡμᾶς οἶδε τιμᾶν ὁ τοῦ ἀλλαντοποιοῦ. τοῦτον ἔφη Γλαυκωνὶς ἐν τῷ δεσμωτηρίῳ συμβουλεῦσαι περὶ τῆς φυγῆς Σωκράτει, καὶ ὑπὸ Κρίτωνα. Πλάτωνα δὲ, ὅτ' ἦν Ἀριστίππῳ μᾶλλον φίλος, Κρίτωνι προσθεῖναι τοὺς λόγους.

Διεβάλλετο δ' ὁ Αἰσχίνης καὶ μάλιθ' ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ὡς τοὺς πλείστους ἑταλόγους, ὄντας Σωκρατικοὺς, ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης. ὧν οἱ μὲν καλέμβροι Αἰσχίναι, σφόδρα εἰσὶν ἐκλελυμμένοι, καὶ ἐκ διαφθορᾶς τὴν Σωκρατικὴν διατονίαν, ἧς καὶ Περσίστρατος ὁ Ἐφέσιος ἔλεγε μὴ εἶναι Αἰσχίνου. καὶ τῶν ἑπτὰ δὲ τοὺς πλείστους Περσαῖός φησι Πασιφῶντος εἶναι τοῦ Ἐρετριέως, εἰς τοὺς Αἰσχίνου δὲ καταξαι. ἀλλὰ καὶ τὸν Ἀντισθένους τόν τε μικρὸν Κῦρον, καὶ τὸν Ἡρακλέα τὸν ἑλάσσω, καὶ Ἀλκιβιάδην, καὶ τοὺς τῶν ἄλλων δὲ ἐσκιαγράφηται. οἱ δ' ἐν τοῦ Αἰσχίνου τὸ Σωκρατικὸν ἦθος διαμεμαγμένοι, εἰσὶν ἑπτά. πρῶτος, Μιλτιάδης (διὸ καὶ ἀθυρέστερόν πως ἔχει) Καλλίας, Ἀξίοχος, Ἀσπασία, Ἀλκιβιάδης, Τηλαυγὴς, Ῥῖνων. φασὶ δ' αὐτὸν, διὰ πορείαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ Ἀριστίππου συσαθῆναι· δόντα τέ τινας τῶν ἑταλόγων, δῶρα λαβεῖν.

Ἔπειτ'

Ἔπειτ' ἀφικόμενον Ἀθήναζε, μὴ τολμᾶν σοφιστεύειν· εὐδοκιμέντων τότε τῶν περὶ Πλάτωνα καὶ Ἀείσιππον· ἐμμίσθους δὲ ἀπροάσεις ποιεῖσθαι. εἶτα συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις. διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτῷ, ἢν Αἰσχίνα ἐκ ὑπόπειθὴς γράψαι. φασὶ δ' αὐτῷ λέγειν Σωκράτη, ἐπειδήπερ ἐπιέζετο ὑπὸ πενίας, παρ' ἑαυτὸν δανείζεσθαι, τῷ σιτίων ὑφεῖναι.

Τότε τὸς ὀχλόγους καὶ Ἀείσιππος ὑπώπτευεν. ἐν γὰρ Μεγάροις ἀναγινώσκοντος αὐτὸν φασι σκῶψαι, εἰπόντα, Πόθεν σοι, λῆρε, ταῦτα;

Φησὶ δὲ Πολύκριτος ὁ Μενδαῖος ἐν τῷ πρώτῳ τῶν περὶ Διονύσιον, ἄχρι τῆς ἐκπτώσεως συμβιῶναι αὐτὸν τῷ τυράννῳ, καὶ ἕως τῆς Δίωνος εἰς Συρακούσας καθόδου· λέγων εἶναι σαφὲς αὐτῷ Καρκῖνον τὸν κωμῳδοποιόν· φέρεται δὲ καὶ ὑπόληψις πρὸς Διονύσιον Αἰσχίνου.

Ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἐπαινῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας τῆς παιδὸς Φιλίσκου τῆς στρατηγοῦ, καὶ τῆς Δίωνος. μάλιστα δὲ μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. καὶ Λυσίας δὲ κατ' αὐτοῦ συγγέγραφε λόγον, περὶ συκοφαντίας ἐπιγράψας· ἐξ ὧν δῆλον ὅτι καὶ ῥητορικός τις ἦν. γνώριμος δὲ αὐτοῦ φέρεται εἷς, Ἀείσταινος ὁ Μυθοποιὸς ἐπικληθείς.

Πάντων μὴν τῶν Σωκρατικῶν ὀχλόγων Παιανίτιος ἀληθεῖς εἶναι δοκεῖ τὰς Πλάτωνος, Ξενοφῶντος, Ἀντισθένους, Αἰσχίνου· δισάζει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου· τὰς δὲ ἄλλας ἀναιρεῖ πάσας.

Γεγόνασι δ' Αἰσχίναι ὀκτώ. πρῶτος, αὐτὸς ἐτος. δεύτερος δὲ, ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς. τρίτος, ὁ ῥήτωρ ὁ τῆς Δημοσθενίου· τέταρτος, Ἀρκάς· μαθητὴς Γοργίου τοῦ Λεοντίνου· πέμπτος, ὁ Μιτυληναῖος, ὃν καὶ ῥητορομάσιγα ἐκάλουν· ἕκτος, Νεαπολίτης, φιλόσοφος Ἀ-

καδημαϊκὸς, Μελανθίᾳ τῇ Ῥοδίᾳ μαθητὴς καὶ παιδικά· ἕβδομος, Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος, ἀνδριαντοποιός.

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΑΡΙΣΤΙΠΠΟΣ.

Ἀρίστιππος τὸ μὲν γένος ἦν Κυρηναῖος, ἀφιγμένος δὲ Ἀθήναζε, καθάφησιν Αἰσχίνης, καὶ κλέος Σωκράτους.

Οὗτος σοφισθεὶς (ὥς φησιν Φανίας ὁ Περιπατητικὸς ὁ Ἐρέσιος) πρῶτος τὴν Σωκρατικῶν μισθὸς εἰσεπράξατο, καὶ ἀπέστειλε χρήματα τῷ διδασκάλῳ. καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἔλαβεν· εἰπόντος Σωκράτους, τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Ξενοφῶντα τε εἶχε πρὸς αὐτὸν δυσμενῶς· διὸ καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατὰ Ἀριστίππου προσπέθεικε. καὶ μὴν ἀλλὰ καὶ Θεόδωρος ἐν τῷ περὶ αἱρέσεων, ἐκάκισεν αὐτὸν, καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς, ὡς ἐν ἄλλοις εἰρήκαμεν.

Ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν προσίσασιν ἁρμονίας ὑποκινήσασθαι. διὸ καὶ πρὸς Διονυσίῳ τῷ ἄλλων δι' ὀλίγου μᾶλλον ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος. ἀπέλαυε μὲν γὰρ ἡδονῆς τῆς παρόντων, καὶ ἐπήρα δὲ πόνῳ τινὶ ἀπόλαυσιν τῆς ἀπόντων· ὅθεν καὶ Διονύσιος βασιλικὸν κύνα ἔλεγεν αὐτόν. ὁ δὲ Τίμων παρέφασεν ὡς θρυπτόμενον, ἅπωσί πως εἰπών,

Οἷά

Οἷά τ' Ἀρίστιππε ξυφερὴ φύσις ἀμφαφόωντος
Ψήδη.

τὸν φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ἐωνῆθῶαι· αἰτιασαμένου δέ τινος, Σὺ δ' οὐκ ἂν, εἶπεν, ὀβολοῦ τὸν ὠνοῦμαι; ὑπισχνουμένου δὲ, Τοσοῦτον, ἔφη, ἐμοὶ δοκοῦσιν αἱ πεντήκοντα δραχμαί. Διονυσίου δέ ποτε, τελῶν ἑταιρῶν ὑσῶν, μίαν ἐκλεξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών, Οὐδεὶ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι. ἀπαγαγὼν μέντοι, φασὶν, αὐτὰς ἄκρις τὸ θυρῶνος, ἀπέλυσεν. ἔπος ἐὼν ἡδὺ ἐλέσθαι καὶ καταφρονῆσαι πολύ. διόπερ Σφάτωνα, οἱ δὲ Πλάτωνα, πρὸς αὐτὸν εἰπεῖν, Σοὶ μόνῳ δέδοται καὶ χλανίδα φορεῖν καὶ ῥᾴκος. Διονυσίου δὲ προπτύσαντος αὐτῷ ἐπέσχετο. μεμψαμένου δέ τινος, εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι ῥάμματι ῥαντισθῆναι, ἵνα βλαβὸν λάβω;

Παρόντα ποτὲ αὐτὸν λάχανα πλυνῶν Διογένης ἔσκωψε, καί φησιν, Εἰ ταῦτα ἐμάθες προσφέρεσθαι, οὐκ ἂν τυράννου αὐλαῖς ἐθεράπευες. ὁ δὲ, Καὶ σὺ, εἶπεν, εἴπερ ἤδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες. ἐρωτηθεὶς τί αὐτῷ προσγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι πᾶσι θαῤῥούντως ὁμιλεῖν. ἀνειδιζόμενός ποτ' ὅτι τῷ πολυτελῶς ζῆν, Εἰ τοῦτ', ἔφη, φαῦλόν ἐστιν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο. ἐρωτηθείς ποτε τί πλέον ἔχουσιν οἱ φιλόσοφοι; ἔφη, Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν. ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διὰ τί οἱ μὲν φιλόσοφοι ὀπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ὀπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν

δέονται, οἱ δὲ οὐκ ἴσασιν. ὀνειδιζόμενός ποτ' ὑπὸ τῶν πολυτελῶς ζῆν ὑπὸ Πλάτωνος, ἔφη, Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; τὸν δ' ὁμολογήσαντος; Καὶ μήν, ἔφη, ζῶ ἐμὲ πολυτελέστερον. ὡς οὐδὲν κωλύει καὶ πολυτελῶς καλῶς ζῆν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη, Ὥσπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων. εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν συνόντων μειρακίων τινὸς ἐρυθριάσαντος, Οὐ τὸ εἰσελθεῖν, ἔφη, χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν. αἰνιγμάτινος αὐτῷ προτείναντος, καὶ εἰπόντος Λῦσον, Τί, ὦ μάταιε, ἔφη, λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει; ἄμεινον ἔφη ἐπαίτιον ἢ ἀπαίδευτον εἶναι· οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται. λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος, Τί φεύγεις; Ὅτι, φησί, τὸν μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις· τὸ δὲ μὴ ἀκούειν, ἐγώ. εἰπόντος τινὸς ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι ἐπὶ ταῖς τῶν πλουσίων θύραις, Καὶ γὰρ οἱ ἰατροί, φησί, πρὸς ταῖς τῶν νοσούντων· ἀλλ' ὅμως τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν. εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη παραχθῆναι. πρὸς ὃν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε· Οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκαστοι. συμπνεομένων τινὸς ὅτι πολυμαθίᾳ, ἔφη, Ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλά, ἀλλ' οἱ χρήσιμα καὶ ἀναγινώσκοντες, εἰσὶ πεπαιδευμένοι. πρὸς τὸν ὑπὲρ αὐτοῦ λογοποιόν φησιν εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτὸν, τί σε ὤνησε Σωκράτης; ἔφη, Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι. τὰ ἄρτια ὑπετί-

θε-

θετο τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τῶν πλείονος εἶναι. ἐρωτηθεὶς ὑπό τινος τί αὐτῇ ὁ υἱὸς ἀμείνων ἔσαι παιδευθείς; Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γὰρ τῷ θεάτρῳ ἀναθεήσεται λίθος ὅτι λίθῳ. σωισαμένου τινὸς αὐτῷ υἱὸν, ἤτησε πεντακοσίας δραχμάς· τῶν δ' εἰπόντος, Τοσούτων δύναμαι ἀνδράποδον ὠνήσασθαι· Πεινῶ, ἔφη, κἀγὼ ἔξεις δύο. ἀργύριον εἶπε φησὶ τὴν γνωρίμων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῆται, ἀλλ' ἵνα ἐκεῖνοι εἰδῶσιν εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. ἀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων, ἐμισθώσατο ῥήτορα· Καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι. ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὴ παρ' ἐμοῦ πωθήσῃ· τὸ δὲ, πότε δεῖ λέγειν σύ με διδάσκεις· ὅτε τύραννον δὲ ἀγανακτήσαντα τὸν Διονύσιον, ἔχαιρον αὐτὸν κατακλῖναι· καὶ τὸν, Εὐδοξότερον, φάναι, τὸν τόπον ἠθέλησας ποιῆσαι. αὐχοῦντος τινὸς ὅτι τῷ κολυμβᾷν, Οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος; ἐρωτηθείς ποτε τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ; ἔφη, Εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀποστείλαντα, καὶ εἰπεῖν. αὐχοῦντος τινὸς ὅτι τῷ πολλὰ πίνειν, καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ὑμίονος, φησί. πρὸς τὸν αἰτιώμενον ὅτι ἑταίρᾳ συνοικεῖ, Ἄρα γε, εἶπεν, μήτι δυνέσεται οἰκίαν λαβεῖν ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ μηδείς; εἰπόντος δὲ, ὅ. Τί δὲ, πλεῦσαι ἐν νηΐ, ἣ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ μηδὲ εἷς; Οὐδαμῶς. Οὐδ' ἄρα γυναικὶ, ἔφη, συνεῖναι ἣ πολλοὶ κέχρηνται, ἢ μηδείς. πρὸς τὸν αἰτιώμενον ὅτι Σωκράτης μαθητὴς ὢν ἀργύριον λαμβάνει, Καὶ μάλα, εἶπε· καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινῶν καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν· εἶχε γὰρ πλείους τοὺς φρώτας Ἀθηναίων· ἐγὼ δὲ

δὲ Εὐτυχίδῃ ἀργυρώνητον. ἐχήτη δὲ Λαΐδι τῇ ἑταίρᾳ, καθάφησι δὲ Σωτίων ἐν δευτέρᾳ τῆς διαδοχῶν. πρὸς ἣν τὰς μεμφομένας ἔφη, Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι· ἐπεὶ τὸ κρατεῖν δὲ μὴ ἥττασθαι ἡδονῶν, ἄριστον, τὸ δὲ μὴ χρῆσθαι. πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν, ἔφη, Σὺ δ' οὐκ ἂν τριωβόλου ταῦτ' ἐπρίω; ὁμολογήσαντος δὲ, Οὐκέτι, πίνων, ἔφη, φιλήδονος ἐγὼ, ἀλλὰ σὺ φιλάργυρος. Σίμωνι ποτὲ τῷ Διονυσίου ταμίᾳ πολυτελεῖς οἴκους αὐτῷ δειχνύοντος (δι' ὧν δὲ Φρύξ δὲ καὶ ὄλεθρος) ἀναχρεμψάμενος, προσέπτυσε τῇ ὄψει. τοῦ δ' ἀγανακτήσαντος, Οὐκ εἶχον, εἶπε, τόπον ἀπτυστότερον. πρὸς Χαρώνδαν εἰπόντα (οἱ δὲ, πρὸς Φαίδωνα) Τίς ὁ μεμυημένος; Ἐγὼ, φησὶν, ὁ κακοδαίμων, κἀμὲ κακοδαιμονέστερος ὁ Περσῶν βασιλεύς. ἀλλ' ἔρα μὴ ὡς ἄδοξα τῶν ἄλλων ζώων ᾠδὰ τοῦτο τὶ ἐλαττῆται, ὅπως δ' ἂν ἄνθρωπος. κακοὶ κακῶς δ' ἀπόλοιντο οἱ κίναιδοι, οἵτινες καλὸν ἡμῶν ἄλειμμα διαβάλλουσιν. ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης; ἔφη, Ὡς ἂν ἐγὼ δύξαίμην. Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν, καὶ θαυμάσαντος γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπών, Δύνασαι, ἔφη, καὶ σὺ μεθ' ἡμῶν σήμερον δειπνεῖσθαι; τοῦ δ' ὑπνώσαντος, Τί δὲ, ἔφη, ἐμέμφου; ἔοικας γὰρ οὐ τιμὴν ὀψωνίαν ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι. τοῦ θεράποντος ἐν ὁδῷ βασάζοντος ἀργύριον, καὶ βαρυνομένου (ὥς φασιν οἱ περὶ τὸν Βίωνα ἐν ταῖς διατριβαῖς) Ἀπόχεε, ἔφη, τὸ πλέον, καὶ ὅσον δύνασαι βάσαζε. πλέων ποτὲ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικὸν, λαβὼν τὸ χρυσίον ἐνέβαλε· ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων παρακατέβαλε, καὶ δῆθεν ἀνώμωξεν. οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτὸν, Ὡς ἄμεινον ταῦτα ὑπ' Ἀλεξίππου, ἢ διὰ ταῦ-

ταῦτα Ἀρίστιππον ἀπολέσθαι. Διονυσίῳ ποτὲ ἐρομένῳ ἐπὶ τί ἥκοι; ἔφη ἐπὶ τῇ μεταδόσει ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. σὺ δ' ὅπως ἀποκείναθαι, Ὁπότε μὲν σοφίας ἐδέομεν, ἦκον πρὸς τὸν Σωκράτη· νυνὶ δὲ χρημάτων δέομαι πρὸς σὲ ἥκω. κατεγίνωσκε τῆς ἀνθρώπων ὡς τὰ σκόλια μὲν ἐν ταῖς ἀγοραίαις σκοπούντων, τὰς δὲ βίας εἰκῇ δοκιμαζόντων· οἱ δέ, τοῦτο Διογένης φασί. καί ποτε πρὸς πότον κελεύσαντος Διονυσίου, ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν Πλάτωνα μὴ προσέσθαι, εἰπόντα·

Οὐκ ἂν δυναίμην ἐσθῆτι ἐνδῦναι γελοίῳ.

τὸν δ' Ἀρίστιππον λαβόντα, καὶ μέλλοντα ὀρχήσασθαι, εὐσχόλως εἰπεῖν,

- - - - καὶ γὰρ ἐν βακχεύμασιν
Οὐσ' ἥγε σώφρων ἁ θεὸς διαφθαρήσεται.

δέομαι ποτὲ πρὸς φίλον Διονυσίου, καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτῷ ἔπεσε. πρὸς ὃν τὸν ὑποσκώψαντα, Οὐκ ἐγώ, φησίν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων. διατείβων ἐν Ἀσίᾳ, καὶ λιφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα, Καὶ ὧδε θαρρεῖς; Πότε γάρ, εἶπεν, ὦ μάταιε, θαρρήσαιμι ἂν μᾶλλον ἢ νυνί, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι; τὸν τὴν ἐγκυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας, ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πηνελόπης μνηστῆρσι. καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν διώσασθαι γήμαι. τὸ δ' ὅμοιον καὶ Ἀρίστων. τὸν γὰρ Ὀδυσσέα, καταβαίνοντα εἰς ᾅδου, τοὺς μὲν νεκροὺς πάντας χαδὸν ἑωρακέναι καὶ συμπεπυγκέναι

κεύαι, τὰ δὲ βασίλεια αὐτὰ μὴ πεθιᾶθαι. ὁ δ' ἦν Ἀρίσιππος ἐρωτηθεὶς, τίνα ἐστὶν ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν; ἔφη, Οἷς ἄνδρες γενόμενοι χρήσονται. πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ὁπὸ Σωκράτης πρὸς Διονύσιον ἔλθοι, Ἀλλὰ πρὸς Σωκράτη, εἶπεν, ἦλθον, παιδείας δεόμενος· πρὸς δὲ Διονύσιον, παιδιᾶς. ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης, Πόθεν σοι τοσαῦτα; κἀ ὅς, Ὅθεν σοι τὰ ὀλίγα. ἑτέρας εἰπόντος πρὸς αὐτὸν, Ἐκ σοῦ κύω, Οὐ μᾶλλον, ἔφη, γινώσκεις, ἢ εἰ δι' ὁλοχοίνων ἴσασι ἔφασκεν ὑπὸ τοῦδε κεκυπῶθαι. ἠτιάσατό τις αὐτὸν τὸν υἱὸν ὀπορρίπτοντα, ὥσπερ καὶ ἐξ αὐτοῦ γεγονότα· κἀ ὅς, Καὶ τὸ φλέγμα, φησὶ, κἀ τὰς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεννωμένας, ἀλλ' ἀχρεῖα ὄντα ὡς ποῤῥωτάτω ῥίπτομεν. ἐκδεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, Ἐγὼ μὲν γὰρ, εἶπεν, ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ὠνητής. πρὸς τὸν εἰπόντα, τίνος ἕνεκα ἐλέγχεται παρὰ Διονυσίου; Οὐ ἕνεκα, φησὶν, οἱ ἄλλοι ἐλέγχουσιν. ὑπὲρ Διονυσίου ἀργύριον· κἀ ὅς, Ἀλλὰ μὴν ἔφης οὐκ ὀπορήσειν τὸν σοφόν· ὁ δ' ὑπολαβὼν, Δός, εἶπε, καὶ παρὰ τούτου ζητῶμεν. δόντος δὲ, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρησα. εἰπόντος πρὸς αὐτὸν Διονυσίου,

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
Κείνου ἐστὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

Ὑπολαβών,

Οὐκ ἔστι δοῦλος, ὃν ἐλεύθερος μόλῃ.

τοῦτο Διοκλῆς φησιν ἐν τῷ περὶ βίων φιλοσόφων. ἄλλοι γὰρ εἰς Πλάτωνα ἀναφέρουσιν. ὀργισθεὶς πρὸς Ἀρίστιππον,

μετὰ

μετ' ὀ πολύ, Οὐ δμλαχθησόμεθα; ὀ παυσόμεθα, εἶπε, λυρῦντες; ἀλλ' ἀνημμεῖς ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος φλυάρων δμλάξῃ; ἢ ὃς, Ἀσμῴως, ἔφη· Μιμνόνδε τοίνυν, εἶπεν ὁ Ἀρίστιππος, ὅτι σοι πρότερος, πρεσβύτερος ὢν, προσῆλθον. ἢ ὁ Αἰσχίνης, Εὖγε, νὴ τὴν Ἥραν, ὀλόγως εἶπας· ἐπεὶ πολλῷ μὲ βελτίων ὑπάρχεις. ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις. ἢ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται.

Γεγόνατι δ' Ἀρίστιπποι τέσσαρες. ΦΙΛΟΣΟΦΟΙ δέ τε ὁ λόγος. ἢ δεύτερος, ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς· τέλπτης, ὁ μηδοδίδακτος, θυγατριδοῦς τοῦ πρώτου· τέταρτος, ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας.

Τοῦ δὲ Κυρηναϊκοῦ φιλοσόφου φέρεται βιβλία, περὶ μὲν ἀρετῆς τῇ θυγατρὶ Λιβύλλῃ, ἀπεσταλμένα Διονυσίῳ. ἓν δὲ, ἐν ᾧ διάλογοι πέντε ἢ εἴκοσιν· οἱ μὲν Ἀθηναΐδι, οἱ δὲ Δωρίδι διαλέκτῳ γεγραμμένοι οἵδε· Ἀρπάβαζος. Πρὸς τὸν ναυαγόν. Πρὸς τὸν φυγάδας. Πρὸς πτωχόν. Πρὸς Λαΐδα. Πρὸς Πῶρον. Πρὸς Λαΐδα περὶ τοῦ κατόπτρου. Ἑρμείας. Εὐθύπιον. Πρὸς τὸν ἐπὶ τῆς κύλικος. Φιλόμηλος. Πρὸς τὸν οἰκείους. Πρὸς τοὺς ὀπτιμῶντας, ὅτι κέκτηται οἶνον παλαιὸν ἢ ἑταίρας. Πρὸς τοὺς ὀπτιμῶντας ὅτι πολυτελῶς ὀψωνεῖ. Ἐπιστολὴ πρὸς Ἀρήτην τὴν θυγατέρα. Πρὸς τὸν εἰς Ὀλυμπίαν γυμνάζοντα ἑαυτόν. Ἐρώτησις, Ἄλλη ἐρώτησις· Χρεία πρὸς Διονύσιον, Ἄλλη ἐπὶ τῆς εἰκόνος, Ἄλλη ὅτι τῆς Διονυσίου θυγατρός· Πρὸς τὸν οἰόμενον ἀτιμάζεσθαι. Πρὸς τὸν συμβουλεύειν ὁπιχειροῦντα. οἱ μὲν οὖν ἀπὸ τριῶν αὐτὸν φασιν ἐξ γεγραφέναι, οἱ δ', ἐν ὅλως γράψαι. ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος. καὶ δὲ Σωτίων ἐν δευτέρῳ, καὶ Πανταίτιον, ἔστιν αὐτῷ συγγράμματα τάδε. Περὶ παιδείας, Περὶ ἀρετῆς, Προτρεπτικὸς, Ἀρπάβαζος, Ναυαγοί,

γοὶ, Φυγάδες, Διαξιβῶν ἓξ, Χρειῶν ξία, Πρὸς Λαΐδα, Πρὸς Πῶρον, Πρὸς Σωκράτιον, Περὶ τύχης. τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.

Ἡμεῖς δ' ἐπειδὴ τὸν βίον ἀνεγράψαμεν αὐτῶν, φέρε καὶ διέλθωμεν τοὺς ἀπ' αὐτῶν Κυρηναϊκούς, οἵτινες ἑαυτοὺς, οἱ μὲν Ἡγησιακούς, οἱ δὲ Ἀννικερείους, οἱ δὲ Θεοδωρείους, προσωνόμαζον. ὁ μὲν οὖν ἀπὸ τῆς ἀπὸ Φαίδωνος, ὧν τῆς κορυφαιοτάτης Ἐρετρικῆς ἔχειν ἔπος. Ἀρίστιππος διήκουσεν ὁ θυγάτηρ Ἀρήτης, ἧς Αἰθίοψ Πτολεμαεύς, ἧς Ἀντίπατρος Κυρηναῖος. Ἀρήτης δὲ Ἀριστίππου ὁ μητροδίδακτος ὀνομασθείς, ἧς Θεόδωρος ὁ ἄθεος, εἶτα θεός. Ἀντιπάτρου δ' Ἐπιτιμήδης Κυρηναῖος, ἧς Παραιβάτης, ἧς Ἡγησίας ὁ Πεισιθανάτου, ἧς Ἀννικέρης, ὁ Πλάτωνα λυπωσάμενος.

Οἱ μὲν οὖν ἐν ὅπῃ τῆς ἀγωγῆς τῆς Ἀριστίππου μείναντες, καὶ Κυρηναϊκοὶ προσαγορευθέντες, δόξαις ἐχρῶντο τοιαύταις· δύο πάθη ὑφίσαντο, πόνον καὶ ἡδονήν. τὴν μὲν λείαν κίνησιν, τὴν ἡδονήν· τὸν δὲ πόνον, τραχεῖαν κίνησιν. μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἡδεῖόν τι εἶναι· καὶ τὴν μὲν, δι' δοκητὴν πᾶσι ζώοις· τὸν δ', ἀποκρυσικόν. ἡδονὴν μέν τοι τὴν τε σώματος, καὶ τέλος εἶναι, (καθάφησι καὶ Παναίτιος ἐν τῷ περὶ τῶν αἱρέσεων) ἥ τὴν κατασηματικὴν ἡδονὴν, τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ οἷον ἀοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναι φασί. δοκεῖ δ' αὐτοῖς καὶ τέλος διαφέρειν εὐδαιμονίας. τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν· εὐδαιμονίαν δὲ, τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχημέναι, καὶ αἱ μέλλουσαι. εἶναί τε τὴν μερικὴν ἡδονὴν, δι' αὐτὴν αἱρετήν. τὴν δ' εὐδαιμονίαν, οὐ δι' αὐτὴν,

ἀλ-

ἀλλὰ δηλ τὰς καὶ μέρος ἡδονάς. πίσιν δ' εἶναι τὸ τέλος εἶναι τὴν ἡδονὴν, τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων οἰκειοῦσθαι πρὸς αὐτὴν, καὶ τυχόντας αὐτῆς μηδὲν ὀπιζητεῖν· μηδέ τε ἕπου φεύγειν, ὡς τὴν ἐναντίαν αὐτῇ ἀλυπηδόνα. εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν, κἂν ἀπὸ τῶν αἰσχιστοπάντων ᾖσιν, καθάφησιν Ἱππόβοτος ἐν τῷ περὶ τῶν αἱρέσεων. εἰ δὲ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' ἂν ἡ ἡδονὴ δι' αὐτὴν αἱρετὴ καὶ ἀγαθόν· ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή· οὐδὲ ἡ ἀηδονία ἀλυπηδών. ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ ὄσης τῆς ὀδυνίας ἢ τῆς ἀηδονίας κινήσεως· ἐπεὶ ἡ ὀδυνία, οἱονεὶ καθ' ἡδονὴν ὅτι κατάστασις. δυνάσθαι δὲ φασι καὶ τὴν ἡδονὴν τινὰς μὴ αἱρεῖσθαι καὶ βλαστρόν. ὃ πάσας μὲν τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλυπηδόνας ὅτι σωματικαῖς ἡδοναῖς καὶ ἀλυπηδόσι γίνεσθαι. καὶ γὰρ ὅτι φιλῇ τὴν τῆς πατρίδος δημοσίᾳ, ὑπὲρ τῆς ἰδίᾳ, χάριν ἐγγίνεσθαι. ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν, ἢ προσδοκίαν, ἡδονὴν φασὶν ὑποπελεῖσθαι· ὅπερ ἤρεσκεν Ἐπικούρῳ. ἐκλύεται γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. λέγουσι δὲ μηδὲ καὶ φιλίαν τινὰ ὄρασιν, ἢ τινὰ ἀκοὴν, γίνεσθαι ἡδονάς. τῷ γὰρ μιμημάτων θρήνους ἡδέως ἀκούομεν· τῷ δὲ καὶ ἀληθείαν, οὐχ ἥδως. μέσας τε καταστάσεις ὠνόμαζον ἀηδονίαν καὶ ὀδυνίαν. πολὺ μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. ἔδει καὶ ταύταις κολάζεσθαι μᾶλλον τοὺς ἁμαρτάνοντας. χαλεπώτερον γὰρ τὸ πονεῖν, οἰκειότερον δὲ τὸ ἥδεσθαι ὑπολαμβάνον. εἔδει καὶ πλείονα οἰκονομίαν περὶ θάτερον ἐποιοῦντο. διὸ καὶ κατὰ ταύτην αἱρετὴς ὄσης τῆς ἡδονῆς, τὰ ποιητικὰ ἐνίων ἡδονῶν ὀχληρὰ πολλάκις ἐναντιοῦσθαι· ὡς δυσκολώτατον αὐτῆς φαίνεσθαι τὸν ἀ-

θροι-

θροισμὸν τῆῦ ἡδονῶν, εὐδαιμονίαν ποιοῦντα. ἀρέσκει δ' αὐτοῖς, μήτε τὸν σοφὸν παύτα ἡδέως ζῆν, μήτε παύτα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ κῆ τὸ πλεῖσον. ἀρκεῖ δὲ κᾆν κατὰ μίαν τις φρονήσιν ἁπταισε ἡδέως ἐπανάγη. τὴν φρόνησιν ἀγαθὸν μὴ εἶναι λέγουσιν, ὑ δι' ἑαυτὴν δὲ αἱρετὴν, ἀλλὰ διᾶ τὶ ἐξ αὐτῆς ἀπεργινόμενα. τὸν φίλον τῆς χρείας εἵνεκα. καὶ γὰρ μέρος σώματος μέχρις αὖ παρῇ, ἀσπάζεσθαι. τῆῦ ἀρετῶν εὐίας καὶ περὶ τὰς ἄφρονας σωίσασθαι. τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐραθήσεσθαι, ἢ δεισιδαιμονήσειν· γίνεσθαι δὲ παῦτα διᾶ κενὴν δόξαν. λυπήσεσθαι μενοῦπι κῆ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. κῆ τὸν πλεῖστον δὲ, ποιητικὸν ἡδονῆς εἶναι, ὑ δι' αὐτὸν αἱρετόν. πάθη τε πάθη, καταληπτά. ἔλεγον δ' ἂν αὐτὰ, ἐκ ἀφ' ὧν γίνεται. ἀφίσαντο δὲ κῆ τῆῦ φυσικῶν, διᾶ τὴν ἐμφαινομένην ἀκατάληψίαν· τῆῦ δὲ λογικῶν, διᾶ τὴν ἀχρησίαν, ἤπουτο. Μελέαγρος δὲ ἐν τῷ δευτέρῳ περὶ δοξῶν, κῆ Κλειτόμαχος ἐν τῷ πρώτῳ περὶ τῆῦ αἱρέσεως, φασὶν αὐτὰς ἄχρηστα ἡγεῖσθαι τότε φυσικὸν μέρος κῆ τὸ διαλεκτικόν. δυνασθαι γὰρ καὶ εὖ λέγειν, κῆ δεισιδαιμονίας ἐκτὸς εἶναι, καὶ τὸν περὶ θανάτου φόβον ἐκφεύγειν, τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον ἐκμεμαθηκότα. μηδὲν τε εἶναι φύσει δίκαιον, ἢ καλὸν, ἢ αἰσχρόν· ἀλλὰ νόμῳ κῆ ἔθει· ὁ μῦτοι σπουδαῖος ὧδε ἄτοπον πράξει διᾶ τὰς ἐπικειμένας ζημίας κῆ δόξας. εἶναι δὲ τὸν σοφὸν, προκοπήν τε ἀπολείποντα κῆ ἐν φιλοσοφίᾳ, κῆ ἐν τοῖς ἄλλοις. φασὶ δὲ κῆ λυπεῖσθαι ἄλλον ἄλλα μᾶλλον. κῆ τὰς αἰσθήσεις μὴ πάντοτε ἀληθεύειν.

Οἱ δὲ Ηγησιακοὶ λεγόμενοι σκοπὸς μὲν ἔιχον τὸν αὐτὸν, ἡδονὴν κῆ πόνον. μήτε δὲ χαρὰν τὶ εἶναι, μή-

τε

τε φιλίαν, μήτε διέργεσίαν· διὰ τὸ μὴ δι' αὐτὰ ταῦτα αἱρεῖσθαι ἡμᾶς αὐτά, ἀλλὰ διὰ τὰς χρείας αὐτὰς, ὧν δίχα μηδ' ἐκεῖνα ὑπάρχειν. τὴν δ' εὐδαιμονίαν ὅλως ἀδιάφορον εἶναι. τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι, καὶ παράττεσθαι· τὴν δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν. ὥστε διὰ ταῦτα ἀύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. τήν τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. φύσει τε ἀγαθὸν ἡδονὴν καὶ τὰς ἀιδεῖς ὑπελάμβανον. διὰ δὲ ταύτην ἢ ξυνισμὸν ἢ κόρον, τὰς μὲν αἱρεῖσθαι, τὰς δ' ἀιδῶς ἔχειν. πενίαν καὶ πλοῦτον, πρὸς ἡδονῆς λόγον, εἶναι εὐδεΐ· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. ἐλευθερίαν δὲ πᾶσιν ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ δημοκρατίαν δυσκρατίᾳ, καὶ δόξαν ἀδοξίᾳ. καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι· τῷ δὲ φρονίμῳ, ἀδιάφορον. τόν τε σοφὸν ἑαυτῷ ἕνεκα πάντα πράξειν· εὐδαίμονα γὰρ ἡγεῖσθαι τῷ ἄλλων κτῆσιν ἄξιον αὐτῷ. κἂν γὰρ τὰ μέγιστα δοκῇ παρ' αὐτῶν καρπώσθαι, μὴ εἶναι ἀναξίαν ὧν αὐτὸς παρίσχει. αὐτάρκη δὲ καὶ τὰς αἰσθήσεις ἐκ ἀχειβάσας τῶν κτήσιν, τῷ τ' ὁλόγως φαινομένων πάντα πράττειν. ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν· ἐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλάτινι πάθει πιεζόμενον. καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. τόν τε σοφὸν ἐκ ἔτι πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἂν τῇ τῶν κακῶν φυγῇ. τέλος τιθέμενον τὸ μὴ κτήσονως ζῆν, μηδὲ λυπηρῶς. ὁ δὴ συμβαίνεσθαι τοῖς ἀδιαφορήσασι περὶ τὰ ποιητικὰ τῆς ἡδονῆς.

Οἱ δ' Ἀννικέρειοι, τὰ μὲν ἄλλα, καὶ ταυτὰ τούτοις. ἀπέλιπον δὲ καὶ φιλίαν ἐν βίῳ, καὶ χάριν, καὶ πρὸς γονέας τιμὴν, καὶ ὑπὲρ πατρίδος τι πράξειν. ὅθεν δὴ

ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται ὁ σοφὸς, ὅδεν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα παρῃρῆται αὐτῷ. τιθῶ τε τὸ φίλε εὐδαιμονίαν δι' αὐτὸν μὴ εἶναι αἱρετὸν· μηδὲ γὰρ αἰθητὸν τῷ πέλας ὑπάρχειν. μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι, κ) τῆς τῶν πολλῶν δόξης ὑπεράνω γενέσθαι· δεῖν δὲ ἀνεθίζεσθαι, κ) τὸν ἐκ πολλῦ σωφρονισθέντα ἡμῖν φαύλως διάθεσιν. τόν τε φίλον μὴ κ) τὰς χρείας μόνον ὑποδέχεσθαι, ὧν ὑστερησάντων μὴ ὑπερφρονεῖσθαι· ἀλλὰ κ) παρὰ τὸν γεγονέναι εὔνοιαν, ἧς ἕνεκα κ) πόνες ὑπομένειν, καί τι τιθέμενον ἡδονῆς τέλος. κ) ἀχθόμενον ὅτι τῷ σπείρεσθαι αὐτῆς, ὅμως ἑκουσίως ὑπομένειν κ) τὸν παρὸς τὸν φίλον ζῆλον.

Οἱ δὲ Θεοδώρειοι κληθέντες τὸν μὲν ὀνομασίαν ἔπαυσαν ἀπὸ Θεοδώρε τε προγεγραμμένε, κ) δόγμασιν ἐχρήσαντο τοῖς αὐτε.

Ἦν δὲ ὁ Θεόδωρος παντάπασιν ἀναιρῶν τὰς περὶ θεῶν δόξας· κ) αὐτὸ τοῦτο μετύχομεν βιβλίῳ ἐπιγεγραμμένῳ Περὶ θεῶν, ἐν ᾧ καταφρονήτῳ· ἐξ ὧν φασὶν Ἐπίκουρον τὰ πλεῖστα λαβόντα εἰπεῖν. ἦσαν δὲ κ) Ἀννικέριδος ὁ Θεόδωρος, κ) Διονυσίε τε διαλεκτικε, καθάφησιν Ἀντισθένης ἐν φιλοσόφων διαδοχαῖς.

Τέλος δ' ὑπελάμβανε χαρὰν κ) λύπην· τὴν μὲν, ὅτι φρονήσει· τὴν δὲ, ὅτι ἀφροσύνῃ. ἀγαθὰ δὲ, φρόνησιν κ) δικαιοσύνην· κακὰ δὲ, τὰς ἐναντίας ἕξεις· μέσα δὲ, ἡδονὴν κ) πόνον· αἱρεῖ δὲ κ) φιλίαν, κ) τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτ' ἐν σοφοῖς. τοῖς μὲν γὰρ, τῆς χρείας ἀναιρεθείσης, κ) τὴν φιλίαν ἐκπεσόν εἶναι· τὰς δὲ σοφὰς, αὐτάρκεις ὑπάρχοντας, μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ κ) εὔλογον εἶναι, τὸν σπουδαῖον μὴ ἐξαγαγεῖν ὑπὲρ τῆς παρῤῥησίας ἑαυτόν· ἐ γὰρ ἀποβαλεῖν τὴν φρόνησιν συν-

ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας. εἶναί τε παῖδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ. μηδὲν γὰρ εἶναι τῶν αἰσχρῶν φύσει, τῇ ἐπ' αὐτοῖς δόξῃ αἱρουμένης, ἢ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. φανερῶς δὲ τοῖς ἐρωμένοις ἅπασι ὑφοράσεως χρήσεσθαι τὸν σοφόν. διὸ καὶ τοιούτους λόγους ἠρώτα, Ἆρά γε γυνὴ γραμματικὴ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματική ἐστι; ναί. καὶ παῖς καὶ νεανίσκος χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματικός ἐστι; ναί. ἀκὴν καὶ γυνὴ καλή, χρήσιμη ἂν εἴη παρ' ὅσον καλή ἐστι. καὶ παῖς καὶ νεανίσκος καλός, χρήσιμος ἂν εἴη παρ' ὅσον καλός ἐστι; ναί. καὶ παῖς ἄρα καὶ νεανίσκος καλός, πρὸς τοῦτ' ἂν εἴη χρήσιμος πρὸς ὃ καλός ἐστι; ναί. ἔστι δὲ χρήσιμος πρὸς τὸ πλησιάζειν. ὧν διδομένων, ἐπῆγε, Οὐκοῦν εἴτις πλησιασμῷ χρῷτο παρ' ὅσον χρήσιμός ἐστιν, ἁμαρτάνει. ἁμαρτάνει δ' εἰ ἄρα κάμηλει χρήσαιτο, παρ' ὅσον χρήσιμόν ἐστι, ἁμαρτήσεται. τοιαῦτα ἄττα διερωτῶν ἔσχε τῷ λόγῳ.

Δοκεῖ δὲ Θεὸς κληθῆναι, Στίλπωνος αὐτὸν ἐρωτήσαντος ὅπως, Ἆρά γε, Θεόδωρε, ὃ εἶναι φῂς, τοῦτο καὶ εἶ; θαυμάσαντος δὲ, Φῂς δ' εἶναι θεός; τὸ δ' ὁμολογήσαντος, Θεὸς εἶ ἄρα, ἔφη. δεξαμένου δὲ ἀσμένως, γελάσας φησὶν, Ἀλλ', ὦ μοχθηρὲ, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσειας εἶναι, καὶ ἄλλα μυρία. ὁ δ' οὖν Θεόδωρος προσκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, Λέγε μοι, ἔφη, Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια; εἰπόντος δ' ἐκείνου, Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, Ἀσεβεῖς ἄρα, ἔφη, καὶ σὺ, τοῖς ἀμυήτοις δηγούμενος.

Καὶ μὴν παρ' ὀλίγον ἐκινδύνευσεν εἰς Ἄρειον ἀναχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρ-

βύσατο. Ἀμφικράτης δὲ ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν, φησὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα.

Διαξίβιον δὲ τὸν Πτολεμαίῳ τῷ Λάγου, ἀπεσάλη ποθ' ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβεύσας. ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, Λέγεμοι, Θεόδωρε, ἃ σὺ ὁ ἐκπεσὼν Ἀθήνηθεν; καὶ ὃς, Ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις ἃ δυναμένη μὲ φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε. πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι, Οὐκ ἄν, ἔφη, ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ. Μύθου δὲ τοῦ διοικητοῦ τοῦ Λυσιμάχου παρεσῶντος καὶ εἰπόντος, Ἔοικας σὺ μὴ μόνον Θεοὺς ἀγνοεῖν ἀλλὰ καὶ βασιλέας, Πῶς, εἶπεν, ἀγνοῶ, ὅπου γε καί σε θεοὺς ἐχθρὸν ὄντα νομίζω;

Φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν, συχνὰς ἐπαγόμενον μαθητὰς, Μηξοκλέα δὲ τὸν κυνικὸν σκαιδικὰς πλωΐοντα εἰπεῖν, Σὺ ὁ σοφιστὴς οὐκ ἂν ποσόντων ἐχρῆζες μαθητῶν, εἰ λάχανα ἔπλωες. τὸν δὲ ὑπολαβόντα εἰπεῖν, Καὶ σὺ εἴπερ τοῖς ἀνθρώποις ἤδεις ὁμιλεῖν, οὐκ ἂν τέτοις λαχάνοις ἐχρῶ. τὸ ὅμοιον ἀναφέρεται (καθάπερ προείρηται) εἰς τε Διογένη καὶ Ἀρίστιππον.

Τοιοῦτος μὲν ὁ Θεόδωρος καὶ τοιοῦτος. τελευταῖον δ' εἰς Κυρηνίων ἀπελθὼν, καὶ Μαρίῳ συμβιώς, ἐν πάσῃ τιμῇ διετέλει τυγχάνων, ἔνθεν τὸ πρῶτον ἐκβληθὲν μῦθος, λέγεται χάριεν τι εἰπεῖν· ἔφη γὰρ, Κακῶς ποιεῖτε, ἄνδρες Κυρηναῖοι, οὐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με ἐξορίζοντες.

Θεόδωροι δὲ γεγόνασιν εἴκοσι. πρῶτος, Σάμιος, υἱὸς Ῥοίκου. οὗτός ἐστιν ὁ συμβεβλῶσας ἄνθρακας ὑποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ νεώ. (καθύγρου γὰρ ὄντος

τος

τος τὴ τύπτω, τὸς ἀνθρακας ἐφη, τὸ ξυλῶδες ὑποβαλόντας, αὐτὸ τὸ σεσηρὸν ἀπαθὲς ἔχειν ὕδατι.) δεύτερος, Κυρηναῖος, γεωμέτρης, ὃν διήκουσε Πλάτων. τρίτος, ὁ προγεγραμμένος φιλόσοφος. τέταρτος, ὃν τὸ φωνάσιόν φέρεται βιβλίον πάμπολυ. πέμπτος, ὁ περὶ τῶν νομοποιῶν πεπραγματευμένος, ἀρξάμενος ἀπὸ Τερπάνδρου. ἕκτος, στωϊκός. ἕβδομος, ὁ τὰ περὶ Ῥωμαίων πεπραγματευμένος. ὄγδοος, Συρακούσιος, περὶ πακτικῶν γεγραφώς. ἔνατος, Βυζάντιος, ἀπὸ λόγων πολιτικῶν. δέκατος, ὁμοίως, ὃν Ἀριστοτέλης μνημονεύει ἐν τῇ ἐπιτομῇ τῶν ῥητόρων. ἑνδέκατος, Θηβαῖος, ἀνδριαντοποιός. δωδέκατος, ζωγράφος, ὃν μέμνηται Πολέμων. τρισκαιδέκατος, ζωγράφος, Ἀθηναῖος, ὑπὲρ οὗ γράφει Μιλτόδοτος. τεσσαρεσκαιδέκατος, Ἐφέσιος, ζωγράφος, ὃν μέμνηται Θεοφάνης, ἐν τῷ περὶ γραφικῆς. πεντεκαιδέκατος, ποιητὴς ἐπιγραμμάτων. ἑκκαιδέκατος, γεγραφὼς περὶ ποιητῶν. ἑπτακαιδέκατος, ἀξιόλογος, Ἀθηναῖος μαθητής. ὀκτωκαιδέκατος, Χῖος, φιλόσοφος Στωϊκός. ἐννεακαιδέκατος, Μιλήσιος, ᾧ αὐτὸς Στωϊκὸς φιλόσοφος. εἰκοστὸς, ποιητὴς ἐπαγωγίας.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΦΑΙΔΩΝ.

ΦΑίδων, Ἠλεῖος, τῷ δ' παξιδῶν, σωκράτει τῇ παξίδι, ᾧ ἰωάγκαθη ἐγίνατο ἐπ' οἰκήματος· ἀλλὰ τὸ θύριον προσιθεὶς μετεῖχε Σωκράτης, ἕως αὐτὸν λυτρώσασθαι τὸς περὶ Ἀλκιβιάδην ἢ Κείτωνα πρᾶξε-

φε. καὶ τὸν τρόπον ἐλευθερίως ἐφιλοσόφει. Γερώνυμος δ' ἐν τῷ περὶ ἐποχῆς καθαπτόμενος, δῆλον αὐτὸν ἐποίησε.

Διαλόγους δὲ συνέγραψε γνησίους μὲν, Ζώπυρον, Σίμωνα, καὶ διεζόμενον Νικίαν, Μήδιον (ὃν φασί τινες Αἰσχίνην, οἱ δὲ Πολυαίνην) Ἀντίμαχον, ἢ πρεσβύτας (καὶ οὗτος διέζεται) Σκυθικοὺς λόγους. καὶ τούτους τινὲς Αἰσχίνου φασί.

Διάδοχος δ' αὐτοῦ Πλείσταινος Ἠλεῖος· καὶ ἕτεροι ἀπ' αὐτοῦ οἱ περὶ Μενέδημον τὸν Ἐρετριέα, καὶ Ἀσκληπιάδην τὸν Φλιάσιον, μεταγόντες ἀπὸ Στίλπωνος. καὶ ἕως μὲν τούτων Ἠλειακοὶ προσηγορεύοντο· ἀπὸ δὲ Μενεδήμου, Ἐρετριακοί, περὶ ὧν λέξομεν ἐν ὑστέρῳ, διὰ τὸ καὶ αὐτὸν καπάρχειν αἱρέσεως.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

ΕΥΚΛΕΙΔΗΣ.

Εὐκλείδης ἀπὸ Μεγάρων τῆς πρὸς Γάμῳ, ἢ Γελῶος κατ' ἐνίους, ὡς φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς. ἕπος καὶ τὰ Παρμενίδεια μετεχειρίζετο, καὶ οἱ ἀπ' αὐτοῦ Μεγαρικοὶ προσηγορεύοντο, εἶτ' ἐριστικοί, ὕστερον δὲ διαλεκτικοί, ὃς ἔπος ὠνόμασε πρῶτος Διονύσιος ὁ Καρχηδόνιος, διὰ τὸ πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους διατίθεσθαι. πρὸς τοῦτον φησὶν ὁ Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα, καὶ τοὺς λοιποὺς φιλοσόφους, μετὰ τὸν Σωκράτους θάνατον, δείσαντας τὸν ὠμότητα τῶν τυράννων.

Οὗ-

Οὕτως οὖ τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεὸν, καὶ ἄλλοτε ἄλλα, καὶ τὰ λοιπά. τὰ δ' αὐτικείμενα τῷ ἀγαθῷ οὐκ ἤρει, μὴ εἶναι φάσκων. ταῖς τε ἀποδείξεσιν ἐνίσατο, οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπαγωγήν. καὶ τὸν διὰ τῶν ἐναντίων λόγον οὐκ ἤρει, λέγων ὅτι ἐξ ὁμοίων αὐτὸν, ἢ ἐξ ἀνομοίων συνίσασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον, ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν τὴν διάθεσιν. διὰ ταῦτα δὲ καὶ περὶ αὐτῆς ταῦτα φησι Τίμων, προαναπαίξωγων καὶ τὰς λοιπὰς Σωκρατικάς·

Ἀλλ' ἔμοιγ' ἄπτων φλεδόνων μέλει, οὐδὲ γὰρ ἄλλα
Οὐδενὸς, ἢ Φαίδωνος, ὅτις γε μάθ', ἢδ' ἐρετάσσεω
Εὐκλείδα, Μεγαρεῦσιν ὃς ἔμβαλε λύσαν ἐριστῶν.

Διαλόγους δὲ συνέγραψεν ἓξ, Λαμπρίαν, Αἰσχίνην, Φοίνικα, Κρίτωνα, Ἀλκιβιάδην, Ἐρωτικόν.

Τῆς δ' Εὐκλείδου διαδοχῆς ἦν καὶ Εὐβουλίδης ὁ Μιλήσιος ὃς καὶ πόλλὰς ἐν διαλεκτικῇ λόγους ἠρώτησε, τόν τε ψευδόμενον καὶ τὸν διαλανθάνοντα, καὶ Ἠλέκτραν, καὶ ἐγκεκαλυμμένον, καὶ σωρείτην, καὶ κερατίνην, καὶ φαλακρόν. περὶ τούτου φησί τις τῶν κωμικῶν,

Ὁ ὑβριστικὸς δ' Εὐβουλίδης κερατίνας ἐρωτᾷ,
Καὶ ψευδ' ἀλαζόσι λόγοις τὰς ῥήτορας κυλίων,
Ἀπηλθ' ἔχων Δημοσθένους τὴν ῥωβοσωμυλήθραν.

ἐῴκει γὰρ αὐτῷ καὶ Δημοσθένης ἀκηκοέναι, καὶ ῥωβικώτερος ὢν παύσασθαι. ὁ δὲ Εὐβουλίδης καὶ πρὸς Ἀριστοτέλην διεφέρετο, καὶ πολλὰ αὐτὸν διαβέβληκε.

Μεταξὺ δὲ ἄλλων ἄπτων τῆς Εὐβουλίδου διαδοχῆς Ἀλεξῖνος ἐγένετο Ἠλεῖος ἀνὴρ φιλονεικότατος· διὸ καὶ Ἐλεγξί-

λεξῖνος ἐπεκλήθη. διεφέρετο δὲ μάλιστα πρὸς Ζλεάνθην. φησὶ δ' Ἕρμιππος περὶ αὐτῦ, ὡς ἄρα ἀπελθὼν ἐκ τῆς Ἡλιδος εἰς Ὀλυμπίαν, αὐτόθι φιλοσοφοίη. τῦ δὲ μαθητῶν αὐτῦ πυνθανομένων διὰ τί τῆδε κατοικεῖ, φάναι βεληθῆναι αἵρεσιν συσήσασθαι, ἵν' Ὀλυμπιακὸν κληθῆναι. τὲς δὲ, ἢ τοῖς ἐφοδίοις θλιβομένες, καὶ τὸ χωρίον νοσερὸν καταγνόντας, ἀπελθεῖν, καὶ τὲ λοιπὲ διαξίβειν ἔρημον τὸν Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ. ἔπειτα μήτοι νηχόμενον ἐν τῷ Ἀλφειῷ ἰχθῦσι καλάμῳ, καὶ ἔτω τελευτῆσαι. καὶ ἔσιν εἰς αὐτὸν ἡμῶν ἔπος ἐχον,

Οὐκ ἄρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος,
Ὡς ἀτυχὴς τὶς ἐὼν τὸν πόδα κολυμβῶν περιέπειρέ πως
Ἥλφ. καὶ γὰρ ὁ σεμνὸς αἰὴρ, πρὶν Ἀλφεὸν
Περ' ἐπερᾶν, Ἀλεξῖνος θνήσκε ἰχθεὶς καλάμῳ.

γέγραφε δὲ ὁ μόνον πρὸς Ζλεάνθην, ἀλλὰ καὶ ἄλλα βιβλία, καὶ πρὸς Ἔφορον τὸν ἱσοριογράφον.

Εὐβυλίδης δὲ καὶ Εὔφαντος γέγονεν ὁ Ὀλυνθιος, ἱσορίας γεγραφὼς τὰς κατὰ τὲς χρόνες τὲς ἑαυτῦ. ἐποίησε δὲ καὶ ξαγῳδίας πλείας, ἐν αἷς δοκίμει καὶ τὲς ἀγῶνας. γέγονε δὲ καὶ Ἀντιγόνε τῦ βασιλέως διδάσκαλος, πρὸς ὃν καὶ λόγον γέγραφε Περὶ βασιλείας, σφόδρα δοκιμᾶντα. τὸν βίον δὲ γήρᾳ κατέρεψεν.

Εἰσὶ δὲ καὶ ἄλλοι ξαμηκόσιοι Εὐβυλίδαι, ἐν οἷς καὶ Ἀπολλώνιος ὁ Κρόνος.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

ΔΙΟΔΩΡΟΣ.

Διόδωρος, Ἀμεινίᾳ, Γασεὺς, καὶ αὐτὸς Κρόνος ὀπίκλιος; περὶ ἧς φησι Καλλίμαχος ἐν ἐπιγράμμασιν,

Αὐτὸς δὲ Μῶμος
Ἐγραφεν ἐν τοίχοις, Οὐ Κρόνος ὀξὺ σοφός.

Ἦν δὲ καὶ ἕτος διαλεκτικὸς, πρῶτος δόξας ἀρνήσασθαι τὸν ἐγκεκαλυμμένον καὶ κερατίνην λόγον, κατά τινας· ἕτος δὲ καὶ Πτολεμαίῳ τῷ Σωτῆρι διαλέξεων λόγους τινὰς διαλεκτικὰς ἠρωτήθη πρὸς Στίλπωνος· καὶ ἔδοξεν μὴ δύνασθαι διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τε ἄλλα ἐπετιμήθη, καὶ δὴ καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει. ἐξελθὼν δὲ τὸ συμποσίου, καὶ λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Κρόνε Διόδωρε τίς σε δαιμόνων κακὴ
Ἀθυμία ξυνείρυσεν,
Ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς πάρπαρον,
Στίλπωνος ἐ λύσας ἔπη
Αἰνιγματώδη; τι γὰρ δρέπῃς Κρόνος,
Ἐξωθεν τοῦ ῥοῦ κάππατε.

Τῶν δ' ἀπὸ Εὐκλείδου δὲ καὶ Ἰχθύης Μεγαρεὺς, ἀνὴρ γενναῖος, πρὸς ὃν καὶ Διογένης ὁ κυνικὸς ἐπιστολὰς πεποίηται.

Κλεινόμαχός τε ὁ Θούριος, ὃς πρῶτος περὶ ἀξιωμάτων καὶ κατηγορημάτων, καὶ τῆς πτώσεων συνέγραψε.

Καὶ Στίλπων ὁ Μεγαρεὺς, διασημότατος φιλόσοφος, περὶ οὗ λεκτέον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

ΣΤΙΛΠΩΝ.

ΣΤίλπων, Μεγαρεὺς, τῆς Ἑλλάδος, δι' ἣν ἤκουσε μὲν τῶν ἀπ' Εὐκλείδε τινῶν· οἱ δὲ καὶ αὐτὸν Εὐκλείδην ἀποφαίνουσιν αὐτὸν, ἀλλὰ καὶ Θρασυμάχου τοῦ Κορινθίου, ὃς ἦν Ἰχθύας γνώριμος, καθάφησιν Ἡρακλείδης.

Τοσοῦτον δ' ἀφροσιολογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικρὸν δεῖσαι, πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μιγαδίσαι. Περὶ τούτου φησὶ Φίλιππος ὁ Μεγαρικὸς καὶ λέξιν ἔπω, Παρὰ μὲν τῷ Θεοφράστῳ Μητρόδωρον τὸν θεωρηματικὸν καὶ Τιμαγόραν τὸν Γελῶον ἀπέπασας, παρὰ Ἀριστοτέλει δὲ τὸν Κυρηναϊκὸν Κλείταρχον καὶ Σιμμίαν· ἀπὸ δὲ τῆς διαλεκτικῶν, Παιώνιον μὲν ἀπὸ Ἀριστείδου· Διόφιλον δὲ τὸν Βοσπορηνὸν Εὐφάντου, καὶ Μύρμηκα τὸν Ἐξαινέτου, παραμυθούμενος ὡς ἐλέγξοντας, ἀμφοτέρους ζηλωτὰς ἔχεις τούτων Φρασίδημον μὲν τὸν παραπτικὸν καὶ φυσικὸν ἔμπειρον ὄντα προσήγαγε, καὶ τὸν ῥητορικὸν Ἄλκιμον, ἀπάντων πρωτεύοντα τῆς ἐν τῇ Ἑλλάδι ῥητόρων, Κράτητά τε, καὶ ἄλλους πλείους ὅσους ἐθήρασε. καὶ δὴ καὶ Ζήνωνα τὸν Φ[illegible]λα μετὰ τούτων ἀφείλετο.

Ἦν δὲ καὶ πολιτικώτατος. καὶ γυναῖκα ἠγάγετο· καὶ ἑταίρᾳ συνῆν Νικαρέτῃ, ὥς φησί που καὶ Ὀνήτωρ. καὶ θυγατέρα ἀκόλαστον ἐγέννησεν, ἣν ἔγημε γνώριμός τις αὐτοῦ Σιμμίας Συρακούσιος· ταύτης δὲ καὶ τρόπον βιάσης, εἰπέ τις πρὸς τὸν Στίλπωνα, ὡς καταισχύνοι αὐτόν· ὁ δὲ, Οὐ μᾶλλον, εἶπεν, ἢ ἐγὼ ταύτην κοσμῶ.

Ἀπε-

Ἀπεδέχετο δ' αὐτὸν, φασὶ, καὶ Πτολεμαῖος ὁ Σωτὴρ. καὶ ἐγκρατὴς Μεγάρων γεγόμενος, ἐδίδετε ἀργύριον αὐτῷ, καὶ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν. ὁ δὲ, μέζιον μέν τι παρ' ἐμοὶ προσήκατο· ἀρνησάμενος δὲ τὴν ὁδὸν μετῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνε, καταλαβὼν τὰ Μέγαρα, τήν τε οἰκίαν αὐτῷ φυλαχθῆναι, καὶ πάντα τὰ ἁρπασθέντα ἀποδοθῆναι προσέταξεν. ὅτε καὶ βελομένῳ παρ' αὐτοῦ τὴν ἀπολωλότων ἀναγραφὴν λαβεῖν, ἔφη μηδὲν τῶν οἰκείων ἀπολωλέναι. παιδείας γὰρ μηδένα ἐξενίσωκέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην. καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας, ὅπως εἶχον, ὥστε προσέχειν αὐτῷ.

Τοῦτόν φασι περὶ τῆς Ἀθηνᾶς τῆς τοῦ Φειδίου ποιοῦντινα λόγον ἐρωτῆσαι, Ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ, θεός ἐστι; φήσαντος δὲ, Ναί· Αὖτη δέγε, εἶπεν, οὐκ ἔστι Διὸς, ἀλλὰ Φειδίου. συγχωρησάντος δὲ, Οὐκ ἄρα, εἶπεν, αὐτὴ θεός ἐστιν· ἐφ' ᾧ καὶ εἰς Ἄρειον πάγον προσκληθέντα, μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι. μὴ γὰρ εἶναι αὐτὴν θεὸν, ἀλλὰ θεάν. θεοὺς δὲ εἶναι τοὺς ἄρρενας. καὶ μήτοι τὸν Ἀρεοπαγίτας Ἀθήνας αὐτὸν κελεῦσαι τῆς πόλεως ἐξελθεῖν. ὅτε καὶ Θεόδωρον τὸν ὀπίκιλλιν θεὸν ὀπισκώπτοντα εἰπεῖν, Πόθεν δὲ τοῦτ' ᾔδει Στίλπων; ἢ ὠνᾶσύρας αὐτῆς τὸν κῆπον ἐθεάσατο; ἰὼ δ' ἀληθῶς ὅτι μὲν θρασύτατος, Στίλπων δὲ κομψότατος. Κράτητος γὰρ αὐτὸν ἐρωτήσαντος, εἰ οἱ θεοὶ χαίρουσι ταῖς προσκυνήσεσι καὶ δίχαις, φασὶν εἰπεῖν, Περὶ τούτων μὴ ἐρώτα, ἀκόπτα, ἐν ὁδῷ, ἀλλὰ μόνον. τὸ δ' αὐτὸ καὶ Βίωνα ἐρωτηθέντα εἰ θεοί εἰσιν, εἰπεῖν,

Οὐκ ἀπ' ἐμοῦ σκιδάσεις ὄχλον παλαπείσιε φρέσβυ;

Ἦν δ' ὁ Στίλπων καὶ ἀφελὴς, καὶ αὐτάρκης, πρός τε τὸν ἰδιώτην εὔθετος. Κράτητος γοῦν ποτε τὸ κυνικὸν πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκεναμένου, ὑποπαρδόντος δὲ, Ἡδέως, ἔφη, ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ. ἀλλὰ καὶ ἰχάδα προτείναντος αὐτῷ ποτε καὶ ἐρώτημα, δεξάμενον καταφαγεῖν. τὸ δὲ, Ὦ Ἡράκλεις, εἰπόντος, ἀπολώλεκα τὴν ἰχάδα. Οὐ μόνον, ἔφη, ἀλλὰ καὶ τὸ ἐρώτημα, ὃ ἐν ἀῤῥαβὼν ἡ ἰχάς. πάλιν δὲ ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαυμένον, Ὦ Κράτης, εἶπε, δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ, ὅπερ ἐν, νὴ καὶ ἱματίου. καὶ τὸν αἰδεσθέντα παρῳδῆσαι εἰς αὐτὸν ἔπη,

Καί μιν καὶ Στίλπωνα ἐσιδὼν χαλέπ' ἄλγε' ἔχοντα
Ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.
Ἔνθά τ' ἐείζεσκε, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
Τὼ δ' ἀρετῷ ᾧδᾷ χάρμα διώκοντες κατέτρεβον.

λέγεται δ' ὅπως Ἀθηναίοις ἐπιτρέψαι τοὺς ἀνθρώπους, ὡς ἀπὸ τῶν ἐργασηρίων σωθεῖν ἵνα αὐτὸν θεάσαιντο. καί τινος εἰπόντος, Στίλπων, θαυμάζουσί σε ὡς θηρίον, Οὐ μῶν, εἶπεν, ἀλλ' ὡς ἄνθρωπον ἀληθινόν.

Δεινὸς δὲ ἄγαν ὢν ἐν τοῖς ἐριστικοῖς, αἰρεῖ καὶ τὰ εἴδη, καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον εἶναι, μηδένα. οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε. τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; οὔτε ἄρα τόνδε. καὶ πάλιν, Τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον. λάχανον μὲν γὰρ ὦν πρὸ μυρίων ἐτῶν. οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον. φασὶ δ' αὐτὸν ὁμιλοῦντα Κράτητι, μεταξὺ ἀπιέναι ἰχθῦς πείθεσθαι. τὸ δ' ὅπως ὠμῷ, καὶ φάσκοντος, Καταλείπεις τὸν λόγον; Οὐκ ἔγω-

ἔγωγε, ἔφη, ἀλλὰ τὸν μὲν λόγον ἔχω, σὲ δὲ καταλείπω. ὁ μὲν γὰρ λόγος παραμένει, τὸ δ' ὄψον περᾶται.

Φέρονται δ' αὐτῆ διάλογοι ἐννέα ψυχροί· Μόχθος, Ἀείσιππος ἢ Καλλίας, Πτολεμαῖος, Χαιρεκράτης, Μηδοκλῆς, Ἀναξιμένης, Ἐπιχάρης, Πρὸς τὸν ἑαυτῆς θυγατέρα, Ἀείσοτέλης.

Τύτε καὶ Ἡρακλείδης φησὶ τὸν Ζιλώνα ἀκῆσαι τὸν τῆς σεᾶς κτίσιν.

Γηραιὸν δὲ τελευτῆσαι φησὶν Ἕρμιππος, οἶνον προσενεγκάμενον, ὅπως θᾶττον ἀποθάνῃ. ἔστι δὲ καὶ εἰς αὐτὸν ἡμῶν,

Τὸν Μεγαρέα τὸν Στίλπωνα (γινώσκεις δ' ἴσως)
Γῆρας, ἐπειτα πόσος καθεῖλε, δύσμαχον ζυγόν.
Ἀλλ' οἶνον εὗρε τῆς κακῆς συμφορᾶς
Φάρμακον ἰσχυρόν· πιὼν γὰρ ἤλασε.

προσεσκώφθη δὲ ὑπὸ Σοφίλλης τῆς κωμικῆς ἐν δράμασι γάμοις,

Στίλπωνός ἐστι βύσμα θ' ὁ Χαρίνου λόγος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

ΚΡΙΤΩΝΟΣ.

Κρίτων, Ἀθηναῖος. οὗτος μάλιστα φιλοσοφώτατα διετέθη πρὸς Σωκράτην, καὶ ὅπως ἐπεμελεῖτο αὐτοῦ, ὥστε μηδέποτε λείπειν τὴν πρὸς τὸν χείμωνα.

Καὶ

Καὶ οἱ παῖδες δὲ αὐτῦ διήκουσαν Σωκράτους, Κεβῆτος, Ἑρμοξένης, Ἐπιγένης, Κτήσιππος.

Οὗ δ' ἦν Κείων ξυλόγους γέγραφεν ἐν οἷς φερομένους βιβλίῳ ἑπτακαίδεκα, τὰς ὑπογεγραμμένας, Ὅτι οὐκ ἐκ τῦ μαθεῖν οἱ ἀγαθοὶ, Περὶ τῦ πλείον ἔχειν, Τί τὸ ἐπιτήδειον, ἢ Πολιτικὸς, Περὶ τῦ καλῦ, Περὶ τῦ καπηργεῖν, Περὶ δημοσιωνίης, Περὶ νόμυ, Περὶ τῦ θείυ, Περὶ τεχνῶν, Περὶ σωφροσύνης, Περὶ σοφίας, Πρωταγόρας, ἢ Πολιτικὸς, Περὶ γραμμάτων, Περὶ ποιητικῆς, Περὶ τῦ καλῦ, Περὶ τῦ μαθεῖν, Περὶ τῦ γνῶναι, ἢ Περὶ ἐπιστήμης, Τί τὸ ἐπίστασθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

ΣΙΜΩΝ.

Σίμων, Ἀθηναῖος, σκυτοτόμος ἦν, ἐρχομένυ Σωκράτους ἐπὶ τὸ ἐργαστήριον, καὶ διαλεγομένυ τινὰ, ὧν ἐμνημόνευε ὑποσημειώσεις ἐποιεῖτο.

Οὗτος Σκυτικοὺς αὐτῦ τοὺς ξυλόγους καλοῦσιν. εἰσὶ δὲ ξεῖς καὶ τεσσαράκοντα ἐν οἷς φερόμενοι βιβλίῳ. Περὶ θεῶν, Περὶ τῦ ἀγαθῦ, Περὶ τῦ καλῦ, Τί τὸ καλὸν, Περὶ δικαίυ πρῶτος, δεύτερος. Περὶ ἀρετῆς, ὅτι διδακτὸν, Περὶ ἀνδρείας, πρῶτον, δεύτερον, τρίτον. Περὶ νόμυ, Περὶ δημαγωγίας, Περὶ τιμῆς, Περὶ ποιήσεως, Περὶ ἀπαιδείας, Περὶ ἔρωτος, Περὶ φιλοσοφίας, Περὶ ἐπιστήμης, Περὶ μυστικῆς, Περὶ ποιήσεως, Τί τὸ καλὸν, Περὶ διδασκαλίας, Περὶ τῦ ξυλέγεσθαι, Περὶ κρίσεως, Περὶ τῦ ὄντος, Περὶ ἀριθμῦ, Περὶ ἐπιμελείας, Περὶ τῦ ἐργάζεσθαι, Περὶ φιλοκερδῦς, Περὶ ἀλα-

λαζονείας, Περὶ τῦ καλῦ· οἱ δὲ, Περὶ τῦ βυλλέσθαι, Περὶ λόγυ, ἢ Περὶ ἐπιδεισότητος, Περὶ κακεργίας.

Οὗτος, φασὶ, πρῶτος διελέχθη τὺς λόγυς τὺς Σωκρατικύς. ἐπαγγειλαμένυ δὲ Περικλέες θρέψειν αὐτὸν, καὶ κελεύοντος ἀπιέναι πρὸς αὐτὸν, ὃκ ἄν, ἔφη, τὴν παῤῥησίαν ἀποδόσθαι.

Γέγονε δὲ καὶ ἄλλος Σίμων, ῥητορικὰς τέχνας γεγραφώς. καὶ ἕτερος, ἰατρὸς, καὶ Σέλευκον τὸν Νικάνορα καί τις ἀνδριαντοποιός.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

ΓΛΑΥΚΩΝ.

Γλαύκων, Ἀθηναῖος· καὶ πότε φέρονται ἐν ἑνὶ βιβλίῳ λογοι ἐννέα· Φειδυλος, Εὐειπίδης, Ἀμαυρίχος, Εὐθίας, Λυσιθείδης, Ἀεισοράνης, Κέφαλος, Ἀναξίφημος, Μενέξενος. φέρονται καὶ ἄλλοι δύο καὶ ξιακοντα, οἱ νοθεύονται.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

ΣΙΜΜΙΑΣ.

Σιμμίας ὁ Θηβαῖος· καὶ πότε φέρονται ἐν ἑνὶ βιβλίῳ λογοι ξεὶς καὶ εἴκοσι· Περὶ σοφίας, Περὶ λογισμῦ, Περὶ μυσικῆς, Περὶ ἐπῶν, Περὶ ἀνδρείας, Περὶ

Περὶ φιλοσοφίας, Περὶ ἀληθείας, Περὶ γραμμάτων, Περὶ διδασκαλίας, Περὶ τέχνης, Περὶ τῦ δύνασθαι, Περὶ φρονήσεως, Περὶ αἱρετῦ καὶ φευκτῦ, Περὶ φίλυ, Περὶ τῦ εὐδαίμονος, Περὶ ψυχῆς, Περὶ τῦ εὖ ζῆν, Περὶ δυνατῦ, Περὶ χρημάτων. Περὶ ζωῆς, Τί τὸ καλὸν, Περὶ ἐπιμελείας, Περὶ ἔρωτος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

ΚΕΒΗΣ.

ΚΕβης ὁ Θηβαῖος. καὶ τάτε φέρονται διάλογοι ξεῖς. Πίναξ, Ἑβδόμη, Φρυνίχος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

ΜΕΝΕΔΗΜΟΣ.

ΜΕνέδημος ἔτος τὴν ἀπὸ Φαίδωνος, Κλεισθένυς, τῦ τὴν Θεοφροπιδῶν καλεμένων υἱὸς, ἀνδρὸς διγλυκὺ μὲν, ἀρχιτέκτονος δὲ καὶ ποιήτυ. οἱ δὲ καὶ σκηνορράφον αὐτὸν εἶναι φασὶ, καὶ μαθεῖν ἑκάτερα τὸν Μενέδημον. ὅθεν γράψαντος αὐτῦ ψήφισμά τι, καθήψατό τις Ἀλεξίνεως, εἰπὼν ὡς ἅτε σκιωλὸν ἅτε ψήφισμα προσήκει τὴν σοφὸν γράφειν.

Πεμφθεὶς δὲ φρουρὸς ὁ Μενέδημος ὑπὸ τὴν Ἐρετριέων εἰς Μέγαρα, ἀπῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν. Ἀσκληπιάδυ δὲ τῦ Φλιασίυ θεραπεύσαντος αὐτὸν, ἐγήρατο ὑπὸ Με-

Μεγάροις φησὶ Στίλπωνα, ἅτερ ἀμφότεροι δικάσαι, κἀντεῦθεν πλεύσαντες εἰς Ἦλιν, Ἀγχιτύλῳ καὶ Μόλῳ τοῖς ὑπὸ Φαίδωνος παρίβαλον. καὶ μέχρι μὲν τούτων (ὡς προείρηται ἐν τῷ περὶ Φαίδωνος) Ἠλειακοὶ προσηγορεύοντο· Ἐρετριακοὶ δ' ἐκλήθησαν ἀπὸ τῆς πατρίδος τὸ περὶ ἧς ὁ λόγος.

Φαίνεται δὴ ὁ Μενέδημος σεμνὰς ἐκκαιδεκαφρένας ἀγόμενος· ὅθεν αὐτὸν Κράτης παρῳδῶν φησι,

Φλιάσιόν τ' Ἀσκληπιάδην, καὶ ταῦρον Ἐρέτριον.

ὁ δὲ Τίμων ἔπω,

Λόγον ἀνασήσας ὀφρυωμενὸς ἀφροσιβόμβαξ.

ἔτω δ' ἰὼ σεμνὸς, ὡς Εὐρύλοχον τὸν Κασσανδρέα μὴ Κλεῖππίδα Κυζικηνὸν μειρακίοις κληθέντα ὑπὸ Ἀντιγόνου αὐτεπεῖν. φοβεῖσθαι γὰρ μὴ Μενέδημος ἀΐδηται, ἰὼ γὰρ καὶ ὀπισκώπτης καὶ παῤῥησιαστής. μειρακίοις γὰρ καταθρασυνομένοις, εἶπε μὲν ἁδέως· λαβὼν δὲ κάρφος, διέγραφεν εἰς τὰ δάφνας περαινομένοις χῆμα· ἕως ὁρώντων πάντων συνεχὲς τὸ μειράκιον τιλὼ ὕβριν, ἀπῳλάχθη. Ἱεροκλέους δὲ τὰ ἐπὶ τῷ Πειραιῶς συναναπάμποντος αὐτῷ ἐπὶ Ἀμφιαράῳ, καὶ πολλὰ λέγοντος περὶ τῆς ἀλώσεως τῆς Ἐρετρίας, ἄλλο μὲν ἁδὲν εἶπεν, ἠρώτησε δὲ εἰς τί αὐτὸν Ἀντίγονος περαίνει. φρὸς δὲ τὸν θρασυμύθημον μοιχὸν, Ἀγνοεῖς, ἔφη, ὅτι ἐ μόνον κράμβη χυλὸν ἔχει χησὶν, ἀλλὰ καὶ ῥαφανίδες; φρὸς δὲ τὸν νεώτερον κεκραγότα, Σκέψαι, ἔφη, μή τι ὄπισθεν ἔχων λέληθας. Ἀντιγόνῳ δὲ συμβαλλομένῳ εἰ ἔστι κῶμον ἀφίκοιτο, σιωπήσας πάλλα, μόνον ἐκέλευσεν ἀπαγγεῖλαι, ὅτι βασιλέως ἰόντος. φρὸς δὲ τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ εἰκαίως, ἠρώτησεν εἰ ἀγρὸν ἔχει; φήσαν-

ταπος δέ, Καὶ πάμπλειστα κτήματα· Πορίσω τοίνυν, ἔφη, κἀκείνων ἐπιμελῆ, μὴ συμβῇ σοι καὶ ταῦτα καταφθεῖραι, καὶ κομψὸν ἐδιώτην ὑποβαλεῖν. πρὸς δὲ τὸν πυθόμενον εἰ γνήσιός ἐστιν ὁ παιδαῖος; ἔφη Πότερον ἐγώ σοι παιδαῖος δοκῶ, ἢ ὄ; φήσαντος δὲ εἶναι· Ἐγὼ τοίνυν, εἶπε, γεγάμηκα. πρὸς δὲ τὸν εἰπόντα πολλὰ τὰ ἀγαθὰ, ἐπύθετο πόσα τὸν ἀριθμὸν, καὶ εἰ νομίζει πλείω τῶν ἑκατόν; μὴ δυνάμενος δὲ τῷ καλέντων ὅτι δεῖπνον τινὸς θέλειν τὴν πολυτέλειαν, κληθεὶς ποτε, ἤδεν μὲν εἶπε· σιωπῶν δ' αὐτὸν ἐνέθέτησε, μόνας ἐλαίας προσενεγκάμενος.

Διὰ δὴ ἓν τὸ παῤῥησιαστικὸν τοῦτο μικρὸν καὶ ἐκινδύνευσεν ἐν Κύπρῳ, ὅθι Νικοκρέοντι συὼν Ἀσκληπιάδῃ τῷ φίλῳ. τῶ γάρτοι βασιλέως ὑπομείωσιν ἑορτὴν τελοῦντος, καὶ καλέσαντος καὶ τούτους, ὥσπερ τοὺς ἄλλους φιλοσόφους, τὸν Μενέδημον εἰπεῖν, Ὡς εἰ καλὸν ἦν τῷ τοιούτων ἀνδρῶν συναγωγὴν, καθ' ἡμέραν ἔδει γίνεσθαι τὴν ἑορτήν· εἰ δ' ἄ, θέλιττος καὶ νοῦ. πρὸς δὲ τοῦτο ἀπαντήσαντος τὸ τυραννικὸν καὶ εἰπόντος· ὡς ταύτην τὴν ἡμέραν ἔχοι σχολάζουσαν πρὸς τὸ ἀκούειν φιλοσόφων, ἔτι καὶ μᾶλλον ἀτειρότερον ἐνέκειτο, δεινιὺς ὅτι τῆς θυσίας, ὡς χρὴ πάντα καιρὸν φιλοσόφων ἀκούειν, ἕως, εἰ μή τις αὐλητὴς αὐτὸς διεπέμψατο, κἂν ἀπώλοντο. ὅθεν χειμαζομένων ἐν τῷ πλοίῳ, τὸν Ἀσκληπιάδην φασὶν εἰπεῖν, ὡς ἢ μὲν τοῦ αὐλητοῦ δυμοσία σέσωκεν αὐτὸς, ἡ δὲ τοῦ Μενεδήμου παῤῥησία ἀπολώλεκεν.

Ἦν δὲ, φασὶ, καὶ ἐκκλίτης καὶ τὰ τῆς σχολῆς ἀδιάφορος. ὅτε γὰρ τάξιν τινὰ ἐν παῤ αὐτῷ βλέπειν, ὅτε βάθρα κύκλῳ διέκειτο· ἀλλ' ὅ ἂν ἕκαστος ἔτυχε θέλ. πατῶν ἢ καθήμενος, ἔλεγε, καὶ αὐτοῦ τοῦτον τὸν τόπον διαφειμένου.

Ἀγω-

Ἀγωνιάτης μέν τοι, φασίν, ἰῶ ἄλλως καὶ φιλόδοξος· ὥστε τοπρότερον τέκτονι συνοικοδομοῦντι αὐτός τε καὶ ὁ Ἀσκληπιάδης, ὁ μὲν Ἀσκληπιάδης ἐφαίνετο γυμνὸς ὅτι τὸ τέγος τὸν πηλὸν ἀπέφερεν· ὁ δέ, εἴ τινα ἴδοι ἐρχόμενον, παρεκρύπτετο.

Ἐπεὶ δ' ἤψατο τῆς πολιτείας, ὅπως ἰῶ ἀγωνιάτης, ὥστε καὶ τὸν λιβανωτὸν τιθεὶς, διήμαρτε καὶ τῆ θυμιατηρίᾳ. καί ποτε Κράτητος ἀπολιόμενος αὐτὸν, καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν. τὸν δὲ μηδὲν ἧττον τηρεῖν παρόντα καὶ ὑπερκύπτοντα, Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ὀνομαλεῖν.

Ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. σωὶ γὰρ Ἀσκληπιάδῃ κατ' ἄγνοιαν ἐν πανδοκείῳ ποτὲ κρεάτων ῥιπτεμμένων φαγὼν, ἐπειδὴ μάθοι, ἐναυτίατε καὶ ὠχρία· ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ, ὡς ἐδὼν, εἰπὼν, ἰῶ ὄχλησον αὐτὸν τὰ κρέα, ἢ δὲ ἀπέφη τάπων ὑπόνοια. τὰ δ' ἄλλα μεγαλόψυχος ἀνὴρ ἰῶ καὶ ἐλεύθερος.

Κατά τε τὴν ἕξιν τὴν σωματικὴν, ἤδη καὶ πρεσβύτης ὑπάρχων, εὐδὲν ἧττον ἀθλητῆ στερεός τε καὶ ἐπικεκαυμένος τὸ εἶδος· πίων τε καὶ τετειμένος. τὸ δὲ μέγεθος σύμμετρος, ὡς δῆλον ἐκ τῆ εἰκονίε τῆ ἐν Ἐρετρίᾳ ἐν τῷ ἀρχαίῳ σαδίῳ. ἔστι γὰρ, ὡς ἔπηδες, ἀπέγυμνον, τὰ πλεῖστα μέρη φαῦνον τῆ σώματος.

Ἦν δὲ καὶ φιλυπόδοχος, καὶ, δίκη τὸ νοσοῦδες τῆς Ἐρετρίας, πλείω συναγων συμπόσια· ἐν οἷς καὶ ποιητῶν καὶ μουσικῶν. ἠπάζετο δὲ καὶ Ἄρατον, καὶ Λυκόφρονα τὸν τῆς τραγῳδίας ποιητὴν, καὶ τὸν Ῥόδιον Ἀπολλώνιον. μάλιστα δὲ πάντων Ὁμήρῳ προσεῖχεν, εἶτα καὶ τοῖς μελικοῖς, ἔπειτα Σοφοκλεῖ· καὶ δὴ καὶ Ἀχαιῷ, ὥπερ καὶ δραματεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπο-

δίδε. ὅθεν καὶ πρὸς τὰς ἀντιπολιτευομένας ταῦτα, φησὶ, προσεφέρετο,

Ἠλίσκετ' ἄρα καὶ πρὸς ἀθηνέων ταχύς,
Καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

ταῦτα δέ ἐστιν Ἀχαικὴ ἐκ τῆς κατυρικῆς Ὀμφάλης. ὥστε πταίουσιν οἱ λέγοντες μηδὲν αὐτὸν ἀναγνῶναι πλὴν τῆς Μηδείας τῆς Εὐριπίδε, ἣν ἐν τοῖς Νεόφρονος εἶναι τὸ Σικυωνίε φασί.

Τῶν δὲ διδασκάλων τὴν μὲν Πλάτωνα καὶ Ξενοκράτην, ἔτι τε Παραιβάτην τὸν Κυρηναῖον κατεφρόνει· Στίλπωνα δὲ ἐθαύμαζεν· καί ποτε ἐρωτηθεὶς περὶ αὐτῶν, ἄλλο μὲν οὐδὲν εἶπε πλὴν Ὅτι ἐλεύθερος.

Ἦν δὲ καὶ δυσκατάπτωτος ὁ Μενέδημος, ἡνίκα ἐν τῷ σωθῆναι δυσαπαγώνιστος· ἐτρέφετό τε πρὸς πάντα, καὶ ἀρτισιλόγει. ἐλεγκτικώτατός τε (καθά φησιν Ἀντισθένης ἐν Διαδοχαῖς) ἦν, καὶ δὴ καὶ τόδε ἐρωτᾶν εἰώθει, Τὸ ἕτερον τοῦ ἑτέρου ἕτερόν ἐστι; Ναί. Ἕτερον δέ ἐστι τὸ ὠφελεῖν τοῦ ἀγαθοῦ; Ναί. Οὐκ ἄρα τὸ ἀγαθὸν ὠφελεῖα ἐστιν. αὖθις δέ, φασί, καὶ τὰ ἀντιφατικὰ τῶν ἀξιωμάτων, καταφατικὰ τιθείς, καὶ τὰπὸν τὰ ἁπλᾶ προσδεχόμενος, τὰ μὲν οὐχ ἁπλᾶ αὖθις, λέγων φαινόμενα καὶ συμπεπλεγμένα. φησὶ δ' Ἡρακλείδης ἐν μὲν τοῖς δόγμασι Πλατωνικὸν εἶναι αὐτὸν, διαπαίζειν δὲ τὰ διαλεκτικά· ὥστε Ἀλεξῖνα ποτὲ διερωτήσαντος, εἰ πέπαυται τὸν πατέρα τύπτων; Ἀλλ' οὔτ' ἔτυπτον, φησὶν, οὔτε πέπαυμαι. πάλιν τ' ἐκείνα λέγοντος, Ἐχεῖ εἰπόντα, ναὶ, ἦ δ', λῦσαι τὴν ἀμφιβολίαν, Γελοῖον, εἶπε, τοῖς ὑμετέροις νόμοις ἀκολουθεῖν, ἐξὸν ἐν πύλαις αὐτὴν βαδίζειν. Βίωνός τε ὑπομελῶς καταδεχόντος τὴν μαθητείαν, νεηνίας αὐτὸν ὑποσφάττειν ἔλεγε. καί ποτε τινὸς ἀκούσας ὡς μέγιστον ἀγα-

ἀγαθὸν εἶη τὸ πάντων ἐπιτυγχάνειν ὧν τις ἐπιθυμεῖ, εἰπεῖν, Πολὺ δὲ μεῖζον τὸ ἐπιθυμεῖν ὧν δεῖ· φησὶ δ' Ἀντίγονος ὁ Καρύστιος γράψαι αὐτὸν μηδὲν, μηδὲ συμπάξαι· ὥστε μηδὲ σπείζειν ὑπότινος δόγματος. ἐν δὲ ταῖς ζητήσεσι, φησὶν, ὧδε μάχιμος ἦν, ὥσθ' ὑπώπια φέρων ἀπῆει. ὅμως δ' ἂν τοιοῦτος ἐν τοῖς λόγοις ὑπάρχων, ἐν τοῖς ἔργοις πραότατος ἦν. Ἀλέξινον γὰρ πολλὰ καταπαίζων καὶ σκληρῶς ὑπεσκώπτων, ὅμως αὐτὸν εὖ ἐποίησε, τὴν γυναῖκα ἀξιώσας ἐκ Δελφῶν ἕως Χαλκίδος, δι' ἀλαβαστρίου κλωπείας τε καὶ τὰς καθ' ὁδὸν λῃστείας.

Φίλος τε ἦν μάλιστα, ὡς δῆλον ἐκ τῆς πρὸς Ἀσκληπιάδην συμπνοίας, εἰδότι τι διαφερούσης Πυλάδῃ φιλοσοργίας· ἀλλὰ πρεσβύτερος Ἀσκληπιάδης, ὡς λέγεσθαι ποιητὴν μὲν αὐτὸν εἶναι, ὑποκριτὴν δὲ Μενέδημον. καί ποτε φασὶν Ἀρχιπολίδος χιλίαι αὐτοῖς διαγράψαντος, σπιζομένους περὶ τοῦ τίς δεύτερος ἄρῃ, μηδέτερον λαβεῖν.

Λέγεται δὲ καὶ γυναῖκας ἀγαγέσθαι αὐτούς· ὧν τὴν μὲν θυγατέρα, Ἀσκληπιάδην· τὴν δὲ μητέρα, Μενέδημον· καὶ περιδὴ ἐτελεύτησε τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, λαβεῖν τὸ τοῦ Μενεδήμου· ἐκεῖνον τε, ἐπειδὴ πρέσβυν τῆς πολιτείας, πλησίαν γῆμαι. ἐδοκεῖ μέν τοι ἧττον μιᾶς ἔσης οἰκίας ἐπιβλέψαι τὸν Μενέδημον τὴν διοίκησιν τῇ πρεσβυτέρᾳ γυναικί. ὁ μέν τοι Ἀσκληπιάδης πρεσβυτέρων ἐν Ἐρετρίᾳ γηραιὸς ἤδη, συζήσας τῷ Μενεδήμῳ σφόδρα διατελῶς ἀπὸ μεγάλων. ὥστε καὶ μετὰ χρόνον ἐλθόντος ἐπὶ κῶμον ἐρωμένου τοῦ Ἀσκληπιάδου, καὶ τῶν νεανίσκων ἀποκλειόντων αὐτὸν, ὁ Μενέδημος ἐκέλευσεν εἰσδέξασθαι, εἰπών, Οὔτι Ἀσκληπιάδης αὐτῷ, καὶ μὴν γῆς ὢν, τὰς θύρας ἀνοίγει. ἦσαν δ' οἱ σωματοποιήσαντες αὐτὸν,

Ἱππόνικός τε ὁ Μακεδών, καὶ Ἀγήπωρ ὁ Λαμιεύς· ὁ μὲν, ἑκατέρῳ δὺς ἑξήκοντα μνᾶς, ὁ δ' Ἱππόνικος Μενεδήμῳ εἰς ἔκδοσιν τῆς θυγατέρων δυοχιλίας δραχμάς. ἦσαν δὲ ἑξῆς, καθάφησιν Ἡρακλείδης, ἐξ Ὠρωπίας αὐτῷ γυναικὸς γεγονυῖαι.

Τὰ δὲ συμπόσια τοῖον ἐποιεῖτο τὸν τρόπον· προεῖσα μὲν δυοῖν ἢ τριῶν, ἕως βραδέως ἐπὶ τῆς ἡμέρας. ἔπειτά τις ἐκάλει τοὺς προσφοιτῶντας, καὶ αὐτὸς ἤδη δειπνηκότας. ὥστε εἴτις ἔλθοι θᾶττον, ἀνακάμπτων ἐπυνθάνετο τὴν ἐξιόντων τί εἴη προκείμενον, καὶ πῶς ἔχοι τὰ χρόνα. εἰ μὲν ἦν λαχανίον ἢ παρίχιον, ἀνεχώρει· εἰ δὲ κρεάδιον, εἰσήεσαν. ἐν δὲ τῷ μὲν θέρει ψιάθος ὑπῆν τῶν κλινῶν· τῷ δὲ χειμῶνος, κώδιον. προσκεφάλαιον δ' αὐτοῖς φέρειν ἔδει. τότε προσαγόμενον πρόπιον ἢ μεῖζον ἐν κοτυλιαίῳ. ξάγημα, θέρμος, ἢ κύαμος· ἔστι δ' ὅτε καὶ τῶν ὠείων ἄπιος, ἢ ῥόα, ἢ ὤχροι, ἢ νὴ Δί' ἰχάδες. ἃ πάντα φησὶν ὁ Λυκόφρων ἐν τοῖς πεποιημένοις σατύροις αὐτῷ, ἃς Μενέδημον ἐπέγραψεν, ἐγκώμιον τῷ φιλοσόφῳ ποιήσας τὸ δρᾶμα. ὧν καί τινα ἔστι τοιαυτί,

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
Αὐτοῖς κυκλεῖται πρὸς μέζον, ξάγημα δὲ
Ὁ σωφρονιστὴς τοῖς φιλικοῖς λόγος.

Τὰ μὲν ἔν πρώτοις κατεφρονεῖτο, κύων καὶ λῆρος ὑπὸ τῆς Ἐρετριέων ἀκύων· ὕστερον δ' ἐθαυμάσθη, ὥστε καὶ τὴν πόλιν ἐγχωρίσασθαι. ἐπρέσβευσε δὲ καὶ πρὸς Πτολεμαῖον, καὶ Λυσίμαχον, τιμώμενος παντα χοῦ· ἐμὲν ἀλλὰ καὶ πρὸς Δημήτριον. καὶ τῆς πόλεως ἡκούσια πάλαντα τελούσης πρὸς ἔτος αὐτῷ, τὰ πεντήκοντα ἀφεῖλε. πρὸς ὃν

ὃν διαβληθεὶς, ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ, ἀπολογεῖται δι' ἐπιστολῆς, ἧς ἡ ἀρχὴ,

Μενέδημος Βασιλεῖ Δημητρίῳ χαίρειν.

Ἀκούω πρός σε διατεθλῶσθαι περὶ ἡμῶν. λόγος δὲ διαβλέπειν αὐτὸν τὴν ἀντιπολιτευομένων τινὰ Αἰσχύλον. Δοκεῖ δ' ἐμβεβιάσθαι πρεσβεύσαι πρὸς Δημήτριον ὑπὲρ τῶν Ὡρωπῶν, ὡς καὶ Εὔφαντος ἐν ἱστορίαις μεμνηται. Ἠγάπα δὲ αὐτὸν καὶ Ἀντίγονος, καὶ μαθητὴν ἀπεκήρυττεν αὐτόν. καὶ ἰδίᾳ ἐνίκα τοὺς βαρβάρους περὶ Λυσιμαχίαν, γράφει ψήφισμα αὐτῷ Μενέδημος ἁπλοῦν τε καὶ ἀπόλακον, ἧς ἡ ἀρχὴ, Οἱ στρατηγοὶ καὶ οἱ πρόβουλοι εἶπον, Ἐπειδὴ βασιλεὺς Ἀντίγονος μάχῃ νικήσας τοὺς Βαρβάρους, παραγίνεται εἰς τὴν ἰδίαν, καὶ πάλαι πάντα πράττει κατὰ γνώμην, ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. διὰ ταῦτα δὴ καὶ τὴν ἄλλην φιλίαν ἐπιστάθεις προδιδόναι τὴν πόλιν αὐτῷ, διαβάλλοντος Ἀριστοδήμου, ὑπεξῆλθε· καὶ διετέλεσεν ἐν Ὡρωπῷ, ἐν τῷ τοῦ Ἀμφιάρεω ἱερῷ· οὗ θαυμασίων ποτηρίων ἀπολομένων, καθά φησιν Ἕρμιππος, δόγματι κοινῷ τῶν Βοιωτῶν ἐκελεύσθη μετελθεῖν. ἐντεῦθεν ἀθυμήσας λαθραίως παρεισδὺς εἰς τὴν πατρίδα, καὶ τὴν τε γυναῖκα καὶ τὰς θυγατέρας παραλαβών, πρὸς Ἀντίγονον ἐλθὼν, ἀθυμίᾳ τὸν βίον κατέτριψε. φησὶ δ' αὐτὸν Ἡρακλείδης, πικρὸν τυραννίδος, πρόβουλον γενόμενον τῶν Ἐρετριέων, πολλάκις ἐλευθερῶσαι τὴν πόλιν ἀπὸ τῶν τυράννων ἐπαγομένων Δημήτριον. ἐκ ὧν δὴ ἐν προδοσίαι αὐτὸν Ἀντιγόνῳ τὴν πόλιν, ἀλλὰ διαβολὴν ἀναλαβεῖν ψευδῆ. φοιτῶντε πρὸς τὸν Ἀντίγονον, καὶ βέλεσθαι ἐλευθερῶσαι τὴν πατρίδα.

τὸ δὲ μὴ ἔχοντος, ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμέρων, τὸν βίον μεταλλάξαι. τὰ ὅμοια τούτῳ καὶ Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ. μόνῳ δὲ Περσαίῳ ἐχαρίσατο εἶχε πόλεμον. ἐδόκει γὰρ, Ἀντιγόνῳ βαλομένῳ τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χαρίζειν Μενεδήμῳ, κωλύσαι. διὸ καὶ ποτε πρὸς πότον ὁ Μενέδημος ἐλέγξας αὐτὸν τοῖς λόγοις, τά τε ἄλλα ἔφη, καὶ δὴ, Φιλόσοφος μέν τοι τοιοῦτος, ἀνὴρ δὲ καὶ τῶν ὄντων καὶ τῶν γιγνομένων κάκιστος.

Ἐτελεύτα δὲ, κατὰ τὸν Ἡρακλείδην, τέταρτον καὶ ἑβδομηκοστὸν ἔτος βιούς· καὶ εἰς αὐτὸν ἡμῶν ἐστιν ὅπως ἔχον·

Ἔκλυον, Μενέδημε, τεὸν μόρον, ὡς ἐκὼν ἀπέσβης,
Ἐν ἡμέρῃσιν ἑπτὰ μηδὲν ἐδίων.
Κἄτ' ἔργον ἔρεξας Ἐρετρικόν, ἀλλ' ὅμως ἀνδρὸν
Ἀψυχίη γὰρ ἡγεμὼν ἔπεσχε.

Καὶ ἄχοι μὲν οἱ Σωκρατικοὶ, καὶ οἱ ἀπ' αὐτῶν. μετιτέον δὲ ἐπὶ Πλάτωνα, τὸν τῆς Ἀκαδημίας κατάρξαντα, καὶ τοὺς ἀπ' αὐτοῦ, ὁπόσοι γεγόνασιν ἐλλόγιμοι.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΟΝΟΝ.

ΠΛΑΤΩΝ.

Λάτων, Ἀ εἰσωνος καὶ Περικτιόνης, ἢ Ποτώνης, ἥτις τὸ γένος ἀνέφερεν εἰς Σόλωνα, Ἀθηναῖος. τότε δὲ ἰδιῶται ἀδελφὸς Δρωπίδης, ὃ Κριτίας, ὃ Κάλλαισχρος, ὃ Κριτίας ὁ τοῦ τριάκοντα, καὶ Γλαύκων, ὃ Χαρμίδης καὶ Περικτιόνη· ἧς καὶ Ἀ εἰσωνος Πλάτων, ἔκτος ἀπὸ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα καὶ Ποσειδῶνα ἀνέφερε τὸ γένος. φασὶ δὲ καὶ τὸν πατέρα αὐτῶ ἀνάγειν εἰς Κόδρον τὸν Μελανθε, οἵτινες ἀπὸ Ποσειδῶνός ἰσορροῦνται, καὶ Θράσυλον. Σπεύσιππος δ' ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος συμποσίῳ δείπνῳ, καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος ἐγκωμίῳ, καὶ Ἀναξιλίδης ἐν τῷ δευτέρῳ περὶ φιλοσόφων, φασὶν, ὡς Ἀθηναίοις ἐκ λόγος, ὡραίαν ἔσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀ εἰσωνα, καὶ μὴ τυγχάνειν. παυομένου τε τῆς βίας ἰδεῖν τινὰ τῶ Ἀπόλλωνος ὄψιν· ὅθεν καθαρὰν γάμε φυλάξαι, ἕως τῆς ἀποκυήσεως.

Καὶ

Καὶ γίνεται Πλάτων (ὥς φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς) ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι, θαργηλιῶνος ἑβδόμῃ· καθ' ἣν Δήλιοι τὸν Ἀπόλλωνα γενέσθαι φασί. τελευτᾷ δ', ὥς φησιν Ἕρμιππος, ἐν γάμοις δειπνῶν, τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. Νεάνθης δέ φησιν αὐτὸν τεττάρων καὶ ὀγδοήκοντα τελευτῆσαι ἐτῶν. ἔστιν οὖν Σωκράτης νεώτερος ἕτεσιν ἕξ. ὁ μὲν γὰρ ὅτι Λυσιμάχῳ, Πλάτων δὲ ὅτι Ἀμεινίᾳ γέγονεν, ἐφ' ὃν Περικλῆς ἐτελεύτησεν.

Ἦν δὲ τὸν δῆμον Κολλυτεύς, ὥς φησιν Ἀντιλέων ἐν δευτέρῳ περὶ χρόνων. καὶ ἐχρημάτισε κατά τινας ἐν Αἰγίνῃ, ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θαλήτου, (ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) τοῦ πατρὸς αὐτοῦ μὲν καὶ ἄλλων πεμφθέντος κληρούχου, καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὑπὸ δὲ τῶν Λακεδαιμονίων ἐξελαθέντων βουθέντων Αἰγινήτας. ἀλλὰ καὶ ἐχορήγησεν Ἀθήνησι Δίωνος αὐλοῦντος, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῳ περὶ πάτρων.

Εἶχε δ' ἀδελφὰς Ἀδείμαντον καὶ Γλαύκωνα, καὶ ἀδελφοῦ Ποτώνης, ἐξ ἧς καὶ Σπεύσιππος.

Καὶ ἐπαιδεύθη μὲν γράμματα παρὰ Διονυσίῳ, ἐν ᾧ καὶ μνημονεύει ἐν τοῖς ἀντερασταῖς· ἐγυμνάσατο δὲ παρὰ Ἀρίστωνι τῷ Ἀργείῳ, παλαιστῇ· ἀφ' οὗ καὶ Πλάτων ἐκλήθη τὴν ἐπίκλησιν μετονομάσθη, πρότερον Ἀριστοκλῆς ὑπὸ τοῦ πάππου καλούμενος ὄνομα, καθάφησιν Ἀλέξανδρος ἐν ἱστορίαις. οἱ δὲ διὰ τὴν πλατύτητα τῆς ἐρμηνείας οὕτως ὀνομασθῆναι. ἢ ὅτι πλατὺς ἦν τὸ μέτωπον, ὥς φησι Νεάνθης. εἰσὶ δ' οἳ καὶ παλαῖσαι φασὶν αὐτὸν Ἴσθμοι, καθά καὶ Δικαίαρχος ἐν πρώτῳ περὶ βίων.

Καὶ γραφικῆς ὅτι μεμελήθηκε, καὶ ποιήματα γράψαι, πρῶτον μὲν διθυράμβους, ἔπειτα καὶ μέλη καὶ τραγῳδίας.

Γενό-

Γ'χνόφωνός τε, φασὶν, ἦν, ὡς καὶ Τιμόθεός φησιν ὁ Ἀθηναῖος ἐν τῷ περὶ βίων. λέγεται δ' ὅτι Σωκράτης ὄναρ εἶδεν κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα, καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συνεῖναι· τὸν δὲ, τέτον εἰπεῖν εἶναι τὸν ὄρνιν.

Ἐφιλοσόφει δὴ τὴν ἀρχὴν ἐν Ἀκαδημίᾳ, εἶτα ἐν τῷ κήπῳ τῷ πρὸς τὸν Κολωνὸν, ὥς φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς καθ' Ἡράκλειτον. ἔπειτα μετὰ τοι μέλλων ἀγωνιεῖσθαι τραγῳδίᾳ πρὸ τῶ Ὀλυμπιακῶ θεάτρε, Σωκράτες ἀκέσας κατέφλεξε τὰ ποιήματα, εἰπών,

Ἤ'φαισε πρόμολ' ὧδε, Πλάτων νύ τι σεῖο χατίζει.

τὰντεῦθεν δὴ γεγονὼς, φασὶν, εἴκοσιν ἔτη, διήκουσε Σωκράτες. ἐκείνε δ' ἀπελθόντος, προσεῖχε Κρατύλῳ τε τῷ Ἡρακλειτείῳ, καὶ Ἑρμογένει τῷ τὰ Παρμενίδε φιλοσοφοῦντι. ἔπειτα χρόνος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν, καθά φησιν Ἑρμόδωρος, εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν ἄλλοις τισὶ Σωκρατικοῖς ὑπεχώρησεν. ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν· κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τὰς Πυθαγορικὰς, Φιλόλαον καὶ Εὔρυτον· ὅθεν τε εἰς Αἴγυπτον πρὸς τὰς προφήτας· ἔφασι καὶ Εὐριπίδην αὐτῷ συνακολυθῆσαι, καὶ εὐτέθι νοσήσαντα πρὸς τῶν ἱερέων ἀπαλυθῆναι τῇ διὰ θαλάττης θεραπείᾳ· ὅθεν καὶ εἰπεῖν,

Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

ἀλλὰ καὶ, κατ' Ὄμηρον, φασὶ πάντας ἀνθρώπους Αἰγυπτίους ἰατροὺς εἶναι. διέγνω δὴ ὁ Πλάτων καὶ τοῖς μάγοις συμμίξαι. διὰ δὲ τὰς τῆς Ἀσίας πολέμους ἀπέστη.

Ἐπανελθὼν δὲ εἰς Ἀθήνας, διέτριβεν ἐν Ἀκαδημίᾳ.

μίᾳ. τὸ δ' ἐστὶ γυμνάσιον πρόσεστιν ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἀκαδήμου, καθά φησιν Εὔπολις ἐν Δράτταις,

Ἐν ὀλυκίοις δρόμοισιν Ἀκαδήμου θεοῦ.

ἀλλά φησιν ὁ Τίμων εἰς τὸν Πλάτωνα λέγων φησί,

Τῶν παίπων δ' ἡγεῖτο πλατύστατος, ἀλλ' ἀγοραῖος
Ἡδυεπής, τέττιξιν ἰσοχάραξος, οἵ θ' Ἑκαδήμου
Δενδρέοις ἐφεζόμενοι ὅπα λειριόεσσαν ἱεῖσι.

πρότερον γὰρ τὰ τῆς Ἑκαδημίας ἐκαλεῖτο. ὁ δ' ἐν φιλόσοφος καὶ Σωκράτει φίλος ἦν. καὶ αὐτῶν Πραξιφάνης συνέγραψέ τινα περὶ ποιητῶν, φερομένων ἐν ἀγρῷ τοῦ Πλάτωνι, ὑπερωθούντος τὸν Σωκράτην.

Καὶ αὐτὸν φησιν Ἀριστόξενος τρὶς ἐστρατεῦσθαι· ἅπαξ μὲν εἰς Ταίναρον, δεύτερον δὲ εἰς Κόρινθον, τρίτον ὅτε Δηλίῳ· ἐνθα καὶ ἀριστεῦσαι. μίξαντα ἐποιήσατο τοὺς τε Ἡρακλειτείων λόγων καὶ Πυθαγορικῶν καὶ Σωκρατικῶν. τὰ μὲν γὰρ αἰσθητὰ, κατ' Ἡράκλειτον· τὰ δὲ νοητὰ, κατὰ Πυθαγόραν· τὰ δὲ πολιτικὰ, κατὰ Σωκράτην ἐφιλοσόφει.

Λέγουσι δέ τινες (ὧν ἐστι καὶ Σάτυρος) ὅτι Δίωνι ἐπέστειλεν εἰς Σικελίαν, ὠνήσασθαι τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου μνῶν ἑκατόν. καὶ δὴ ἐν ἀπορίᾳ, φασίν, ὢν, παρὰ Διονυσίου λαβὼν ὑπὲρ τὰ ὀγδοήκοντα τάλαντα, ὡς καὶ Ὀνήτωρ φησὶν ἐν τῷ ἐπιγραφομένῳ, Εἰ χρηματιεῖται ὁ σοφός.

Πολλὰ δὲ καὶ παρ' Ἐπιχάρμου τοῦ κωμῳδοποιοῦ μετενήνεκται, τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν τοῖς περὶ Ἀμυίτου, ἃ ἐστὶ τέτταρα. ἔνθα καὶ ἐν τῷ πρώτῳ φησὶ ταῦτα· φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῆς

Ἐπι-

Ἐπιχάρμε λέγων· σκεπτέον δὲ, ὁ Πλάτων φησὶν, αἰσθητὸν μὴ εἶναι, τὸ μηδέποτε ἐν τῷ ποιῷ μηδὲ ποσῷ ἑστηκὸς, ἀλλ' ἀεὶ ῥέον καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἂν τις ἀνέλῃ τὸν ἀριθμὸν, τίπων ἔτι ἴσων, ἔτε τινῶν, ἔτε ποσῶν, ἔτε ποιῶν ὄντων. ταῦτα δ' ἐστὶν ὧν ἀεὶ ῥύσις, οὐσία δὲ μηδέποτε πέφυκε. νοητὰ δὲ, ἐξ ἃ μηδὲν ἀπογίνεται, μηδὲ προσγίνεται· τοῦτο δ' ἐστὶν ἡ τῶν ἀϊδίων φύσις, διὸ ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι· καὶ μὴν ἔγε Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν,

Ἀλλ' ἀεί τοι θεοὶ παρῆσαν, καὶ ὑπέλιπον ἃ πώποκα·
Τάδε δ' ἀεὶ πάρεδ' ὅμοια, δοκὰ δὲ τῶν αὐτῶν ἀεί.
Ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
Πῶς δέ κ' ἀμήχανόν γ' ἀπό τινος μηδὲν ὄττι πρᾶτον μόλοι.
Οὐκ ἄρ' ἔμολε πρᾶτον ὐδὲν, ὐδὲ, μὰ Δία δεύτερον.
Τῶν δέ γ' ὧν ἄμμες νυῦ ὧδε λέγωμεν, μέλλει τάδ' εἶναι.
Ποτ' ἀριθμόν τις θέμενος, αἱ δὲ λῆς τὸν ἄρτιον,
Ποτθέμεν λῆ ψᾶφον, ἢ κὰ τὰν ὑπάρχουσαν λαβεῖν.
Ἢ δοκεῖ καὶτί καὶ ὁ αὐτὸς ἐμέν; ἐκ ἐμὶν πάχα.
Οὐδὲ μάν, ὐδὲ ποτὶ μέζον παχὺ ἐὸν ποτθέμεν λῆ τις
Ἕτερον σερρὸν μᾶκος, ἢ τὸ πρόσθ' ἐόντος
Ἀποταμεῖν, ἔτι χ' ὑπάρχοι κεῖνο τὸ μέζον.
Οὐ γὰρ ὧδε νυῦ ὁρᾷ κὠ τὼς ἀνθρώπως.
Ὃ μὲν γὰρ αὔξειθ', ὁ δὲ γα μὰν φθίνει.
Ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
Ὃ δὲ μεταλλάσσει κατὰ φύσιν, κὠ ἔποκ' ἐν ταυτῷ μένει.

Ἀλ-

Ἀλλὰ ἕτερον εἶπ᾽ αὐτὸ δὴ τὸ παρεξεσακόπος.
Καὶ τὸ δὴ κἀγὼ χθὲς ἄλλοι, καὶ νυῦ ἄλλοι τελεύθομες.
Καὐθις ἄλλοι, κ᾽ ἔπω χ᾽ αὐτοὶ κατὸν λόγον.

ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτί· Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ᾽ αὐτὴν καθ᾽ αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τοῦ σώματι χρωμένην. διὸ καὶ τῶν ὄντων τὰ μὲν, αἰσθητὰ εἶναι· τὰ δὲ, νοητά. ὧν εἵνεκα καὶ Πλάτων ἔλεγεν, ὅτι δεῖ τοὺς σωτῆρας τοὺς τοῦ παντὸς ἀρχὰς ἐπιθυμεῖντας, πρῶτον μὲν αὐτὰς καθ᾽ αὑτὰς διειλέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα, καὶ μονάδα, καὶ πλῆθος, καὶ μέγεθος, καὶ στάσιν, καὶ κίνησιν· δεύτερον, αὐτὸ καθ᾽ αὐτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον, καὶ τὰ τοιαῦτα νοεῖσθαι· ἔτι τὸν, τῶν ἰδεῶν σωτῆρας ὅσαι πρὸς ἄλληλας εἰσὶν, οἷον ὕπνος ἡμῖν, ἢ μέγεθος, ἢ δεσποτείαν· ἐνθυμεῖσθαι ὅτι τὰ παρ᾽ ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείνοις ὑπάρχοι· λέγω δὲ οἷον δίκαια μὲν, ὅσα τῷ δικαίῳ· καλὰ δὲ, ὅσα τῷ καλῷ. ἔτι δὲ τῶν εἰδῶν εἶναι ἕκαστον ἀΐδιόν τε καὶ νόημα, καὶ πρὸς τὰ ἄλλα ἀπαθές· διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι, καθάπερ παραδείγματα· τὰ δ᾽ ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν ἔτω λέγει,

Ἆρ᾽ ὄξιν αὔλησις τὸ πρᾶγμα; παύμοι ἔν.
Ἄνθρωπος ἔν αὔλησίς ὄξιν; εὖ γε μάλα.
Φέρε ἴδω, τί δ᾽ αὐλητάς; τίς ἐμοί τοι δοκεῖ;
Ἄνθρωπος, ἢ δ᾽ γάρ; παύμοι ἔν.
Οὐκοῦν δοκεῖς ἔτως ἔχειν περὶ τ᾽ ἀγαθοῦ;

Τὸ

Τὸ μὲν, ἀγαθὸν, τὸ δὲ πρᾶγμα εἶμὴ καθ' αὑτό;
Ὅστις δέκα εἰδῇ μαθὼν τἄνο, ἀγαθὸς ἤδη γίνεται.
Ὥσπερ γὰρ εἰ τἰνὰ ἄυλησιν αὐτὸς μαθὼν,
Ἢ ὄρχησιν ὀρχησάς, ἢ πλοκὰς πλοκὰν,
Ἢ παντάπασιν ὁμοίως τῶν τοιούτων ὅ,τι τὺ λῇς,
Οὐχ αὐτὸς ἔσῃ χ' ἃ τέχνα· τεχνικός γε μάν.

Πλάτων ὃν τῇ περὶ τῶν ἰδεῶν ἀπολήψει φησὶν, Εἴπερ ὄξὶ μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν· ὄξὶ τὸ τἰνὰ μνήμην ἐρεμοῦντος τινὸς ἐν μνήοντος εἶναι. μένειν δὲ ἀδὲν ἕτερον ἢ τὰς ἰδέας. τίνα γὰρ ἂν ξύπον, φησὶ, διεσώζετο τὰ ζῶα μὴ τῆς ἰδέας ἐφαπτόμενα, ἐν ὁρῶς τὸ τὸν νῶν φυσικὸν εἰληφότα; νυῶ δὲ μνημονδίει τῆς ὁμοιότητός τε ἐν ξοφῆς, ὁποία τις ὄξὶν αὐτοῖς, ἐνδειχύμενα διότι πᾶσι τοῖς ζώοις ἔμφυτός ὄξὶν ἡ τῆς ὁμοιότητος θεωρία. διὸ ἐν τῶν ὁμοφύλων αἰσθάνεται. πῶς ὧν ὁ Ἐπίχαρμος;

Εὔμαιε, τὸ σοφὸν ὄξὶν ἐ καθ' ἓν μόνον.
Ἀλλ' ὅσα περ ζῇ πάντα ἐν γνώμαν ἔχει.
Καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος,
Αἰ λῆς καταμαθεῖν ἀτενὲς, ἐ τίκτει τέκνα
Ζῶντ', ἀλλ' ἐπωάζει ἐν ποιεῖ ψυχὼ ἔχειν.
Τὸ δὲ σοφὸν ἁ φύσις τό δ' οἶδεν ὡς ἔχει
Μόνα. πεπαίδδυται γὰρ ἐ πάντας ὅπο.

καὶ πάλιν,

Θαυμαστὸν ἀδὲ ὄξὶ, μὲ παῦθ' ἅπω λέγειν,
Καὶ ἀνδάνειν αὐτοῖσιν αὐτὸς, καὶ δοκεῖν
Καλῶς πεφυκέναι· ἐν γὰρ ἁ κύων κυνὶ

Κάλ-

Κάλλιστον εἶμεν φαίνεται, ἢ βῶς βοΐ,
Οἶνος δὲ ἔνῳ κάλλιστον, ὗς δὲ ὑΐ.

καὶ ταῦτα μὲν ἐν τῷ τετάρτῳ βιβλίῳ παραπήγυσιν ὁ Ἄλκιμος, παρασημαίνων τὸν ἐξ Ἐπιχάρμου Πλάτωνι παρῳδούμενον ὠφέλειαν. ὅτι δ' αὐτὸς Ἐπίχαρμος ἡγεῖται τινὰ αὐτῷ σοφίαν, μαθεῖν ἔξεστιν ἐκ τῶνδε, ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται,

Ὡς δὲ ἐγὼ δοκίω ἦδὲ σαφὲς ἄμμι τόθ' ὅτι
Τῶν ἐμῶν μανάμα ποκ' ἐσσεῖται λόγων τῶνδε ἔτι.
Καὶ λαβόντις αὐτὰ, περιδύσας τὸ μέζον ὃ νυῦν ἔχει,
Εἶμα δὲς ἐν πορφυρᾶ λόγοισι ποικίλας καλοῖς,
Δυσπάλαιστος ὤν, τὶς ἄλλος δ' παλαίσας δόφανεῖ.

Δοκεῖ δὲ Πλάτων ἐκ τοῦ Σώφρονος τὰ μιμοτράφα βιβλία ἡμελημένα πρῶτος εἰς Ἀθήνας ἐκκομίσαι, καὶ ἠθοποιῆσαι πρὸς αὐτῷ, ἃ καὶ διῆθῶσι ὑπὸ τῇ κεφαλῇ αὐτοῦ.

Τρὶς δὲ πέπλευκεν εἰς Σικελίαν· πρῶτον μὲν κατὰ θέαν τῆς νήσου καὶ τῶν κρατήρων, ὅτε καὶ Διονύσιος ὁ Ἑρμοκράτους, τύραννος ὤν, ἠνάγκασεν ὥστε συμμίξαι αὐτῷ. ὁ δὲ, διαλεγόμενος περὶ τυραννίδος, καὶ φάσκων ὡς οὐκ ἔστι τοῦτο κρεῖττον ἢ συμφέρον αὐτῷ μόνον, εἰ μὴ καὶ ἀρετῇ διαφέροι, προσέκρουσεν αὐτῷ. ὀργισθεὶς γὰρ, Οἱ λόγοι σου, φησὶ, γεροντιῶσι. καὶ ὃς, Σὲ δέ γε τυραννιῶσιν. ἐντεῦθεν ἀγανακτήσας ὁ τύραννος, πρῶτον μὲν ἀπειλεῖν ὥρμησεν αὐτόν· εἶτα παρακληθεὶς ὑπὸ Δίωνος καὶ Ἀρισταμβρότου, τοῦτο μὲν οὐκ ἐποίησε, παρέδωκε δ' αὐτὸν Πόλιδι τῷ Λακεδαιμονίῳ καὶ καιρὸν ἐπὶ πρεσβείαν ἀφιγμένῳ, ὥστε ἀποδόσθαι. κἀκεῖνος ἀγαγὼν αὐ-

αὐτὸν εἰς Αἴγιναν, ἐπὶ ὠφελείᾳ. ὅτε καὶ Χάρμανδρος Χαρμανδείδε ἐγράψατο αὐτῷ δίκην θανάτε, κατὰ τὸν παρ' αὐτοῖς τεθέντα νόμον, τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ, ἄκεντον ἀποθνήσκειν, ἕως δ' αὐτὸς ὁ θεὶς τὸν νόμον, καθάφησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. εἰπόντος δέ τινος, ἀλλὰ καὶ παιδιὰ, φιλόσοφον εἶναι τὸν ἐπιβάντα, ἀπέλυσαν. οἵτινες δέ φασι φυγαδευθῆναι αὐτὸν εἰς τὴν ἐκκλησίαν, καὶ πρέμνον μηδ' ὁτιοῦν φθέγξασθαι· ἑτοίμως δὲ ἐκδέξασθαι τὸ συμβαῖνον. οἱ δὲ ἀποκτεῖναι μὲν αὐτὸν ἀ διέγνωσαν, πωλεῖν δὲ ἐκέλευαν τῷ ξόφῳ τῆς αἰχμαλώτων. λυτροῦται δὴ αὐτὸν καὶ τύχῃ παρὼν Ἀνίκηρις ὁ Κυρηναῖος ἑκατὸν μνῶν· οἱ δὲ, ξιάκοντα· καὶ ἀπέπεμπεν Ἀθηναζε πρὸς τὲς ἑταίρες. οἱ δ' ὑφ' ὑς παρῆλθον ἀξέπεμψαν, ὅπερ ἐ προσήκατο, εἰπὼν, μὴ μόνος ἐκείνος ἀξίος εἶναι Πλάτωνος κήδεσθαι. οἵτινες δὲ καὶ Δίωνα ἀποστεῖλαι φασὶ τὸ ἀργύριον, καὶ τὸν μὴ προσέσθαι, ἀλλὰ κηπίδιον αὐτῷ τὸ ἐν Ἀκαδημίᾳ πρίασθαι. τὸν μῦθον Πόλιδα λόγος ὑπό τε Χαβρίε ἡττηθῆναι, καὶ μὴ ταῦτα ἐν Ἐλίκῃ καταπονηθῆναι, τὲ δαιμονίε μνησθέντος αὐτῷ διὰ τὸν Φιλόσοφον, ὡς καὶ Φαβωρῖνος φησὶν ἐν πρώτῳ τῆς ἀπομνημονευμάτων. ἐ μὴν δὲ ἡσύχαζεν ὁ Διονύσιος· μαθὼν δὲ ἐπέστειλε Πλάτωνι, μὴ κακῶς ἀγορεύειν αὐτόν. καὶ ὃς ἀντιπέστειλε, μὴ τοσαύτην αὐτῷ σχολὴν εἶναι, ὥστε Διονυσίε μεμνῆσθαι.

Δεύτερον πρὸς νεώτερον ἦκε Διονύσιον, αἰτῶν γῆν καὶ ἀνθρώπες τὲς κατὰ τὴν πολιτείαν αὐτῷ ζησομένες. ὁ δὲ, καίπερ ὑποχόμενος, ἐκ ἐποίησεν. οἵτινες δέ φασι καὶ κινδυνεῦσαι αὐτὸν ὡς ἀπατεῶντα Δίωνα καὶ Θεώταν ὑπὲρ τῆς τῆς νήσε ἐλευθερίας· ὅτε καὶ Ἀρχύτας αὐτὸν ὁ Πυθαγορικὸς, γράψας ἐπιστολὴν πρὸς Διονύσιον, πα-

ρήτησαντο, καὶ διέσωσεν εἰς Ἀθήνας. ἔστι δὲ ἡ ὑπόθεσις ἥδε.

Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεσάλκαμεν παῖδες οἱ Πλάτωνος φίλοι πὼς περὶ Λαμίσκον τε καὶ Φατίδαν, ἀπολαμβόμενοι τὸν ἄνδρα ἐκ τᾶς πρὸς τὶν ὀργᾶς ὁμολογίαν. ὀρθῶς δὲ καὶ ποιεῖς, μιμνασκόμενος τᾶς φιλίας τᾶς ἀμμετέρας, καὶ πάντα ἄμμε παρεκάλεις ποτὶ τὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προθυμεῖσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὰν ἀσφάλειαν, μύθοντί τε καὶ ἀφορμιῶντι. μεμνᾶσο δὲ καὶ τούτου, ὅτι περὶ πολλοῦ ἐποιήσω τὰν ἄφιξιν αὐτοῦ. καὶ ἀγάπας ἐκ τούτου τοῦ χρόνου, ὡς ἥδιστά πων ἔσοιτο τίν. αἱ δέ τις γέγονε ταραχύτας, ἀνθρωπίζειν χρή, καὶ ἀποδιδόμεν ἀμῖν ἀβλαβῆ τὸν ἄνδρα. ταῦτα γὰρ ποιῶν, δίκαια πράξεις, καὶ ἀμῖν χαρεῖς.

Τοίνυν ἦλθε θαλάττων Δίωνα Διονυσίῳ· ὁ τυχὼν δέ, ἄπρακτος ἐπανῆλθεν εἰς τὰν πατρίδα.

Ἔνθα πολιτείας μὲν οὐκ ἥψατο, καίπερ πολιτικὸς ὢν ἐξ ὧν γέγραφεν. αἴτιον δὲ τὸ ἤδη τὸν δῆμον ἄλλοις πολιτεύμασιν ἐνειθίσθαι. φησὶ δὲ Παμφίλη ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ τῶν ὑπομνημάτων, ὡς Ἀρκάδες καὶ Θηβαῖοι μεγάλην πόλιν οἰκίζοντες παρεκάλεν αὐτὸν νομοθετεῖν· ὁ δὲ, μαθὼν ἴσον ἔχειν ὁ θέλοντας, οὐκ ἐπορεύθη.

Λόγος, ὅτι καὶ Χαβρίᾳ συνείπετο τῷ γραπτῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πρᾶξαι βεληθέντος. ὅτε καὶ αὐτοῦ εἰς τὴν ἀκρόπολιν συνῆν τῷ Χαβρίᾳ, Κράβυλος ὁ συκοφάντης ἀπαντήσας φησὶν, Ἄλλῳ συναγορεύων ἥκεις, ἀγνοῶν ὅτι καί σε τὸ Σω-

κρά-

κράτες κώνειον ἀναμῦξαι; τὸν δὲ φάναι, Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατολόμουν, ὑπέμενον τὰς κινδύνους· καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος καὶ φίλον ὑπομενῶ.

Ὕπερ πρῶτος ἐν ἐρωτήσει λόγον παρέσχεν, ὡς φησι Φανωλίνος ἐν ὀγδόῃ παντοδαπῆς ἱστορίας· καὶ πρῶτος τὸν ἐπὶ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατο Λεωδάμαντι τῷ Θασίῳ. καὶ πρῶτος ἐν φιλοσοφίᾳ ἀντίποδας ὠνόμασε, καὶ στοιχεῖον, καὶ διαλεκτικὴν, καὶ ποιήματα, καὶ τὸ ἐν ἀριθμοῖς τὸν πρόμηκη, καὶ τῶν περάτων τὴν ὀπίπεδον ὄψιν, καὶ θεῶν πρόνοιαν. καὶ πρῶτος τῶν φιλοσόφων ἀντεῖπε πρὸς τὸν λόγον τὸν Λυσίου τοῦ Κεφάλου, ἐκθέμενος αὐτὸν καὶ λέξιν ἐν τῷ Φαίδρῳ. καὶ πρῶτος ἐθεώρησε τῆς γραμματικῆς τὴν δύναμιν. πρῶτός τε ἀντειρηκὼς ἡδὺν ἅπασι τοῖς καὶ αὐτοῦ ζητεῖται διὰ τί μὴ ἐμνημόνευσε Δημοκρίτου.

Τοῦτον, φησὶν Νεάνθης ὁ Κυζικηνὸς, εἰς Ὀλύμπια ἀνιόντος, τοὺς Ἕλληνας ἅπαντας ἐπιγράψαι πρὸς αὐτόν· ὅτε καὶ Διόνυσιον συνέμιξε μέλλοντι στρατεύειν ὑπὸ Διονύσιον. ἐν δὲ τῷ πρώτῳ τῶν ὑπομνημονευμάτων Φαβωρῖνός φέρεται, ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδημίαν, καὶ ἐπέγραψε, Μιθριδάτης ὁ Ῥοδοβάτου Πέρσης μούσαις εἰκόνα ἀνέθετο Πλάτωνος, ἣν Σιλανίων ἐποίησε.

Φησὶ δ' Ἡρακλείδης ὅτι νέος ὢν ὕπνῳ μὲν ἀεὶ μόνον καὶ κόσμιος, ὥστε μηδέποτ' ὀφθῆναι γελῶν ὑπεράγαν.

Τοιοῦτος δ' ὤν, ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπεμπτος γοῦν ἐν Αὐτοχάρει φησὶν ἔπος,

--- οὐ γάρ ὄζειν ὑδὲ σύ.

Τὰ δὲ δύο μόλις σύ ἔζιν, ὡς φησι Πλάτων.

ἀλλὰ καὶ Ἀναξανδρίδης ἐν Θησεῖ·

Ὅτε τὰς μοείας ἔξωψν, ὥσπερ Πλάτων.

ἀλλὰ καὶ Τίμων, ὅτωσι διαγραμματίζων αὐτὸν,

Ὡς αὐέπλασε Πλάτων, πεπλασμένα θαύματα εἰδώς.

Ἄλεξις Μεροπίδι,

Εἰς καιρὸν ἥκεις. ὡς ἔγωγ' ὀτοτυμβύη
Ἄινω κάτω τε φθιπατὰς, ὥσπερ Πλάτων,
Σοφὸν ὁδὸν εὗρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

Καὶ ἐν Ἀγκυλίωνι,

Λέγεις περὶ ὧν ἐκ οἶδα, συγχωρῶς ἔχων
Πλάτωνι, καὶ γνώστ' λίξον καὶ πρόμμυον.

Ἄμφις Ἀμφικράτει,

Τὸ δ' ἀγαθὸν ὅ τι ποτ' ὄξιν, ὑ σὺ τυγχάνειν
Μέλλεις ἐμὲ παύτλω, ἥττον οἶδα τοῦτ' ἐγώ,
Ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν. Πρόσεχε δή.

Ἐν δὲ Δεξιδημίδη,

- - - ὦ Πλάτων,
Ὡς ὁδὸν οἶδα πλὴν σκυθρωπάζειν μόνον,
Ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Κρατῖνος ψευδυποβολιμαίῳ,

Ἄνθρωπος εἶ δηλαδότι, καὶ ψυχὴν ἔχεις.
Κατὰ μὴν Πλάτων' ἐκ οἶδα, ὑπονοῶ δ' ἔχειν.

Ἄλεξις Ὀλυμπιοδώρῳ,

Σω-

Σῶμά μὲν ἐμὲ τὸ θνητὸν αὖον ἐγένετο,
Τὸ δ' ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα·
Ταῦτ' ἐστὶ χολὴ Πλάτωνος;

Καὶ ἐν Παρασίτῳ,

Ἢ μὴ Πλάτωνος ἀδολεσχεῖν καταμόνας.

χλευάζει δ' αὐτὸν καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι καὶ Κίρκῃ καὶ Πλουσίαις.
Ἀριστιππος δ' ἐν τῷ τεταρτῳ περὶ παλαιᾶς τρυφῆς, φησὶν αὐτὸν Ἀστέρος μειρακίου τινὸς, ἀστρολογεῖν σωκρατικῶς ἐραθῆναι, ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου. οὕτω καὶ Φαίδρος φασί. δηλοῖ δὲ τὸν ἔρωτα αὐτοῦ τάδε τὰ ἐπιγράμματα, ἃ καὶ πρὸς αὐτοῦ φέρεσθαι εἰς αὐτὸν,

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
Οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σε βλέπω.

Καὶ ἄλλο,

Ἀστὴρ πρίν μὲν ἔλαμπες ἐν ζωοῖσιν ἑῶος,
Νυῦν δὲ θανὼν λάμπεις ἕσπερος ἐν φθιμένοις.

Εἰς δὲ τὸν Δίωνα ὧδε,

Ἄκρυα μὲν Ἐρεβεννὰ καὶ Γλαδιάτορι χαλκῷ
Μοῖραι ἐπέκλωσαν δήποτε γενομένῳ.
Σοὶ δὲ, Δίων, ῥέξαντι καλῶν ὑπερτάτων ἔργων,
Δαίμονες ἀρείας ἐλπίδας ἐξέχεαν.
Κεῖσαι δ' ἀρυχόρῳ ἐν παγίδι, τίμιος ἀστοῖς,
Ὢ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

καὶ ὅτι ἐπιγεγράφθαι φησὶν ἐν Συρακούσαις ἐπὶ τῷ τά-

φῳ. ἀλλὰ μὴν καὶ Ἀλέξιδος, φασὶν, ἐραθεὶς καὶ Φαίδρᾳ, καθὰ προείρηται, τοῦτον ἐποίησε τὸν τρόπον,

Νυῦ ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἰφ' ὅτι καλὸς
Ὤπται, καὶ πάντ' ἄστις ὅπισρέφεται.
Θυμὲ, τί μέλλεις κυσὶν ὀφέον; εἶτ' ἀνήσεις
Τέρον. οὐχ ὅτω Φαῖδρον ἀπωλέσαμεν;

ἔχειν τε Ἀρχεανάσσαν, εἰς ἣν καὶ αὐτὴν ὕτω ποιῆσαι,

Ἀρχεανάσσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
Ἧς καὶ ὅτ' ῥυτίδων ἔζετο δειμὺς ἔρως.
Ἄ δειλοὶ, νεόττος ἀπαντήσαντες ἐκείνης
Πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

Ἀλλὰ καὶ εἰς Ἀγάθωνα,

Τὴν ψυχὴν, Ἀγάθωνα φιλῶν, ὅτι χείλεσιν εἶχον.
Ἦλθε γὰρ ἡ τλήμων ὡς ἁβροσομένη.

Καὶ ἄλλο,

Τῷ μήλῳ βάλλωσε· σὺ δ' εἰ μὴ ἐκοῦσα φιλεῖς με,
Δεξαμενὴ, τῆς σῆς παρθενίης μετάδος.
Εἰ δ' ἄρ' ὃ μὴ γένοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
Σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.
Μῆλον ἐγὼ, βάλλει με φιλῶν σέ τις· ἀλλ' ὑπένδυσαι,
Ξανθίππη, κἀγὼ καὶ σὺ μαραινόμεθα.

φασὶ δὲ καὶ τὸ εἰς τὰς Ἐρετριάς τὰς σαγηνευθείσας αὐτῷ εἶναι·

Εὐ-

Εὐβοίης γενός ἡμῦ Ἐρεξικὸν, ἄγχι δὲ Σέσων
Κείμεθα· φεῦ γαίης πάσον ἀφ' ἡμετέρης.

Καὶ εἶνο,

Ἀ" Κύπρις Μέσαισι, Κορασία πὰν Ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
Αἱ Μῶσαι ποτὶ Κύπριν, Ἄρει τὰ σωμύλα ταῦτα·
Ἡμῖν ἐ πέπαται τᾶτο τὸ παιδάριον.

Καὶ ἄλλο,

Χρυσὸν αἰὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν ἐχ εὑρὼν, ἦψεν ὃν εὗρε βρόχον.

Ἀλλά τοι Μόλων ἀπεχθῶς ἔχων πρὸς αὐτὸν, Οὐ τᾶτο, φησὶ, θαυμαςὸν εἰ Διονύσιος ἐν Κορίνθῳ, ἀλλ' εἰ Πλάτων ἐν Σικελίᾳ. ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν ἔχειν ἐκ ἰλαρῶς. ὥσπερ γὰρ ἐκεῖνος φιλονεικήσας, τὰ ὅμοια γεγράφασι, Συμπόσιον, Σωκράτες ἀπολογίαν, τὰ Ἠθικὰ ἀπομνημονεύματα. εἶθ' ὁ μὲν, πολιτείαν· ὁ δὲ, Κύρε παιδείαν. καὶ ἐν τοῖς νόμοις ὁ Πλάτων πλάσμα φησὶν εἶναι τὴν παιδείαν αὐτᾶ· μὴ δὲ εἶναι Κῦρον τοιᾶτον, ἀμφότεροί τε Σωκράτες μνημονεύοντες, ἀλλήλων ἐδάμᾶ, πλὴν Ξενοφῶν Πλάτωνος ἐν βίβλῳ τῷ ἀπομνημονευμάτων. λέγεται δ' ὅτι καὶ Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῷ γεγραμμένων αὐτῷ, παρεκάλεσεν αὐτὸν ἀκροατὴν γενέσθαι. καὶ πυθόμενος τί μέλλει ἀναγινώσκειν, εἶπεν, ὅτι Περὶ τᾶ μὴ εἶναι ἀντιλέγειν. τᾶ δ' εἰπόντος, Πῶς ἂν σὺ ἀκροὶ αὐτᾶ τᾶτο γράφεις; καὶ διδάσκοντος ὅτι ἀκροβρέπεται, ἔγραψε δάλογον κατὰ Πλάτωνος, Σάθωνα ἐπιγράψας. ἐξ ἃ διετέλεν ἀλε-

ξίως ἔχοντες πρὸς ἀλλήλους. φασὶ δὲ καὶ Σωκράτους ἀκούσαντα τὸν Λύσιν ἀναγινώσκοντος Πλάτωνος, Ἡράκλεις, εἰπεῖν, ὡς πολλά μου κατεψεύδετ' ὁ νεανίσκος. ὃν ὀλίγα ἦν ἃ οὐκ εἴρηκε Σωκράτης, γέγραφεν ἀνήρ. εἶχε δὲ φιλέλληνας ὁ Πλάτων καὶ πρὸς Ἀρίσιππον. ἐν γοῦν τῷ περὶ ψυχῆς διαβάλλων αὐτόν φησιν, ὅτι οὐ παρεγένετο Σωκράτει τελευτῶντι, ἀλλ' ἐν Αἰγίνῃ ἦν καὶ συνέγγυς. καὶ πρὸς Αἰσχίνην δέ τινα φιλοτιμίαν εἶχε. φασὶ δ' ὅτι δι' ὃν καὶ αὐτὸς ἐδοκίμει πρὸς Διονύσιον. ὃν ἐλθόντα δι' ἀπορίαν, ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀρίστιππου συσκιθῆναι. τοὺς τε λόγους οὓς Κείτῳ περιέθεικεν, ἐν τῷ δεσμωτηρίῳ περὶ τῆς ψυχῆς συμβαλλόντι, φησὶν Ἑρμοδώρους εἶναι Αἰσχίνου· τὸν δ' ἐκείνῳ περιθεῖναι διὰ τινὰ πρὸς τοῦτον δυσμένειαν. αὐτὸς δὲ Πλάτων ἐδαμοῦ τῇ ἑαυτοῦ συγγραμμάτων μνήμην πεποίηται, ὅτι μὴ ἐν τῷ περὶ ψυχῆς, καὶ ἀπολογίᾳ.

Φησὶ δ' Ἀριστοτέλης τινὰ τῶν λόγων ἰδίαν αὐτοῦ, μεταξὺ ποιήματος εἶναι καὶ πεζοῦ λόγου. τοῦτον μόνον προσμεῖναι Πλάτωνι Φαβωρῖνός που φησὶν ἀναγινώσκοντι τὸν περὶ ψυχῆς, τοὺς δ' ἄλλους ἀπασιῶσαι πάντας. εἰσί τε φασὶν ὅτι Φίλιππος ὁ Ὀπούντιος τοὺς νόμους αὐτοῦ μετέγραψεν ὄντας ἐν κηρῷ. τοῦτον δὲ καὶ τινὲς Ἐπινομίδα φασὶν εἶναι. Εὐφορίων δὲ καὶ Παναίτιος εἰρήκασι, πολλάκις ἐγχειρήσαι λέγειν τινὰ ἀρχὴν τῆς πολιτείας, εἶτα πολιτείαν Ἀνεξόνυμος φησι πᾶσαν γεγράφθαι ἀντιλογικοῖς. λόγον δὲ πρῶτον γράψαι αὐτὸν τὸν Φαῖδρον· καὶ γὰρ ἔχει μειρακιώδες τι τὸ πρόβλημα· Δικαίαρχος δὲ καὶ τὸν τρόπον τῆς γραφῆς ὅλον ὑπομέμφεται, ὡς φορτικόν.

Ὁ γοῦν Πλάτων λέγεται, θεασάμενός τινα κυβεύοντα,

τω, αἰτιάσασθαι. τὸν δὲ εἰπόντος, ὡς ὅτι μικροῖς, Ἀλλὰ τό γε ἦθος, εἶπεν, ὦ μικρόν. ἐρωτηθεὶς εἰ ἀπομνημόνευμά τι αὐτοῦ ἔσται ὥσπερ τῶν πρότερον, ἀπεκρίνατο, Ὀνόματος δεῖ τυχεῖν πρῶτον, εἶτα πολλὰ ἔσαι. εἰσελθόντος ποτὲ Ξενοκράτους, εἶπε μαστιγῶσαι τὸν παῖδα· αὐτὸν γὰρ μὴ δύνασθαι, διὰ τὸ ὠργίσθαι. ἀλλὰ καὶ πρός τινα τῶν παίδων, Μεμαστίγωσο αὖ, εἶπεν, εἰ μὴ ὠργιζόμην. ἐφ' ἵππου καθίσας, δι' ὕδατος κατέβη, φήσας δύλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ. τοῖς μεθύουσι συνεβούλευε καταπρίζεσθαι· ἀποσήπεσθαι γὰρ τῆς τοιαύτης ἀφυμοσύνης. πίνειν δ' εἰς μέθην ὑδαμῶ πρέπον ἔλεγε, πλὴν ἐν ταῖς ἑορταῖς τῷ καὶ τὸν οἶνον δόντος θεῷ. καὶ τὸ πολλὰ δὲ καθεύδειν ἀπήρεσκεν αὐτῷ. ἐν γοῦν τοῖς νόμοις φησί, Κοιμώμενος δὲ ἐδεὶς ἑαυτοῦ ἄξιος. εἶναι δὲ ἥδιστον τῶν ἀκουσμάτων τὴν ἀλήθειαν· οἱ δὲ, τὸ λέγειν τἀληθῆ. καὶ περὶ ἀληθείας δ' ἐν τοῖς νόμοις φησὶν ὅτως, Καλὸν μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνιμον· ἔοικε δὲ ῥᾴδιον πεῖθειν.

Ἀλλὰ καὶ ἠξίου μνημόσυνον αὑτοῦ λείπεσθαι ἢ ἐν φίλοις, ἢ ἐν βίβλοις.

Ἐξεπόνησε δὲ καὶ αὐτὸς τὰ πλεῖστα, καθά τινες φασί.

Καὶ ἐτελεύτα μὲν ὁ ἐπομβρόπον, Φιλίππου βασιλεύοντος ἔτος ἕνδεκαιδέκατον, καθά καὶ Φαβωρῖνος φησὶν ἐν ἀπομνημονευμάτων τρίτῳ· ὑφ' ὃν καὶ ἐτιμήθη σαι φησὶν αὐτὸν Θεόπομπος. Μυρωνιανὸς δ' ἐν ὁμοίοις φησί, Φίλωνα παροιμίας μνημονεύειν περὶ τῆς Πλάτωνος ἀφετηρῶν, ὡς ὅτως αὐτῷ τελευτήσαντος.

Καὶ ἐτάφη ἐν τῇ Ἀκαδημίᾳ, ἔνθα τὸν πλεῖστον χρόνον διετέλεσε φιλοσοφῶν. ὅθεν καὶ Ἀκαδημαϊκὴ προσηγορεύθη ἡ ἀπ' αὐτοῦ αἵρεσις. καὶ παρεπέμφθη πανδημεὶ πρὸς τῆς αὐτόθι, διὰ θέμενος τὸν τόπον τὸν.

Τά-

Τάδε κατέλιπε Πλάτων ἡ διέθετο· τὸ Ἐ῾ιφισιάδων χωρίον, ᾧ γείτων βορρᾶθεν ἡ ὁδὸς ἡ ἐκ τῆς Κηφισιάσιν ἱερᾶς, νότοθεν τὸ Ἡ῾ράκλειον τὸ ἐν Ἡ῾φαισιάδων, πρὸς ἡλίου δὲ ἀνίοντος Ἀ῾ρχέστρατος Φρεάριος, πρὸς ἡλίου δὲ δυομένου Φίλιππος Χολιδεύς. ἡ μὴ ἐξέσω τοῦτο μηδενὶ μήτε ὑποδόσθαι, μήτε ἀλλάξασθαι, ἀλλ᾽ ἔσω Ἀ῾δειμάντου τοῦ παιδὸς εἰς τὸ δυνατόν. ἡ τὸ ἐν Ἐ῾λαιάδων χωρίον, ὃ παρὰ Καλλιμάχου ἐωρίαμεν, ᾧ γείτων βορρᾶθεν Εὐρυμέδων Μυρρινούσιος, νότοθεν δὲ Δημόστρατος Ξυπετέρων, πρὸς ἡλίου ἀνίοντος Εὐρυμέδων Μυρρινούσιος. πρὸς ἡλίου δυομένου Κηφισός. ἀργυρίου μνᾶς ξ ἑξῆς· φιάλην ἀργυρᾶν, ἔλκουσαν ῥξ᾽ ἑ· κυμβεῖον ἄγων μ᾽ ἑ· δακτύλιον χρυσοῦν, ἡ ἐνώτιον χρυσοῦν, ἄγοντα σωμάτιον δ᾽ δραχμάς, ὀβολοὺς τρεῖς. Εὐκλείδης ὁ λιθοτόμος ὀφείλει μοι ξ ἑξῆς μνᾶς· Ἄ῾ρτεμιν ἀφίημι ἐλευθέραν. οἰκέτας καταλείπω, Τύχωνα, Βίκτωρα, Ἀ῾πολλωνιάδην, Διονύσιον. σκεύη τὰ γεγραμμένα, ὧν ἔχει τὰ ἀντίγραφα Δημήτριος. ὀφείλω δ᾽ οὐδενὶ οὐδέν. ἔ῾πιτροποι δέ, Σωσθένης, Σπεύσιππος, Δημήτριος, Η῾γίας, Εὐρυμέδων, Καλλίμαχος, Θράσιππος· καὶ διέθετο μὲν ὅτως. ἐπεγράφη δ᾽ αὐτῷ ἐπιγράμματα τάδε. Πρῶτον,

Σωφροσύνῃ προφέρων ἀνιπῶν ἤθεϊ τε δικαίῳ,
Ε῾νθάδε δὴ κεῖται δῖος Ἀ῾ρισοκλέης.
Εἰ δέ τις ἐκ παίντων σοφίης μέγαν ἔχει ἔπαινον,
Τοῦτον ἔχειν πλεῖσον, καὶ φθόνος οὐχ ἕπεται.

Ἕ῾τερον δὲ,

Γαῖα μὲν ἐν κόλπῳ κρύπτει τόδε σῶμα Πλάτωνος,
Ψυχὴ δ᾽ ἀθανάτων τάξιν ἔχει μακάρων·
Τίς Ἀ῾ρίστωνος, πάντις καὶ πλόῳ ναίων
Τιμᾷ ἀνὴρ ἀγαθὸς θεῖον ἰδόντα βίον.

Καὶ

Καὶ ἄλλο δὲ νεώτερον,

Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος, εἰπὲ,
Ἀστερόεντα θεῶν δίκον ἀποσκοπέεις;
Ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης εἰς Ὄλυμπον
Εἰκών, σῶμα δὲ τᾶς γηραιὰς Ἀτθὶς ἔχει.

Ἔτι καὶ ἡμέτερον ἄπως ἔχον,

Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
Ψυχὰς ἀνθρώπων γράμμασιν ἡμέσατο;
Καὶ γὰρ ὁ τᾶδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
Σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

Καὶ ἄλλο, ὡς ἐπιδύτα·

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα·
Τὸν μὲν, ἵνα ψυχὰς, τὸν δ', ἵνα σώματα σάοι.
Δαισάμενος δὲ γάμον πόλιν ἦλυθεν ἣν ποτε αὐτῷ
Ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

Καὶ τὰ μὲν ἐπιγράμματα ταῦτα.

Μαθηταὶ δ' αὐτοῦ, Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης Χαλκηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος ὁ Ὀπούντιος, Ἑρμίας Περίνθιος, Δίων Συρακόσιος, Ἄμυκλος Ἡρακλεώτης, Ἔραστος καὶ Κορίσκος Σκήψιοι, Τιμόλαος Κυζικηνὸς, Εὐαίων Λαμψακηνὸς, Πίθων καὶ Ἡρακλείδης Αἴνιοι, Ἱπποθαλῆς καὶ Καλλιππος Ἀθηναῖοι, Δημήτριος Ἀμφιπολίτης, Ἡρακλείδης Ποντικὸς, καὶ ἄλλοι πλείους, σὺν οἷς καὶ γυναῖκες δύο, Λαθυέρεια Μαντινική, καὶ Ἀξιοθέα Φλιασία, ἃ καὶ αὐδρεῖα ἠμπίσχετο, ὥς φησι Δικαίαρχος. οἱ δὲ καὶ Θεόφραστον ἀκοῦσαι φασὶν αὐτοῦ. καὶ Ἑρμόδωρον τὸν ῥήτο-

ρα

ρα Χαμαιλέων φησὶ, καὶ Λυκοῦργον· ὁμοίως Πολέμων ἱστορεῖ καὶ Δημοδόκου. Σαβῖνος λέγει καὶ Μνησίστρατον Θάσιον, Φλιασίου δ' μαθητὴν ὄντα. καὶ εἰκός ἐστι.

Φιλοπλάτωνι δέ σοι δικαίως ὑπαρχέτω, καὶ παρόντι νῦν τὰ τῆς φιλοσόφου δόγματα φιλοτίμως ζητοῦντι, ἀναγκαῖον ἡγησάμενον ὑπογράψαι καὶ τὴν φύσιν τοῦ λόγου, καὶ τὴν τάξιν τῶν διαλόγων, καὶ τὴν ἐφοδον τῆς ἐπαγωγῆς, ὡς οἷόν τε στοιχειωδῶς καὶ ὅλη κεφαλαίων, πρὸς τὸ μὴ ἀμοιρεῖν αὐτὸν τῆς δογμάτων τῶν περὶ τὸν βίον συναγωγῶν. γλαῦκα γὰρ εἰς Ἀθήνας, φασὶν, εἰ δέησοι τὰ κατ' εἶδος διηγεῖσθαι. διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζώπυρον τὸν Ἐλεάτην. Ἀριστοτέλης δὲ ἐν πρώτῳ περὶ ποιητῶν Ἀλεξαμενὸν Στρατέα ἢ Τήιον, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι. δοκεῖ δέ μοι Πλάτων, ἀκριβώσας τὸ εἶδος, καὶ τὰ πρωτεῖα δικαίως ἂν ὥσπερ τὰ κάλλη ὕπω καὶ τῆς αἱρέσεως ἀποφέρεσθαι. ἔστι δὲ διάλογος λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περίτινος τῶν φιλοσοφουμένων καὶ πολιτικῶν, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, καὶ τῆς κατὰ τὸ λέξιν κατασκευῆς. διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν, ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων. τῶν δὲ λόγων τῶν Πλατωνικῶν δύο εἰσὶν ἀνωτάτω χαρακτῆρες· ὅ τε ὑφηγητικὸς, καὶ ὁ ζητητικός. διαιρεῖται δ' ὁ ὑφηγητικὸς εἰς δύο ἄλλους χαρακτῆρας· θεωρηματικόν τε, καὶ πρακτικόν. καὶ τοῦ, ὁ μὲν θεωρηματικὸς εἰς τὸν φυσικὸν καὶ λογικόν· ὁ δὲ πρακτικὸς, εἰς τὸν φυσικὸν καὶ λογικόν· ὁ δὲ πρακτικὸς, εἰς τὸν ἠθικὸν καὶ πολιτικόν. τῶν δὲ ζητητικῶν, καὶ αὐτῶν δύο εἰσὶν οἱ πρῶτοι χαρακτῆρες· ὅ τε γυμναστικὸς, καὶ ἀγωνιστικός. καὶ τῶν μὲν γυμνα-

στι-

σικὸν, μαιευτικός τε καὶ πειραστικός. τὸ δὲ ἀγωνιστικὸν, ἐνδεικτικὸς καὶ ἀναξεπτικός. ἔοικε δ' ἡμᾶς ὅτι τινὲς ἄλλως διαφέρειν τοὺς διαλόγους φασί. λέγουσι γὰρ αὐτῶν τοὺς μὲν δραματικοὺς, τοὺς δὲ διηγηματικοὺς, τοὺς δὲ μικτούς. ἀλλ' ἐκεῖνοι μὲν ξαγικῶς μᾶλλον ἢ φιλοσόφως τὴν διαφορὰν τῶν διαλόγων προσωνόμασαν. εἰσὶ δὲ τὰ μὲν φυσικὰ, οἷον ὁ Τίμαιος. τὰ δὲ λογικὰ, ὅτε Πολιτικὸς καὶ ὁ Κρατύλος, καὶ Παρμενίδης, καὶ Σοφιστής. τὰ δ' ἠθικὰ, ἥτε Ἀπολογία, καὶ ὁ Κρίτων, καὶ Φαίδων, καὶ Φαῖδρος. καὶ τὸ Συμπόσιον, Μενέξενός τε, καὶ Κλειτοφῶν, καὶ Ἐπιστολαὶ, καὶ Φίληβος, Γοργίας, Ἀντερασταί. τὰ δὲ πολιτικὰ ἥτε Πολιτεία, καὶ οἱ Νόμοι, καὶ ὁ Μίνως, καὶ Ἐπινομὶς, καὶ ὁ Ἀτλαντικός. τὰ δὲ μαιευτικὰ, Ἀλκιβιάδαι, Θεάγης, Λύσις, Λάχης. τὰ δὲ πειραστικὰ, Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης, Θεαίτητος. τὰ δὲ ἐνδεικτικὰ, ὡς ὁ Πρωταγόρας. καὶ τὰ ἀναξεπτικὰ, Εὐθύδημος, Ἱππίαι δύο, Γοργίας. καὶ περὶ μὲν διαλόγου, τί ποτέ ἐστι, καὶ τίνες αὐτοῦ διαφοραὶ, ἀπόχρη λέγειν.

Ἐπεὶ δὲ πολλὴ φάσις ἐστὶ, καὶ οἱ μὲν φασὶν αὐτὸν δογματίζειν, οἱ δ' οὔ, φέρε καὶ περὶ τούτων διαλάβωμεν. αὐτὸ τοίνυν τὸ δογματίζειν ἐστὶ δόγμα τιθέναι, ὡς τὸ νομοθετεῖν, νόμους τιθέναι. δόγμα δὲ ἑκατέρως καλεῖται, τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον, πρότασίς ἐστιν· ἡ δὲ δόξα, ὑπόληψις. ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεττάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου. εἰσὶ δ' οἱ ξένοι οὐχ, ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης, ἀλλὰ πλάσματά

εἰσιν

εἰσιν ἀνώνυμα. ἐπεὶ καὶ τὰ Σωκράτους, καὶ τὰ Τιμαίου λέγων Πλάτων δογματίζει. περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει, οἷον Θρασύμαχον καὶ Καλλικλέα, καὶ Πῶλον, Γοργίαν τε καὶ Πρωταγόραν. ἔτι δ' Ἱππίαν καὶ Εὐθύδημον, καὶ δὴ καὶ τοὺς ὁμοίους. ποιεῖσθαι δὴ τὰς ἀποδείξεις πλείοσι χρῆται τῷ τῆς ἐπαγωγῆς τρόπῳ, οὐ μόνῳ μονοτρόπως, ἀλλὰ διχῇ. ἔστι μὲν γὰρ ἐπαγωγὴ, λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον ἑαυτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ τρόποι, ὅτε κατ' ἐναντίωσιν, καὶ ὁ ἐκ τῆς ἀκολουθίας. ὁ μὲν ἔν κατ' ἐναντίωσιν, ἐστὶν ὅτε τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ὑπόκεισιν ἀκολουθήσει τὸ ἐναντίον. οἷον, Ὁ ἐμὸς πατὴρ τοῦ σοῦ πατρὶ ἅπτοι ἕτερός ἐστιν, ἢ ὁ αὐτός. εἰ μὲν οὖν ἕτερός ἐστι τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατήρ, πατρὸς ἕτερος ὤν, οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ αὐτός ἐστι τῷ ἐμῷ πατρὶ, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ, ὁ ἐμὸς ἂν εἴη πατήρ. καὶ πάλιν, Εἰ μή ἐστι ζῷον ὁ ἄνθρωπος, λίθος ἂν εἴη, ἢ ξύλον. οὐκ ἔστι δὲ λίθος ἢ ξύλον· ἔμψυχον γάρ ἐστι, καὶ ἐξ αὑτοῦ κινεῖται. ζῷον ἄρα ἐστίν· εἰ δὲ ζῷόν ἐστι, ζῷον δὲ καὶ κύων καὶ ὁ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος ζῷον καὶ κύων καὶ βοῦς. καὶ ὅτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν καὶ μάχιμος τρόπος ᾧ ἐχρῆτο, οὐ πρὸς τὸ δογματίζειν, ἀλλὰ πρὸς τὸ διελέγχειν. ὁ δὲ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς· ὁ μὲν, τὸ ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ὁμοίου μέρους ὑποδεικνύς· ὁ δὲ τὸ καθόλου διὰ τοῦ ἐπὶ μέρους πιστούμενος. καὶ ἔστιν ὁ μὲν πρότερος, ῥητορικός· ὁ δὲ δεύτερος, διαλεκτικός. οἷον ἐν τῷ προτέρῳ ζητεῖται, εἰ ὅδε ἀπέκτεινεν· ὑποδείξις, τὸ δύνασθαι αὐτὸν κατ' ἐκεῖνον τὸν χρόνον μεμαγμένον. ῥητορικός δ' ἐστὶν ὁ τρόπος τῆς ἐπαγωγῆς ὅτος· ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ὁπὶ μέρους, καὶ τὰ καθόλου τοῦ πραγματείαν ἔχει. ζητεῖ γὰρ

ὁ πε-

ὲ περὶ αὐτῆ τῆ δικαίε, ἀλλὰ περὶ τῆ ὅλη μέρες δικαίων. ὁ δ' ἕτερός ἐςι διαλεκτικός, προαποδειχθέντος τῆ καθόλε διὰ τῆ ὅλη μέρες, οἷον ζητεῖται εἰ ἡ ψυχὴ ἀθανάτος, ἢ εἰ ἐκ τῆ τεθνεώτων οἱ ζῶντες. ὅπερ δέτοδείκνυται ἐν τῷ περὶ ψυχῆς διά τινος καθολικῆ, ὅτι ἐκ τῆ ἐναντίων τὰ ἐναντία. ἢ αὐτὸ δὲ τὸ καθόλε κατασκευάζεται, ἐκ τινῶν ὄντων ὅλη μέρες. οἷον ὅτι τὸ καθεύδειν ἐκ τε ἐγρηγορέναι, ἢ ἀνάπαλιν· ἢ τὸ μείζον ἐκ τε μικροτέρε, ἢ ἀνάπαλιν. τέτῳ δὲ ἐχρῆτο εἰς τὴν τῆ ἑαυτῆ δοκέντων κατασκευήν.

ΩΣπερ δὲ τὸ παλαιὸν ἐν τῇ ζαγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕςερον δὲ Θέσπις εὗρε ὑποκριτὴν ἕνα ἐξεῦρεν ὑπὲρ τε διαναπαύεσθαι τὸν χορὸν, ἢ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, ἢ συνεπλήρωσαν τὴν ζαγῳδίαν· ὕτως ἢ τῆς φιλοσοφίας ὁ λόγος, πρότερον μὲν ἦν μονοειδὴς, ὡς ὁ φυσικός· δεύτερον δὲ Σωκράτης προσεύρηκε τὸν ἠθικόν· τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν, ἢ ἐτελεσιούργησε τὴν φιλοσοφίαν.

Θρασύλλος δέ φησι καὶ κατὰ τὴν ζαγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς διαλόγους. οἷον ἐκεῖνοι τέτρασι δράμασιν ἠγωνίζοντο, Διονυσίοις, Λιναίοις, Παναθηναίοις, Χύτροις, ὧν τὸ τέταρτον ἦν Σατυρικόν. τὰ δὲ τέτταρα δράματα ἐκαλεῖτο Τετραλογία. εἰσὶ τοίνυν, φησὶν, οἱ πάντες αὐτῷ γνήσιοι διάλογοι, ἓξ καὶ πεντήκοντα· τῆς μὲν πολιτείας εἰς δέκα διαιρεμένης (ἣν καὶ εἰσκεῖσθαι χεδόν ὅλην τῷ Πρωταγόρᾳ ἐν τοῖς ἀντιλογικοῖς, φησὶ Φαβωρῖνος ἐν παντοδαπῆς ἱστορίας δευτέρῳ) τῆ δὲ νόμων, εἰς δυοκαίδεκα. τετραλογίαι δὲ ἐννέα, σὺς βιβλίοις χώραν ἐπεχούσης τῆς πολιτείας, ἢ σὺς τῆ νόμων. πρώτην μὲν ἐν τετραλογίαν τίθησι, τὴν κοινὴν ὑπόθεσιν ἔχουσαν· τῷ δεῖξαι δὲ βέλεται

ὁποῖος

ὁποῖος ἂν εἴη ὁ τῶ φιλοσόφω βίος, διπλαῖς δὲ χρῆται ταῖς ἐπιγραφαῖς ἑκάστω τῶν βιβλίων· τῇ μὲν, ἀπὸ τοῦ ὀνόματος· τῇ δὲ, ἀπὸ τοῦ πράγματος. ταύτης τῆς τετραλογίας, ἥτις δεῖ πρώτη, ἡγεῖται Εὐθύφρων, ἢ Περὶ ὁσίου· ὁ δεύτερος δ' ἐστὶ πειρασικός. δεύτερος, Ἀπολογία Σωκράτους, ἠθικός· τρίτος, Κρίτων, ἢ Περὶ πρακτέου, ἠθικός. τέταρτος, Φαίδων, ἢ Περὶ ψυχῆς, ἠθικός. δευτέρα τετραλογία, ἧς ἡγεῖται Κρατύλος, ἢ Περὶ ὀρθότητος ὀνομάτων, λογικός· Θεαίτητος, ἢ Περὶ ἐπιστήμης, πειρασικός· Σοφιστὴς, ἢ Περὶ τοῦ ὄντος, λογικός. Πολιτικὸς, ἢ Περὶ βασιλείας, λογικός. τῆς τρίτης ἡγεῖται Παρμενίδης, ἢ Περὶ ἰδεῶν, λογικός· Φίληβος, ἢ Περὶ ἡδονῆς, ἠθικός. Συμπόσιον, ἢ Περὶ ἀγαθοῦ, ἠθικός. Φαῖδρος, ἢ Περὶ ἔρωτος, ἠθικός. τῆς τετάρτης ἡγεῖται Ἀλκιβιάδης, ἢ Περὶ ἀνθρώπου φύσεως, μαιευτικός· Ἀλκιβιάδης δεύτερος, ἢ Περὶ προσευχῆς, μαιευτικός· Ἵππαρχος, ἢ Φιλοκερδὴς, ἠθικός. Ἀνταγωνισταὶ, ἢ Περὶ φιλοσοφίας, ἠθικός· τῆς πέμπτης ἡγεῖται Θεάγης, ἢ Περὶ φιλοσοφίας, μαιευτικός· Χαρμίδης, ἢ Περὶ σωφροσύνης, πειρασικός· Λάχης, ἢ Περὶ ἀνδρείας, μαιευτικός· Λύσις, ἢ Περὶ φιλίας, μαιευτικός. τῆς ἕκτης ἡγεῖται Εὐθύδημος, ἢ Ἐριστικὸς, ἀναιρετικός· Πρωταγόρας, ἢ Σοφισταὶ, ἐνδεικτικός· Γοργίας, ἢ Περὶ ῥητορικῆς, ἀναιρετικός. Μένων, ἢ Περὶ ἀρετῆς, πειρασικός. τῆς ἑβδόμης ἡγοῦνται Ἵππίαι δύο· πρῶτος, ἢ Περὶ τοῦ καλοῦ· δεύτερος, ἢ Περὶ τοῦ ψεύδους, ἀναιρετικοί. Ἴων ἢ Περὶ Ἰλιάδος, πειρασικός· Μενέξενος, ἢ Ἐπιτάφιος, ἠθικός· τῆς ὀγδόης ἡγεῖται Κλειτοφῶν, ἢ Προτρεπτικὸς, ἠθικός· Πολιτεία, ἢ Περὶ δικαίου, πολιτικός· Τίμαιος, ἢ Περὶ φύσεως, φυσικός· Κριτίας, ἢ Ἀτλαντικὸς, ἠθικός.

θικός· τῆς συνάπτης ἡγεῖται Μίνως, ἢ Περὶ νόμου, πολιτικός. Νόμοι, ἢ Περὶ νομοθεσίας, πολιτικός· Ἐπινομίς, ἢ Νυκτερινὸς σύλλογος, ἢ Φιλόσοφος, πολιτικός.

Ἐπιστολαὶ ξ, ἠθικαί· ἐν αἷς ἔγραφεν, Εὖ πράττειν· (Ἐπίκουρος δὲ, Εὖ ζῆν· Κλέων, Χαίρειν) πρὸς Ἀρισόδημον, μία· πρὸς Ἀρχύταν, δύο· πρὸς Διονύσιον, τέτταρες· πρὸς Ἑρμείαν, καὶ Ἔρασον, καὶ Κορίσκον, μία· πρὸς Λεωδάμαντα, μία· πρὸς Περδίκκαν μία· πρὸς τοὺς Δίωνος οἰκείους, δύο. καὶ ἕτος μὲν ἕτω διαιρεῖ, καί τινες.

Ἔνιοι δέ, ὧν ἔστι καὶ Ἀριστοφάνης ὁ γραμματικὸς, εἰς ξ λογίας ἔλκουσι τοὺς διαλόγους. καὶ πρώτους μὲν τιθέασιν, ἃς ἡγεῖται Πολιτεία, Τίμαιος, Κριτίας· δευτέραν, Σοφιστὴς, Πολιτικὸς, Κρατύλος· τρίτην, Νόμοι, Μίνως, Ἐπινομίς· τετάρτην, Θεαίτητος, Εὐθύφρων, Ἀπολογία· πέμπτην, Κρίτων, Φαίδων, Ἐπιστολαί. τοὺς δ' ἄλλα καθ' αὑ, καὶ ἀπάντως. ἄρχονται δὲ, οἱ μὲν, ὡς προείρηται, ἀπὸ τῆς Πολιτείας· οἱ δ', ἀπὸ Ἀλκιβιάδου μείζονος· οἱ δ', ἀπὸ Θεάγους. εἰσὶ δὲ, Εὐθύφρονος. ἄλλοι, Κλειτοφῶντος· τινὲς, Τιμαίου· οἱ δ', ἀπὸ Φαίδρου· ἕτεροι, Θεαιτήτου. πολλοὶ δὲ Ἀπολογίαν τὴν ἀρχὴν ποιοῦνται. νοθεύονται δὲ τῶν διαλόγων ὁμολογουμένως Μίδων ἢ Ἱπποσθένης, Ἐρυξίας ἢ Ἐρασίστρατος, Ἀλκυών, Ἀκέφαλος ἢ Σίσυφος, Ἀξίοχος, Φαίακος, Δημοδόκος, Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης. ὧν ἡ Ἀλκυών, Λεόντιός τινος εἶναι δοκεῖ, καθάφησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν ὑπομνημονευμάτων.

Ὀνόμασι δὲ κέχρηται ποικίλοις, πρὸς τὸ μὴ εὐσύνοπτον εἶναι τοῖς ἀμαθέσι τὴν πραγματείαν. διαίτατα

μὲν σοφίαν ἡγεῖται εἶναι τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην, ὡς φησι περὶ θεοῦ καὶ ψυχῆς σώματος κεχαρισμένως. ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας σοφίας. κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ παῦσα ἐμπειρία· οἷον ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν. χρῆται δὲ καὶ ἐπὶ διαφερόντων σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν. ὁ γὰρ φαῦλος λέγεται παρ' αὐτῷ καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρὰ Εὐριπίδῃ ἐν Λυκιμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὕτως,

Φαῦλον, ἄκομπον, τὰ μέγιστ' ἀγαθόν,
Πᾶσαν ἐν ἔργῳ τολμηρόμυθον
Σοφίαν, λέχης ἀξίβωτα.

χρῆται δὲ ὁ Πλάτων ἐνίοτε αὐτῷ καὶ περὶ τοῦ καλοῦ· ἔστι δ' ὅτε καὶ ἐπὶ τοῦ μικροῦ. πολλάκις δὲ καὶ διαφέρουσιν ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου χρῆται. τὴν γὰρ ἰδέαν, καὶ εἶδος ὀνομάζει, καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχήν, καὶ αἴτιον. χρῆται δὲ καὶ ταῖς ἐναντίαις φωναῖς ἐπὶ τοῦ αὐτοῦ. τὸ γὰρ ἀιδητὸν, καὶ ὂν καλεῖ καὶ μὴ ὄν· ἓν μὲν, διὰ τὸ γένεσιν αὐτοῦ εἶναι· μὴ ὂν δὲ, διὰ τὴν συνεχῆ μεταβολήν. καὶ τὴν ἰδέαν, ἔτε κινούμενον, ἔτε μένον. καὶ ταυτὸ, καὶ ἕν, καὶ πολλά. τὸ δ' αὐτὸ καὶ ἐπὶ πλειόνων εἰθίσαι ποιεῖν· ἔστι δὲ ἡ ἐξήγησις τῶν λόγων αὐτοῦ διπλῆ. πρῶτον μὲν γὰρ ἐκδιδάξαι χρὴ ὅ, τί ἐστὶν ἕκαστον τῶν λεγομένων· ἔπειτα, τίνος ἕνεκα λέλεκται, πότερα κατὰ προηγούμενον, ἢ ἐν εἰκόνος μέρει, καὶ εἰς δογμάτων κατασκευὴν, ἢ εἰς ἔλεγχον τοῦ προσδιαλεγομένου· τὸ δὲ ζήτον, εἰ ὀρθῶς λέλεκται.

Ἐπεὶ δὲ καὶ σημεῖα τινὰ τοῖς βιβλίοις αὐτοῦ προτίθενται, φέρε καὶ περὶ τούτων τι εἰπωμεν. χ'. λαμβάνεται

καὶ πρὸς τὰς λέξεις ἢ τὰ χώματα, ἢ ὅλως τὴν Πλάτωνικὴν σωφροσύνην. διπλῆ = πρὸς τὰ δόγματα, καὶ τὰ ἀρέσκοντα Πλάτωνι· · Χ· περισιγμένον, πρὸς τὰς ἐκλογὰς καὶ καλλιγραφίας· διπλῆ περισιγμένη, πρὸς τὰς ἐνίων διορθώσεις· ὀβελὸς περισιγμένος, πρὸς τὰς εἰκαίας ἀθετήσεις· ἀντίσιγμα περισιγμένον, πρὸς τὰς διττὰς χρήσεις ἢ μεταθέσεις τῶν γραφῶν. κεραύνιον, πρὸς τὴν ἀγωγὴν τῆς φιλοσοφίας. ἀστερίσκος, πρὸς τὴν συμφωνίαν τῶν δογμάτων· ὀβελὸς, πρὸς τὰς ἀθετήσεις. τὰ μὲν σημεῖα ταῦτα· καὶ τὰ βιβλία τοσαῦτα· ἅπερ (Ἀντίγονός φησιν ὁ Καρύστιος ἐν τῷ περὶ Ζηνώνος) νεωστὶ ἐκδοθέντα εἴτις ἤθελε χαρακτῆναι, μισθὸν ἐτέλει τοῖς κεκτημένοις.

Τὰ δὲ ἀρέσκοντα αὐτῷ ταῦτα ἐστί. Ἀθάνατον ἔλεγε τὴν ψυχὴν, καὶ πολλὰ μεταμφιεννυμένην σώματα, ἀρχήν τε ἔχειν ἀεικίνητον· τὸ δὲ σῶμα γεωμετρικόν· ᾠκίζετο δ' αὐτὴν ἰδέαν τε πάντων διεξῳστος πνεύματος. αὐτοκίνητον δὲ εἶναι καὶ ξυμμερῆ· τὸ μὲν γὰρ αὐτῆς λογιστικὸν μέρος, περὶ τὴν κεφαλὴν καθιδρύσθαι· τὸ δὲ θυμοειδὲς, περὶ τὴν καρδίαν· τὸ δὲ ἐπιθυμητικὸν, περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ σωΐζεσθαι· περέχειν δὲ ἐκ τοῦ μέσου ἕκαστος κύκλῳ τὸ σῶμα, καὶ σωΐζεσθαι ἐκ τῶν στοιχείων, διαιρεθέντά τε καὶ ἁρμονικὰ σχήματα, δύο κύκλους ποιεῖν συμμιμένους· ὧν τὸν ἐντὸς κύκλον, ὀξαχῆ τμηθέντα, τοὺς ἑπτὰ κύκλους ποιεῖν. καὶ τὸν μὲν καὶ ἕν μέγιστον κεῖσθαι ἐπ' ἀνίσεσι ἑστῶτα· τὸν δὲ, καὶ πλάγιον, ὅτι τὰ δεξιά· διὸ καὶ κρατεῖν αὐτὸν σύμπαντα. τὸν δὲ ἕτερον ἑστῶτα διηρῆσθαι. καὶ τὸν μὲν, εἶναι ταὐτοῦ· τοὺς δὲ, θατέρου. λέγων τὸν μὲν, τῆς ψυχῆς κίνησιν εἶναι· τὴν δὲ, τοῦ ὅλου καὶ τὰς τῶν πλανωμένων φο-

ρὰς. ἔπω δ' ἐχέσης τῆς ἐκ μέσου τιμῆς αὐτῇ προσαρμοζομένης πρὸς τὰ ἔχατα, γινώσκειν τά τε ὄντα, καὶ ἐναρμόζειν διὰ τὸ ἔχειν ἐν αὐτῇ τὰ στοιχεῖα κατὰ ἁρμονίαν. καὶ γίνεσθαι δόξαν μὲν, κατὰ τὸν ἀπερὸς κύκλον ὀρθομένου· ἐπιστήμην δὲ, κατὰ τὸν ταὐτόν.

Δύο δὲ τῶν πάντων ἀπέφηνε ἀρχὰς, θεὸν καὶ ὕλην, ὃν καὶ νοῦν προσαγορεύει καὶ αἴτιον. εἶναι δὲ τὴν ὕλην ἀσχημάτιστον καὶ ἄπειρον, ἐξ ἧς γίνεσθαι τὰ συγκρίματα. ἀτάκτως δέ ποτε αὐτὴν κινεμένην, ὑπὸ τοῦ θεοῦ φησὶν εἰς σῶα συναχθῆναι τόπον, τάξιν ἀταξίας κρείττονα ὑπολαμβάνων. διαιρεθῆναι δὲ τὴν οὐσίαν ταύτην εἰς τέτταρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν· ἐξ ὧν αὐτόν τε τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ, γεννᾶσθαι. μόνην δὲ τὴν γῆν ἀμετάβολον εἶναι φησί· κομίζων αἰτίαν τὴν τῶν σχημάτων διαφοράν· ἐξ ὧν σύγκειται. τῶν μὲν γὰρ ἄλλων ὁμοιομερῆ φησὶν εἶναι τὰ σχήματα. ἅπαντα γὰρ ἐξ ἴσου σύγκεῖσθαι τὰ τριγώνια, τῆς δὲ γῆς ἴδιον εἶναι τὸ σχῆμα· πυρὸς μὲν γὰρ εἶναι στοιχεῖον πυραμίδα, ἀέρος τὸ ὀκτάεδρον, ὕδατος τὸ εἰκοσάεδρον, γῆς δὲ κύβον. ὅθεν μήτε γῆν εἰς ταῦτα μεταβάλλειν, μήτε ταῦτα εἰς γῆν. διακεκρίσθαι δ' εἰς τοὺς οἰκείους τόπους ἕκαστον, ὅτι ἡ διαφορὰ σφίγγουσα, καὶ πρὸς τὸ μέσον συνάγουσα, συγκρίνει τὰ μικρά· τὰ δὲ διακρίνει, τὰ μεγάλα. διόπερ τὰ εἴδη μεταβάλλοντα, καὶ τοὺς τόπους μεταβάλλειν. κόσμον τε εἶναι σῶμα χρηστὸν, ἐπειδὴ καὶ αἰσθητός ἐστιν ὑπὸ θεοῦ κατεσκευασμένον. ἔμψυχόν τε εἶναι, διὰ τὸ κρεῖττον εἶναι τὸ ἔμψυχον τοῦ ἀψύχου. τοῦτό τε ὑπολαμβάνειν δημιούργημα τοῦ βελτίστου αἰτίου. σῶσαι αὐτὸν καὶ εἰς ἄπειρον κατασκευάσθαι, ὅτι καὶ τὸ ὑπόδειγμα οὐ λύει, ἀφ' οὗ αὐτὸν ἐδημιούργησε. σφαιροειδῆ δὲ, διὰ τὸ καὶ τὸν χρήσιμον τοιοῦτον

ἔχειν

ἔχειν σῶμα. ἐκεῖνον μὴν δὲ περιέχειν τὰ ἄλλα ζῶα ὁ τοῦτον δὲ, τὰ σώματα πάντων. λεῖον δὲ, καὶ ἄδενὸν ὄργανον ἔχοντα κύκλῳ, διὰ τὸ μηδεμίαν εἶναι χρῆσιν αὐτῆς. ἀλλὰ μὴν καὶ ἀφθαρτον διαμένειν τὸν κόσμον, διὰ τὸ μὴ διαλύεσθαι εἰς τὸν θεόν. καὶ τῆς μὲν ὅλης φύσεως αἴτιον εἶναι τὸν θεὸν, ὅτι πέφυκεν ἀγαθοποιὸν εἶναι τὸ ἀγαθόν. τῆς δὲ ὑρανοῦ τῆς φύσεως τὸ ἄριστον αἴτιον. τὸ δὲ καλλίστην τῆς φύσεων, τὸ ἄριστον εἶναι τῆς νοητῶν αἴτιον. ὥστε ἐπεὶ τοιοῦτος ὁ θεὸς, ὅμοιος δὲ τῷ ἀεὶ ὢν ὁ ὑρανὸς, καλλίστος γε ὢν, ἄθεν ἂν ὅμοιος εἴη τῆς φύσεων, ἀλλ' ἢ τῷ θεῷ. συνίστασθαι δὲ τὸν κόσμον ἐκ πυρὸς, ὕδατος, ἀέρος, γῆς. ἐκ πυρὸς μὲν, ὅπως ὁρατὸς ᾖ· ἐκ γῆς δὲ, ὅπως στερεός. ἐξ ὕδατος δὲ καὶ ἀέρος, ὅπως ἀνάλογος· αἱ γὰρ τῆς στερεῶν δυνάμεις δύο μεσότησιν ἀναλογοῦσιν, ὡς ἐν φύεσθαι τὸ παῦ. ἐξ ἁπάντων δὲ, ἵνα τέλειος καὶ ἄφθαρτος ᾖ. χρόνον τε φύεσθαι εἰκόνα τοῦ ἀϊδίου. καὶ κεῖνον μὲν ἀεὶ μένειν, τὴν δὲ τοῦ ὑρανοῦ φορὰν χρόνον εἶναι. καὶ γὰρ νύκτα, καὶ ἡμέραν, καὶ μῆνα, καὶ τὰ τοιαῦτα πάντα, χρόνου μέρη εἶναι. διόπερ οὐδὲ τῆς τοῦ κόσμου φύσεως ἐκ εἶναι χρόνον· ἅμα γὰρ ὑπάρχειν αὐτὸν καὶ χρόνον εἶναι. τροὸς δὲ χρόνου φύσιν ἥλιον καὶ σελήνην, καὶ τὰ πλανώμενα φύεσθαι· ὅπως δὲ διάδηλος τῆς ὥρας ἡ ἀριθμὸς, καὶ μετέχῃ τὰ ζῶα ἀριθμοῦ, τοῦ τοῦ ἡλίου φῶς ἀνάψαι τὸν θεόν. εἶναι δὲ ὑπὲρ μὲν τὸν τῆς γῆς κύκλον σελήνην, ἐν δὲ τῷ ἐχομένῳ ἥλιον, ἐν δὲ τοῖς ἐπάνω τοὺς πλανήτας. ἐμψύχου δὲ πάντως, διὰ τὸ ἐμψύχῳ φορᾷ δεδέσθαι. ἵνα δὲ ὁ κόσμος τελειωθῇ, γενόμενος ὁμοίως τῷ νοητῷ ζῴῳ, τὴν τῆς ἄλλων ζῴων γενέσθαι φύσιν. ἐπεὶ οὖν ἐκεῖνος εἶχε, καὶ τὸν ὑρανὸν δεῖν ἔχειν. θεοὺς μὲν οὖν ἔχειν τὸ πολὺ πυρίνους· εἶναι δὲ ξύλα γοῦν πάλα,

πτηνὸν, ὕδρον, πεζόν. γῆν δὲ πρεσβυτάτην μὴν εἶναι τῶν ἐν τῷ οὐρανῷ θεῶν. γνώσθαι δὲ δημιούργημα, ὡς νύκτα καὶ ἡμέραν ποιεῖν. ὅταν δ' ὅλη τὸ μέσον, κινεῖσθαι περὶ τὸ μέσον. ἐπεὶ δ' αἰτίαι εἰσὶ δύο, τὰ μὲν διαμονὴν εἶναι, τὰ δ' ἐξ ἀναγκαίας αἰτίας φησὶ, λεκτέον. ταῦτα δ' ἐστὶν, ἀὴρ, πῦρ, γῆ, ὕδωρ. καὶ ὄντα μὲν στοιχεῖα κατ' ἀνείβειαν, ἀλλὰ δεκτικά. ταῦτα δ' ἐκ τῶν ζιγώνων εἶναι συνιστημένων, καὶ διαλύεσθαι εἰς ταῦτα. στοιχεῖα δ' αὐτῶν εἶναι τό τε ὀρθογώνιον ζίγωνον καὶ τὸ ἰσοσκελές. ἀρχὰς μὲν οὖν εἶναι καὶ αἰτίαν τὰ λεχθέντα δύο, ὧν παράδειγμα τὸν θεὸν καὶ τὴν ὕλην. ὅπερ ἀνάγκη ἄμορφον εἶναι, ὥσπερ καὶ ὅλη τῶν ἄλλων δεκτικῶν. αἴτιον δὲ τῶν ἐξ ἀνάγκης εἶναι. δεχόμενον γάρ πως τὰς ἰδέας γεννᾶν τὰς οὐσίας, καὶ δι' ἀνομοιότητα δυνάμεως κινεῖσθαι, καὶ κινούμενον τὰ κινούμενα ἐξ αὐτῆς αὐτοκινεῖν. ταῦτα δὲ πρὶν μὲν, ἀλόγως κινεῖσθαι καὶ ἀτάκτως· ἐπεὶ δὲ ἤρξαντο σωμοποιεῖσθαι τὸν κόσμον, ἐν τῇ ἐνδεχομένῃ ὑπὸ τοῦ θεοῦ συμμέτρως καὶ τεταγμένως γνώσθαι. τὰς μὲν γὰρ αἰτίας καὶ πρὸ τῆς ὁλοποιΐας δύο εἶναι, καὶ ζίτλω γένεσιν· ἀλλ' οὐ σαφῶς, ἴχνη δὲ μόνον, καὶ ἀτάκτως. ἐπειδὴ δὲ ὁ κόσμος ἐγένετο, λαβεῖν καὶ ταύτας τάξιν. ἐξ ἁπάντων δὲ τῶν ὑπαρχόντων σωμάτων γνώσθαι τὸν οὐρανόν. δοκεῖ δ' αὐτῷ τὸν θεὸν, ὡς καὶ τὴν ψυχὴν, ἀσώματον εἶναι. οὔπω γὰρ μάλιστα φθορᾶς καὶ πάθους ἀνεπίδεκτον ὑπάρχειν. τὰς δὲ ἰδέας ὑφίστασθαι, καθὰ καὶ προείρηται, αἰτίας τινὰς καὶ ἀρχὰς τοῦ τοιαῦτ' εἶναι τὰ φύσει συνεστῶτα, οἷα περ ὄζιν αὐτά.

Περὶ δὲ ἀγαθῶν ἢ κακῶν τοιάδε ἔλεγε. τέλος μὲν εἶναι τὴν ὁμοίωσιν τῷ θεῷ. τὴν δ' ἀρετὴν, αὐτάρκη μὲν εἶναι πρὸς εὐδαιμονίαν, ὀργάνων δὲ προσδεῖσθαι τῷ

περὶ

περὶ σῶμα πλειονεκτημάτων, ἰσχύος, ὑγείας, καὶ εὐαισθησίας, τῶν ὁμοίων· καὶ τῶν ἐκτὸς, οἷον πλούτου καὶ εὐχρηματίας, καὶ τῶν ἄλλων. ἆρ' οὖν δὲ ἦττον εὐδαίμονα ἔσεσθαι τὸν σοφὸν, κἂν ταῦτα μὴ παρῇ· πολιτεύσεσθαι αὖ, καὶ γαμήσειν, καὶ τοὺς κειμένους νόμους ἐκφαβήσεσθαι. ἐκ δὲ τῶν ἐχομένων καὶ νομοθετήσειν τῇ ἑαυτοῦ παιδί, ἐὰν μὴ τέλεον ἀπαραίτητα ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλλούσῃ διαφορᾷ δήμου. οἴεται δὲ καὶ θεοὺς ἐφορᾶν τὰ ἀνθρώπινα καὶ δαίμονας εἶναι. ἔννοιά τε καλὴ πρῶτος ἀπεφήνατο τὴν ἐχομένην τῇ ἐπαινετῇ, καὶ λογικὴ, καὶ χρησίμη, καὶ πρεπούσης, καὶ ἁρμοττούσης. ἅπερ πάντα ἔχεσθαι τῇ ἀκολούθῳ τῇ φύσει, καὶ ὁμολογουμένῃ.

Διελέχθη δὲ καὶ περὶ ὀνομάτων ὀρθότητος· ὥστε καὶ τὴν ἐπισήμην τῇ ὀρθῶς ὑποκεῖσθαι καὶ ἐρωτᾶν, πρῶτον αὐτὴν διασυρῆσαι κατακόρως χρησάμενον.

Ἐν δὲ τοῖς διαλόγοις καὶ τὴν δικαιοσύνην θεῶν νόμον ὑπελάμβανεν, ὡς ἰσχυροτέραν προβέβλησθαι τὰ δίκαια πράττειν, ἵνα μὴ καὶ μετὰ θανάτον δίκας ὑποσχοῖεν οἱ κακοῦργοι. ὅθεν καὶ μυθικώτερος ἐνίοις ὑπελήφθη, τοῖς συγγράμμασιν ἐγκαταμίξας τὰς τοιαύτας διηγήσεις, ὅπως δι' τὸ ἀδήλου ἔχοντα τὸ ἔχειν τὰ μετὰ τὸν θάνατον, ἧττον ἀπέχωνται τῶν ἀδικημάτων. καὶ ταῦτα μὲν ἦν αὐτῷ τὰ ἀρέσκοντα.

Διῄρει δὲ, φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰ πράγματα τριττὸν τὸν τρόπον. τῶν ἀγαθῶν ὄντα τὰ μὲν, ἐν ψυχῇ· τὰ δὲ, ἐν σώματι· τὰ δὲ, ἐκτός. οἷον, ἡ μὲν δικαιοσύνη, καὶ ἡ φρόνησις, καὶ ἡ ἀνδρεία, καὶ ἡ σωφροσύνη, καὶ τὰ τοιαῦτα, ἐν ψυχῇ· τὸ δὲ κάλλος, καὶ ἡ εὐεξία, καὶ ἡ ὑγεία, καὶ ἡ ἰσχὺς, ἐν σώματι· οἱ δὲ φίλοι, καὶ ἡ τῆς πατρίδος εὐδαιμονία, καὶ ὁ πλοῦτος, ἐν

τῆς ἐκπῆς. τῶν ἀγαθῶν ἄρα ξία εἴδη ἐσί· τὰ μὲν, ἐν ψυχῇ· τὰ δ', ἐν σώματι· τὰ δ', ἐκπῆς.

Τῆς φιλίας ξία εἴδη· ἡ μὲν γὰρ αὐτῆς, ἐσὶ φυσικὴ· ἡ δὲ ἑταιρικὴ· ἡ δὲ, ξενικὴ. φυσικὴν μὲν ἔν ταύτῳ λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχυσι, καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλες· ταύτῳ δὲ κεκλήρωται καὶ τἄλλα ζῶα. ἑταιρικὴν δὲ καλεῖμθ τὴν ὑπὸ συνηθείας γινομένην, καὶ μηδὲν προσήκυσαν γένει. ἀλλ' οἷον ἡ Πυλάδε πρὸς Ὀρέσην. ἡ δὲ ξενικὴ φιλία, ἡ ὑπὸ συσάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τὲς ξένυς. τῆς ἄρα φιλίας, ἡ μὲν ἔξι φυσικὴ, ἡ δὲ ἑταιρικὴ, ἡ δὲ ξενικὴ. προστιθάσι δέ τινες τετάρτην, ἐρωτικήν.

Τῆς πολιτείας ἐσὶν εἴδη πέντε. τὸ μὲν γὰρ αὐτῆς, ἐσὶ δημοκρατικόν. ἄλλο δὲ, ἀριςοκρατικόν· τρίτον δὲ, ὀλιγαρχικόν· τέταρτον, βασιλικόν. πέμπτον, τυραννικόν. δημοκρατικὸν μὲν ἔνεξιν ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος, καὶ τὰς ἀρχὰς καὶ τὲς νόμυς δι' ἑαυτῆς αἱρεῖται. Ἀριςοκρατία δέ ἔξιν ἐν ᾗ μήθ' οἱ πλέσιοι, μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι ἄρχυσιν, ἀλλ' οἱ ἄριςοι τῆς πόλεως προσατῶσιν. ὀλιγαρχία δ' ἐσὶν ὅταν ὑπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται. ἐλάττυς γὰρ εἰσιν οἱ πλέσιοι τῶν πενήτων. τῆς δὲ βασιλείας, ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἐσίν. ἡ μὲν ἔν ἐν Καρχηδόνι, καὶ νόμον· πολιτικὴ γάρ ἔξιν. ἡ δὲ ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ, κατὰ γένος. ὑπὸ γάρ τινος γένυς ποιῦνται τὴν βασιλείαν. τυραννὶς δέ ἔξιν ἐν ᾗ Φθαρτικῶτες ἢ βιαθέντες ὑπό τινος ἄρχονται. τῆς ἄρα πολιτείας ἡ μὲν ἔξι δημοκρατία, ἡ δὲ ἀριςοκρατία, ἡ δὲ ὀλιγαρχία, ἡ δὲ βασιλεία, ἡ δὲ τυραννίς.

Τῆς

Τῆς δὲ δικαιοσύνης ἔστιν εἴδη ἕξ. ἡ μὲν γὰρ αὐτῆς ἐστι πρὸς θεούς· ἡ δὲ, πρὸς ἀνθρώπους· ἡ δὲ, περὶ τοὺς ἀποιχομένους. οἱ μὲν γὰρ θύοντες καὶ νόμους, καὶ τὰ ἱερῶν ἐπιμελούμενοι, δῆλον ὅτι πρὸς θεοὺς ὁσιοῦσιν· οἱ δὲ δίκαια ἀποδιδόντες καὶ ἀδικα πράττοντες, δικαιοπραγοῦσι πρὸς ἀνθρώπους. οἱ δὲ τῶν μνημείων ἐπιμελούμενοι, δῆλον ὅτι περὶ τοὺς ἀποιχομένους. τῆς ἄρα δικαιοσύνης, ἡ μὲν πρὸς θεούς ἐστιν, ἡ δὲ πρὸς ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους.

Τῆς ἐπιστήμης εἴδη ἐστὶ ἕξ· τὸ μὲν γάρ ἐστι πρακτικόν. τὸ δὲ, ποιητικόν. τὸ δὲ, θεωρητικόν. ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγικὴ, ποιητικαί εἰσιν. ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον· πολιτικὴ δὲ καὶ αὐλητικὴ, καὶ κιθαριστικὴ, καὶ αἱ τοιαῦται, πρακτικαί· ἔστι γάρ ἔργον ἰδεῖν θεατὸν αὐτῶν πεποιημένον, ἀλλὰ πράττουσί τι. ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. ἡ δὲ γεωμετρικὴ, καὶ ἁρμονικὴ, καὶ ἀστρολογικὴ, θεωρητικαί. οὔτε γὰρ πράττουσιν, οὔτε ποιοῦσιν οὐδέν· ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ, πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί· ὁ δ' ἁρμονικὸς, τοὺς φθόγγους· ὁ δ' ἀστρολογικὸς, τὰ ἄστρα καὶ τὸν κόσμον. τῶν ἄρα ἐπιστημῶν αἱ μὲν εἰσι θεωρητικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ποιητικαί.

Τῆς ἰατρικῆς ἔστιν εἴδη πέντε· ἡ μὲν, φαρμακευτικὴ· ἡ δὲ, χειρουργική· ἡ δὲ, διαιτητική· ἡ δὲ, νοσογνωμονική, ἡ δὲ, βοηθητική. ἡ μὲν φαρμακευτικὴ, διὰ φαρμάκων ἰᾶται τὰς ἀῤῥωστίας· ἡ δὲ χειρουργικὴ, διὰ τὸ τέμνειν καὶ καίειν ὑγιάζει· ἡ δὲ διαιτητικὴ, διὰ τὸ διαιτᾶν ἀπαλλάττει τὰς ἀῤῥωστίας· ἡ δὲ νοσογνωμονικὴ, διὰ τὸ γνῶναι τὸ ἀῤῥώστημα· ἡ δὲ βοηθητικὴ, διὰ τὸ βοηθῆσαι, εἰς τὸ θεραπεῦσμα ἀπαλλάττει τῆς ἀλγηδόνος. τῆς ἄρα ἰατρικῆς ἡ μὲν ἔστι φαρμακευτικὴ, ἡ δὲ

χει-

χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ βοηθητική, ἡ δὲ νοσογνωμονική.

Νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτῶν, γεγραμμένος· ὁ δὲ, ἄγραφος. ᾧ μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν· ὁ δὲ καὶ ἔθη χρώμενος, ἔστιν ἄγραφος καλεῖται· οἷον, τὸ μὴ γυμνὸν προϊέναι εἰς τὴν ἀγοράν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. ταῦτα γὰρ ἔθεσι νόμος κωλύει, ἀλλ' ὅμως καὶ φράττουσι, διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. τῶν ἄρα νόμων ἐστὶν ὁ μὲν, γεγραμμένος· ὁ δὲ, ἄγραφος.

Ὁ λόγος διαιρεῖται εἰς πέντε· ὧν εἷς μέν ἐστιν οὗ οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός. ἕτερα δὲ διαίρεσις λόγου, οὗ οἱ ῥήτορες χρῶνται, εἰς ἐπίδειξίν τε προφέρουσιν, εἰς ἐγκώμια καὶ ψόγους καὶ κατηγορίας. τὸ δὴ τοιοῦτον εἶδος, ἐστὶ ῥητορικόν. εἶτα δὲ διαίρεσις λόγου, οὗ οἱ ἰδιῶται διαλέγονται πρὸς ἀλλήλους· ὅπερ δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. ἕτερα δὲ διαίρεσις λόγου, οὗ οἱ καὶ βραχὺ ἐρωτῶντες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσιν διαλέγονται· ὅπερ δὲ καλεῖται ὁ λόγος διαλεκτικός. πέμπτη δὲ διαίρεσις λόγου, οὗ οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν διαλέγονται τέχνης· ὃς δὴ καλεῖται τεχνικός. τῶν λόγου ἄρα, τὸ μὲν ἔστι πολιτικὸν, τὸ δὲ ῥητορικὸν, τὸ δὲ ἰδιωτικὸν, τὸ δὲ διαλεκτικὸν, τὸ δὲ τεχνικόν.

Ἡ μυσικὴ εἰς ξία διαιρεῖται. ἔστι γὰρ ἡ μὲν, διὰ τοῦ σώματος μόνου, οἷον ἡ ᾠδή. δεύτερον δὲ, διὰ τοῦ σώματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαριστική. τρίτον ἀπὸ τῶν χειρῶν μόνων, οἷον κιθαριστική. τῆς ἄρα μυσικῆς ἔστι τὸ μὲν, ἀπὸ τοῦ σώματος μόνου· τὸ δ', ἀπὸ τοῦ σώματος καὶ τῶν χειρῶν· τὸ δ', ἀπὸ τῶν χειρῶν.

Διαιρεῖται δὲ ἡ ὀρθοέπεια εἰς εἴδη τέτταρα. εἴ μὲν,

ἐὰν

ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τὰς ἐκ τούτων γεγραμμένους, δίκην εἰσφάσιν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδωκασδικότες καὶ ἄρχοντες γεγραμμένοι, τὰς ἐκ τούτων δίκην εἰσφάσιν εἶναι. ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι ἀνόμαστοι, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανίτου ἀγώνων· καὶ τὰς ἐκ τούτων γεγραμμένους, δίκην προσαγορεύομεν. ἄλλο εἶδος, ἐὰν αὐτός τις ἢ γυνάδας τινὰ ψυχὴν καὶ μεγαλόψυχος, καὶ τοῦτον δίκην φασί. καὶ τῆς γε δίκης αὕτη κρατίστη. τῆς ἄρα δίκης τὸ μὲν, ἀπὸ προγόνων ἐστὶν, τὸ δὲ δυνατῶν, τὸ δὲ ἐνδόξων, τὸ δὲ ἀπὸ τῆς αὐτῆς καλοκἀγαθίας.

Τὸ κάλλος διαιρεῖται εἰς τρία. ἐν μὲν γὰρ αὐτῆς ἔξις ἐπαινετὸν, οἷον ἡ ἀπὸ τῆς ὄψεως σύμμορφία· ἄλλο δὲ χρησιμὸν, οἷον ὄργανον καὶ οἰκία, καὶ τὰ τοιαῦτα πρὸς χρῆσιν εἰσὶ καλά. τὰ δὲ πρὸς νόμες καὶ ἐπιδείγματα, καὶ τὰ τοιαῦτα, πρὸ ὠφέλειαν ἔξι καλά. τῆ ἄρα κάλλες τὸ μὲν ἔξι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν.

Ἡ ψυχὴ διαιρεῖται εἰς τρία. τὸ μὲν γὰρ αὐτῆς, ἔξι λογικόν· τὸ τε, ἐπιθυμητικόν· τὸ δὲ, θυμικόν. τούτων δὲ τὸ μὲν λογικόν ἐστιν αἴτιον τῆ βουλεύεσθαι, καὶ λογίζεσθαι, καὶ διανοεῖσθαι, καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς αἴτιον τῆ ἐπιθυμεῖν, φαγεῖν, καὶ τῆ πλησιάσαι, καὶ τῶν τοιούτων. τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἔξι τῆ θαρρεῖν καὶ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι. τῆς ἄρα ψυχῆς ἔξι τὸ μὲν λογιστικὸν, τὸ δὲ ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν.

Τῆς τελείας ἀρετῆς εἴδη τέτταρα. ἓν μὲν, φρόνησις. ἄλλο, δικαιοσύνη· τρίτον, ἀνδρεία· τέταρτον, σωφροσύνη. τούτων ἡ μὲν φρόνησις, αἰτία τῆ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη, τῆ ἐν ταῖς κοινωνίαις

καὶ

καὶ πᾶς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία, τὸ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ ἐκίσασθαι ποιεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη, τὸ κρατεῖν τῆς ἐπιθυμιῶν, καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς ἁλίσθαι, ἀλλὰ κοσμίως ζῆν. τῆς ἀρετῆς ἄρα τὸ μὲν ἔστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη.

Ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε. οὗ μὲν, εἰς τὸ κατὰ νόμον· οὗ δὲ, εἰς τὸ κατὰ φύσιν· οὗ δὲ, εἰς τὸ κατὰ ἔθος· τέταρτον, εἰς τὸ κατὰ γένος· πέμπτον δὲ, κατὰ βίαν. οἱ μὲν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῆς πολιτῶν ἐπαινοῦσι αἱρεθῶσι, κατὰ νόμον ἄρχειν· οἱ δὲ κατὰ φύσιν, οἱ ἄρρενες, ὁ μόνον ἐν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζώοις· ὅτι πολὺ γὰρ τὸ ἄρρεν τῆς θηλειῶν παντα χοῦ ἄρχει. ἡ δὲ τὸ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστὶν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι, καὶ οἱ διδάσκαλοι τῶν φοιτώντων. κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία. καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται. οἱ δὲ βιασάμενοι ἢ παρακρουσάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι. τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ ἔθος, τὸ δὲ κατὰ γένος, τὸ δὲ κατὰ βίαν.

Τῆς ῥητορείας εἴδη ἐστὶν ἓξ. ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμμαχεῖν τρός τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή. ὅταν δὲ ἀξιῶσι μὴ πολεμεῖν μηδὲ συμμαχεῖν, ἀλλ' ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδός ἐστιν ἀποτροπή. τρίτον εἶδος τῆς ῥητορείας, ὅταν τις φάσκῃ ἀδικεῖσθαι ὑπό τινος, καὶ πολλῶν κακῶν αἴτιον ἀποφαίνῃ· τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται. τέταρτον εἶδος τῆς

ῥητο-

ῥητορείας ἀπολογία καλεῖται, ὅταν ἀποφαίνῃ αὐτὸν μηθὲν ἀδικοῦντα, μήτε ἄλλο ἄτοπον μηθὲν πράττοντα· τὸ δὴ τιθέτον ἀπολογίαν καλοῦσι. πέμπτον εἶδος ῥητορείας, ὅταν τις εὖ λέγῃ καὶ ἀποφαίνῃ καλὸν κἀγαθόν· τὸ δὴ πιθέτον εἶδος καλεῖται, ἐγκώμιον. ἕκτον εἶδος, ὅταν τις ἀποφαίνῃ φαῦλον· τὸ δὴ πιθέτον εἶδος καλεῖται ψόγος. τῆς ἄρα ῥητορείας τὸ μὲν ἕξιν ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπὴ, τὸ δὲ ἀποτροπὴ, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία. τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· εἰ μὲν, ἃ δεῖ λέγειν· εἰ δὲ, ὅσα δεῖ λέγειν· ἕκτον, πρὸς ὅς δεῖ λέγειν· τέταρτον δὲ, πλωίκα λέγειν δεῖ· ἃ μὲν ἓν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι καὶ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μὴ πλείω μηδὲ ἐλάττω τῶν ἱκανῶν. τὸ δὲ πρὸς ὅς δεῖ λέγειν, οὔτε πρὸς πρεσβυτέρους ἁμαρτάνοντας ἁλίσκηται, ἁρμόττοντας δεῖ τοὺς λόγους ἁλίσκεσθαι ὡς πρεσβυτέροις· οὔτε πρὸς νεωτέρους, ἁρμόττοντας δεῖ λέγεσθαι ὡς νεωτέροις· πλωίκα δὲ λέγειν ἐστὶ, μήτε προτέρῳ μήτε ὑστέρῳ· εἰ δὲ μὴ, ἁμαρτάνεσθαι καὶ κακῶς ἐρεῖν.

Ἡ δ' ἐργασία διαιρεῖται εἰς τέτταρα. ἢ γὰρ χρήμασιν, ἢ σώμασιν, ἢ ταῖς ὑπηρεσίαις, ἢ τοῖς λόγοις· τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ βοηθήσῃ τις εἰς χρημάτων λόγον ἐπορῆσαι. τοῖς δὲ σώμασιν εὖ ποιοῦσιν ἀλλήλους, ὅταν βοηθοῦμοι τυπτομένοις βοηθῶσιν. οἱ δὲ παιδεύοντες, καὶ ἰατρεύοντες, καὶ διδάσκοντες, ἀγαθόν τι, ἅτοι ταῖς ὑπηρεσίαις ἐργάζονται· ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς, καὶ λόγον τινὰ ὑπεικὴ εἴπῃ ὑπὲρ αὐτοῦ, ἅτος δὴ λόγῳ ἐργάζεται. τῆς ἄρα ἐργασίας ἡ μὲν ἕξις ἐστὶ χρημάτων, ἡ δὲ ἐστὶ σωμάτων, ἡ δὲ ἐστὶ ὑπηρεσιῶν, τετάρτη ἐστὶ λόγων.

Διαι-

Διαιρεῖται τὸ τέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· τὸ μὲν, κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται, καὶ τοῦθ' ὁ νόμος τελέσῃ· κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμβάνει, ἥ τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς, καὶ αἱ ὧραι· κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική· οἰκίαν γὰρ τὶς ὁπότελεῖ· καὶ ἡ ναυπηγική· πλοῖα γάρ. κατὰ τύχην δὲ γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως, καὶ μὴ ὡς ὑπολαμβάνει τὶς, ἀποβαίνῃ. τὰ τέλεα ἄρα τῶν πραγμάτων τὰ μὲν κατὰ νόμον, τὰ δὲ κατὰ φύσιν, τὰ δὲ κατὰ τέχνην, τὰ δὲ κατὰ τύχην ἐστίν.

Ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ὧν μὲν, ὃ δυνάμεθα τῇ διανοίᾳ λογίζεσθαι καὶ ὑπονοεῖν· ἕτερον δὲ, τῷ σώματι, οἷον πορεύεσθαι, καὶ διδόναι, καὶ λαμβάνειν, καὶ τὰ τοιαῦτα. ἔτι πάλιν, ὃ δυνάμεθα πλήθει στρατιωτῶν καὶ χρημάτων, ὅθεν καλεῖται πολλὴν δύναμιν ἔχων βασιλεύς· τέταρτη δὲ διαίρεσις δυνάμεως, πάσχειν, καὶ εὖ ποιεῖν καὶ κακῶς· οἷον, ἀρρώστειν καὶ παιδεύεσθαι δυνάμεθα, καὶ ὑγιεῖς γίνεσθαι, καὶ πάντα τὰ τοιαῦτα. τῆς ἄρα δυνάμεως, ἡ μὲν ἔστιν ἐν διανοίᾳ, ἡ δ' ἐν τῷ σώματι, ἡ δ' ἐν τῷ στρατοπέδῳ καὶ χρήμασιν, ἡ δ' ἐν τῷ ποιεῖν καὶ πάσχειν.

Τῆς φιλανθρωπίας ἔξιν εἴδη ἓξ· ὧν μὲν διὰ τῆς προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινὲς τὸν ἐντυχόντα πάντα προσαγορεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν· ἄλλο εἶδος, ὅταν τὶς βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι· ἕτερον εἶδός ἔστι τῆς φιλανθρωπίας, ἐν ᾧ τινὲς φιλοδεῖπνοι εἰσιν. τῆς ἄρα φιλανθρωπίας τὸ μὲν ἔστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν καὶ φιλοσωματιάζειν.

Ἡ δ' ἀδαμαντία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐ-

αὐτῆς, ὄξιν δ' βελία· ἡ δὲ, δ' αἰσθησία, καὶ ὑγίεια τῦ σώματος· τρίτον, δ' τυχία ἐν ταῖς πράξεσι· τέταρτον, δ' δοξία πρὸς τοὺς ἀνθρώπους· πέμπτον, δ' πορία χρημάτων καὶ τῦ εἰς τὸν βίον χρησίμων. ἡ μὲν δ' βελία γίνεται ἐκ παιδείας, καὶ ἐκ τῦ πολλῶν ἔμπειρον γίνεσθαι. ἡ δὲ δ' αἰσθησία, ἐκ τῦ τὰ σώματος μελῶν· οἷον, ἑαυτὸς ὀφθαλμοῖς ὁρᾷ, καὶ τοῖς ὠσὶν ἀκούῃ, καὶ τῇ ῥινὶ καὶ τῷ στόματι αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὴ τοιῦτον δ' αἰσθησία. ἡ δὲ δ' τυχία, ὅταν ἐφ' ἃ σκοπεῖ, πράξῃ κατ' ὀρθὸν ἃ δεῖ πράττειν τὸν σπουδαῖον. δ' δοξία δ' ἐστὶν, ὅταν τις εὖ ἀκούῃ. δ' πορία δ' ἐστὶν, ὅταν τις πρὸς τὰς ἐν τῷ βίῳ χρήσεις ἵκανὸς ἔχῃ ὥστε καὶ φίλους εὖ ποιῆσαι, καὶ φιλοτίμως καὶ δ' πόρως ἀπολειτουργῆσαι· ὧ δὲ ὑπάρχει πάντα ταῦτα ἱκανός ἐστιν εὐδαίμων τελέως. τῆς ἄρα δ' δαιμονίας ἐστὶ τὸ μὲν δ' βελία, τὸ δὲ εὐαισθησία, καὶ ὑγεία τῦ σώματος, τὸ δὲ δ' τυχία, τὸ δὲ δ' δοξία, τὸ δὲ δ' πορία.

Αἱ τέχναι εἰς τρία διαιρῦνται· ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη. πρώτη μὲν ἔν, ἡ μεταλλευτικὴ καὶ ὑλοτομική. θρασυδειλοὶ γάρ εἰσιν. ἡ δὲ χαλκευτικὴ καὶ ἡ τεκτονικὴ, μεταξυδειλοί εἰσιν. ἐκ μὲν γὰρ τῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων αὐλοὺς καὶ λύρας. ἡ δὲ χρησικὴ, οἷον ἱππικὴ, τοῖς χαλινοῖς χρῆται, ἡ πολεμικὴ τοῖς ὅπλοις, ἡ μουσικὴ τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. τέχνης ἄρα τρία εἴδη ἐστί, τὸ μέν τι πρῶτον, τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον.

Τὸ ἀγαθὸν εἰς τέτταρα γοῦν διαιρεῖται· ὧν μὲν οὖν λέγομεν εἶναι τὸν τοῦ ἀρετοῦ ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δὲ, αὐτὸ τοῦ ἀρετοῦ καὶ τοῦ δικαιοσυνοῦ λέγομεν ἀγαθὸν εἶναι· τρίτον δὲ, οἷον σιτία καὶ γυμνάσια τὰ πρόσφορα καὶ φάρμακα· τέταρτον δὲ φαμὲν εἶναι ἀγα-

θὸν,

θὸν, οἷον αὐλητικὴν, καὶ ὑποκριτικὴν, καὶ τὰ τοιαῦτα· ἀγαθὰ ἄρα τέτταρα εἴδη ἐστί· τὸ μὲν, τὸ τὴν ἀρετὴν ἔχειν· ἕτερον δὲ, αὐτὴ ἡ ἀρετή· τρίτον δὲ, σιτία καὶ γυμνάσια τὰ ὠφέλιμα· τέταρτον δὲ, αὐλητικὴν, καὶ ὑποκριτικὴν, καὶ ποιητικὴν, ἀγαθὸν λέγομεν εἶναι.

Τῶν ὄντων τὰ μὲν ἐστι κακὰ, τὰ δὲ ἀγαθὰ, τὰ δὲ ἀδέτερα. τῶν κακῶν μὲν λέγομεν ταῦτα, τὰ δυνάμενα βλάπτειν ἀεὶ, οἷον ἀκρασίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν, καὶ τὰ τοιαῦτα. τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστιν. τὰ δὲ ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ περιπατεῖν, καὶ τὸ καθῆσθαι, καὶ ἐθίειν· ἢ ὅλως μήτε ὠφελῆσαι, μήτε βλάψαι δυνάμενα· ταῦτα γὰρ ὅτε ἀγαθὰ, ὅτε κακά ἐστι. τῶν ἄρα ὄντων, τὰ μὲν ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δὲ, ἀδέτερα τούτων.

Εὐνομία διαιρεῖται εἰς τρία· οὗ μὲν, ἐὰν ὦσιν οἱ νόμοι σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δὲ, ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτο φαμὲν εὐνομίαν εἶναι· τρίτον δὲ, ἐὰν, μὴ ὄντων τῶν νόμων, καὶ ἔθη καὶ ὑποδείγματα χρηστῶς πολιτεύωνται, καὶ τοῦτο εὐνομίαν προσαγορεύομεν. τῆς εὐνομίας ἄρα οὗ μέν ἐστι νόμος σπουδαῖος εἶναι· ἄλλο δὲ, ἐὰν τοῖς ὦσι νόμοις ἐμμένωσι· τρίτον δὲ, ἐὰν ἔθεσι καὶ ὑποδείγμασι χρηστοῖς πολιτεύωνται. διαιρεῖται καὶ ἡ ἀνομία εἰς τρία· ὧν οὗ μέν ἐστιν, ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ, καὶ πρὸς ξένους καὶ πρὸς πολίτας· ἕτερον δὲ, ἐὰν τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δὲ, ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. τῆς ἄρα ἀνομίας οὗ μέν ἐστι, τὸ μοχθηροὺς εἶναι τοὺς νόμους· ἄλλο δὲ, ἐὰν τοῖς ὦσι μὴ πείθωνται· τρίτον, ἐὰν μηδεὶς ᾖ νόμος.

Τὰ ἐναντία διαιρεῖται εἰς τρία. οἷον, ἀγαθὰ καὶ τοῖς ἐναντία φαμὲν εἶναι. ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ,

κία, καὶ τῷ φρονήσει τῇ ἀφροσύνῃ, καὶ τὰ τοιαῦτα. κακὰ δὲ κακοῖς ἐναντία εἶναι, τῷ ἀσωτίαν, καὶ τῷ ἀνελευθερίαν, καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· ἢ καὶ τὰ τοιαῦτα κακὰ κακοῖς ἐναντία ἐστί. τὸ δὲ βαρὺ τῷ κούφῳ, καὶ τὸ παχὺ τῷ βραδεῖ, καὶ τὸ μέλαν τῷ λευκῷ, ὡς ἑκάτερα ἑκατέροις ἐναντία ἐστί. Τῶν ἐναντίων ἄρα, τὰ μὲν ὡς ἀγαθὰ κακοῖς ἐναντία ἐστί· τὰ δὲ ὡς κακὰ κακοῖς· τὰ δὲ, ὡς ἑκάτεροις ἑκάτερα.

Τῶν ἀγαθῶν γοῦν ἐστὶ ξία· τὰ μὲν γὰρ ἕξει, ἕκτα, τὰ δὲ μεθεκτὰ, τὰ δὲ ὑπαρκτά. τὰ μὲν οὖν ἕκτὰ ἕξις, ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη, καὶ ἡ ὑγίεια· μεθεκτὰ δὲ, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μεταχεῖν δὲ αὐτῶν ἐνδέχεται· οἷον, αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μεταχεῖν δὲ αὐτοῦ ἐνδέχεται. ὑπαρκτὰ δὲ, ὅσα μήτε μεταχεῖν ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον, τὸ σπουδαῖον εἶναι, καὶ δίκαιον εἶναι, ἀγαθόν ἕξι. καὶ ταῦτα ἔτε ἔχειν ἔτε μεταχεῖν ἕξιν, ἀλλὰ ὑπάρχειν δεῖ, τὸ σπουδαῖον εἶναι, καὶ δίκαιον εἶναι. τῷ ἀγαθῶν ἄρα τὰ μέν ἐσιν ἕκτὰ· τὰ δὲ, μεθεκτὰ· τὰ δὲ, ὑπαρκτά.

Ἡ συμβουλία διαιρεῖται εἰς τρία. ἔστι γὰρ αὐτῆς, ἡ μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἡ δὲ ἐκ τῶν μελλόντων, ἡ δὲ ἐκ τῶν ἐνεστώτων. τὰ μὲν ἐν ἐκ τῶν παροιχομένων, παραδείγματος· οἷον, τί ἔπαθον Λακεδαιμόνιοι πισθέντες, τὰ δὲ ἐκ τῶν παρόντων, οἷον, δοτραμίζειν τείχη ἀθρόῃ, δειλὸς ἀνθρώπος, σίτου ὀλίγου· τὰ δὲ ἐκ τῶν μελλόντων, οἷον, ταῖς ὑποψίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. τῆς ἄρα συμβουλίας τὰ μέν ἐσιν ἐκ τῶν παροιχομένων, τὰ δ' ἐκ τῶν παρόντων, τὰ δ' ἐκ τῶν μελλόντων.

Η φωνὴ διαιρεῖται εἰς δύο· εὗ μὲν αὐτῆς ἐστιν ἔμψυχον, οὗ δὲ ἄψυχον. ἔμψυχον μὲν, ἡ τῶν ζώων φωνή. ἄψυχον δὲ, φθόγγοι καὶ ἤχοι. τῆς ἐμψύχου φωνῆς ἡ μὲν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος. ἐγγράμματος μὲν, ἡ τῶν ἀνθρώπων· ἀγράμματος δὲ, ἡ τῶν ζώων. τῆς ἄρα φωνῆς ἡ μὲν, ἔμψυχος· ἡ δὲ, ἄψυχος.

Τῶν ὄντων τὰ μέν ἐστι μερικὰ· τὰ δὲ, ἀμέρικα· τούτων δὲ τῶν μερικῶν τὰ μὲν, ὁμοιομερῆ· τὰ δὲ, ἀνομοιομερῆ. ἀμερῆ μὲν οὖν ἐστιν, ὅσα μὴ ἔχει διαίρεσιν, μηδὲ ἔκ τινος σύγκειται· οἷον, ἥτε μονὰς, καὶ ἡ στιγμὴ, καὶ ὁ φθόγγος· μερικὰ δὲ, ὅσα ἔκ τινος σύγκειται· οἷον, αἵτε συλλαβαὶ, καὶ συμφωνίαι, καὶ ζῶα, καὶ ὕδωρ, καὶ χυτός. καὶ ὁμοιομερῆ μὲν, ὅσα ἐξ ὁμοίων σύγκειται, καὶ μηδὲν διαφέρει τὸ ὅλον τῶν μερῶν, εἰ μὴ τῷ πλήθει· οἷον, τὸ ὕδωρ, καὶ τὸ χρυσίον, καὶ πᾶν τὸ χυτὸν, καὶ τὸ τοιοῦτον. ἀνομοιομερῆ δὲ, ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον οἰκία καὶ τὰ τοιαῦτα. τῶν ὄντων ἄρα τὰ μέν ἐστι μερικὰ, τὰ δὲ ἀμερῆ. τῶν δὲ μερικῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ.

Τῶν ὄντων, τὰ μέν ἐστι καθ' ἑαυτὰ, τὰ δὲ πρός τι λέγεται. τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα, ἐστὶν ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δ' ἂν εἴη οἷον ἄνθρωπος, ἵππος, καὶ τὰ ἄλλα ζῶα. τούτων γὰρ ἕκαστον δὲ ἑρμηνείας χωρεῖ. τῶν δὲ πρός τι λεγομένων, ὅσα προσδεῖται τινὸς ἑρμηνείας, οἷον τὸ μεῖζον τινὸς, καὶ τὸ ἥττον τινὸς, καὶ τὸ κάλλιον, καὶ τὰ τοιαῦτα. τὸ τε γὰρ μεῖζον, ἐλάττονός ἐστι μεῖζον, καὶ τὸ ἥττον τινός ἐστι· τῶν ὄντων ἄρα, τὰ μὲν αὐτὰ καθ' αὑτὰ λέγεται, τὰ δὲ πρός τι. ὧδε καὶ τὰ πρῶτα διήρει, κατὰ τὸν Ἀριστοτέλη.

Γέ-

Γέγονε δὲ καὶ ἄλλος Πλάτων φιλόσοφος Ρ'όδιος, μαθητὴς Παναιτίου, καθάφησι Σέλευκος ὁ γραμματικὸς ἐν τρίτῳ περὶ φιλοσοφίας· καὶ ἄλλος, Ἐλπαπτικὸς, μαθητὴς Ἀριστοτέλους· καὶ ἕτερος, Πραξιφάνης· καὶ ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΣΠΕΥΣΙΠΠΟΣ.

Τὰ μὲν περὶ Πλάτωνος τοσαῦτα ἦν εἰς τὸ δυνατὸν ἡμῖν συναγαγεῖν, φιλοπόνως διειλημφόσι τὰ λεγόμενα περὶ τοὐτου. Διεδέξατο δ' αὐτὸν Σπεύσιππος Εὐρυμέδοντος, Ἀθηναῖος. τὸν δὲ δῆμον Μυρρινούσιος ἦν· ὃς ἦν υἱὸς τῆς ἀδελφῆς αὐτοῦ Πωτώνης.

Καὶ ἐσχολάρχησεν ἔτη ὀκτὼ, ἀρξάμενος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Χαρίτων τε ἀγάλματα ἀνέθηκεν ἐν τῷ μουσείῳ, τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημίᾳ ἱδρυθέντι.

Καὶ ἔμεινε μὲν ἐπὶ τῷ αὐτῷ Πλάτωνι δογμάτων· ἀ μὲν τό γε ἦθος διέμεινε πιθανός. καὶ γὰρ ὀργίλος καὶ ἡδονῶν ἥττων ἦν. φασὶ δὲ αὐτὸν ὑπὸ θυμοῦ τὸ κυνίδιον εἰς τὸ φρέαρ ῥῖψαι· καὶ ὑφ' ἡδονῆς ἐλθεῖν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασάνδρου γάμον.

Ἐλέγοντο δὲ αὐτοῦ καὶ αἱ Πλάτωνος ἀκοὰς μαθῆσαι, Λαοδικία τε ἡ Μαντινικὴ, καὶ Ἀξιοθέα ἡ Φλιασία.

τία. ὅτε καὶ Διονύσιος πρὸς αὐτὸν γράφων ὑπερφυῶς φησὶ, καὶ ἐκ τῆς Ἀρκαδικῆς σε μαθητείας δεῖ τινὰ φιλοσοφίαν καταμαθεῖν· καὶ Πλάτων μὲν ἀτελεῖς φόρων τὰς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς, καὶ πάρεδρόν με καὶ κοινὸν λαμβάνεις.

Οὗτος πρῶτος (καθά φησι Διόδωρος ἐν ὑπομνήμασι πρώτῳ) ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν, καὶ συμφυείσης καθόσον οἷόν δυνατὸν ἀλλήλοις· καὶ πρῶτος ἔφη Ἰσοκράτης τὰ καλούμενα ὑπορρήτα ἐξενέγκειν, ὥς φησι Κάινδις. καὶ πρῶτος εὗρεν ᾧ τὰ φορμία τῶν φρυγάνων εὐόγκα ποιεῖσιν.

Ἤδη δὲ ὑπὸ φθαλύσεως καὶ τὸ σῶμα διέφθαρτο· καὶ πρὸς Ξενοκράτη διεπέμπετο, φθάνειν αὐτὸν ἐλθεῖν, καὶ τινὰ χολὴν δεδέχθαι.

Φασὶ δὲ ἐφ' ἅμαξίᾳ αὐτὸν φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει, καὶ Χαῖρε εἰπεῖν· τὸν δὲ φάναι, Ἀλλὰ μὴ σύγε, ὅστις ὑπομένεις ζῆν τοιοῦτος ὤν.

Καὶ τέλος ὑπὸ ἀθυμίας ἑκὼν τὸν βίον μετήλλαξε, γηραιὸς ὤν. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμάθομεν ὧδε θανεῖσθαι;
Οὐκ ἂν ἔπεισέ μέ τις τῦδε λέξαι, ὡς ἄρ' ἔων ὃς
Οὐχὶ Πλάτωνι πρὸς αἵματος. ἐ γὰρ ἀθυμῶν
Κάτθανεν ἄν, ἀλλά δικ τι σφόδρα μικρόν.

Πλάτωνος δέ φησιν, ἐν τῷ Λυσάνδρᾳ βίῳ καὶ Σύλλα, φθεῖραι ἐπιζέσαι αὐτόν. ὧδε δὲ καὶ τὸ σῶμα διακεχυμένος, ὥς φησι Τιμόθεος ἐν τῷ περὶ βίων.

Οὗτος, φησὶ, πρὸς τὸν ἐρωτῶντα πλέσιον ἀμόρφως, ἔφη, Τί δεσοι δεῖ τούτου; ἐγὼ γάρ σοι δέκα πελειάνων ἀμορφοτέραν δείξω.

Καταλέλοιπε δὲ πάμπλειστα ὑπομνήματα, καὶ διαλόγους πλείονας· ἐν οἷς καὶ Ἀρίσιππον τὸν Κυρηναϊκόν· Περὶ πλούτου, ά. Περὶ ἡδονῆς, ά. Περὶ δικαιοσύνης, ά. Περὶ φιλοσοφίας, ά. Περὶ φιλίας, ά. Περὶ θεῶν, ά. Φιλόσοφος, ά. πρὸς Κέφαλον, ά. Κέφαλος, ά. Κλεινόμαχος, ἢ Λυσίας, ά. Πολίτης, ά. Περὶ ψυχῆς, ά. Πρὸς Γύλωνα, ά. Ἀρίσιππος, ά. Τεχνῶν ἔλεγχος, ά. ὑπομνηματικοὶ διάλογοι, Τεχνικὸν, ά. Διάλογοι τῶν περὶ τὴν πραγματείαν ὁμοίων, ά., β'., γ'., δ'. έ., ς'., ζ'., ή., θ'., ί. διαιρέσεις, καὶ πρὸς τὰ ὅμοια ὑποθέσεις. Περὶ γενῶν καὶ εἰδῶν παραδειγμάτων· Πρὸς τὸν Ἀμάρτυρον· Πλάτωνος ἐγκώμιον· Ἐπιστολαὶ, πρὸς Δίωνα, Διονύσιον, Φίλιππον· Περὶ νομοθεσίας· Μαθηματικὸς, Μανδρόβυλος, Λυσίας, Ὅροι, Τάξεις ὑπομνημάτων, στίχοι μ'., γ'., δ'., έ., έ. πρὸς τὸν γράφει καὶ Σιμωνίδης τὰς ἰσορίας, ἐν αἷς κατατετάχει τὰς πράξεις Δίωνός τε καὶ Βίωνος. ἐν δευτέρῳ ὑπομνημονευμάτων Φαβωρῖνος φησὶν ὡς Ἀριστέλης αὐτῷ τὰ βιβλία βιῶν παλαιῶν ὠνήσατο.

Γέγονε Σπεύσιππος καὶ ἕτερος, ἰατρὸς Ἡροφίλειος Ἀλεξανδρεύς.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΞΕΝΟΚΡΑΤΗΣ.

Ξενοκράτης, Ἀγαθώνορος, Χαλκηδόνιος. ὅτος ἐκ νέος Πλάτωνος ἤκουσεν, καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν.

Ἦν δὲ τὴν φύσιν νωθρός· ὥστε φασὶ λέγειν τὸν Πλάτωνα, συγκείνοντα αὐτὸν Ἀριστοτέλει, Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ. καὶ, Ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω.

Σεμνὸς δὲ τὰ τε ἄλλα Ξενοκράτης, καὶ σκυθρωπὸς ἀεὶ, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, Ξενόκρατες, θύε ταῖς Χάρισι. διηγέτε ἐν Ἀκαδημίᾳ παπλεῖσα. καὶ εἴ ποτε μέλλοι ἐς ἄσυ αὐλίσθαι, φασὶ τὸς θορυβώδεις παύτας καὶ φρενίτας ὑποσέλλειν αὐτοῦ τῇ παρόδῳ. καί ποτε καὶ Φρυνίῳ τινὶ ἑταίρᾳ ἐθελῆσαι πειράσαι αὐτὸν, καὶ δῆθεν διωκομένῳ ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον. τὸν δὲ, σὺν ἑκατὸν ἀνθρωπίνοις, εἰσδέξασθαι, καὶ σὺς ὄντος κλινιδίου δισμῷ μεταδῦναι τῆς κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαρῆσα, ἀφροντις ἀναστῆσαι, λέγειν τε φὸς τὸς πυνθανομένους, ὡς οὐκ ἀπ' ἀνδρὸς ἀλλ' ἀπ' ἀνδρείκτος ἀναστάσης. οἵνοι δὲ Λαΐδα φασὶ φθονοκατακλῖναι αὐτῷ τὸς μαθητάς. τὸν δὲ ὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις πολλάκις ὑπομεῖναι φὸς τὸ αἰδοῖον.

Ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα. ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τότῳ μόνῳ συνεχώρησαν Ἀθηναῖοι.

Καὶ δὴ καὶ αὐτάρκεσατος ἦν. Ἀλεξάνδρου γὰρ καὶ συχνὸν ἀργύριον ἀποστείλαντος αὐτῷ, ἑξακισχιλίας Ἀττικὰς

τικὰς ἀφελὼν, τὸ λοιπὸν ἀπέπεμψεν, εἰπὼν, ἐκείνῳ πλειόνων δεῖν πλείονας ξένους τρέφοντι. ἀλλὰ καὶ ὑπ' Ἀντιπάτρου πεμφθεὶς μὴ προσέσθαι, ὡς φησι Μυρωνιανὸς ἐν ὁμοίοις. καὶ χρυσῷ στεφάνῳ τιμηθεὶς ἐπ' ἄθλῳ πολυπροσίας, τῆς καταχθείσης ἐπὶ Διονυσίῳ, ἐξιόντα θεῖναι πρὸς τὸν ἱδρυμένον Ἑρμῆν, ὅθ' ἅπερ τιθέασι καὶ τοὺς ἀθλητὰς εἰώθεσαν. λόγος δὲ αὐτὸν μὴ καὶ ἄλλων πεμφθῆναι πρεσβευτὴν πρὸς Φίλιππον· καὶ τοὺς μὲν δώροις μαλθασσομένους, καὶ εἰς τὰς κλίσεις συνιέναι καὶ τῷ Φιλίππῳ λαλεῖν· τὸν δὲ, μηδέπερ τούτων ποιεῖν. ὅτε γὰρ ὁ Φίλιππος αὐτὸν προσίετο διὰ τοῦτο. ὅθεν ἐλθόντας τοὺς πρέσβεις εἰς τὰς Ἀθήνας, φάσκειν ὡς μᾶλλον αὐτοῖς Ξενοκράτης συνελήλυθεν· καὶ τοὺς ἐπιμελεῖς εἶναι ζημιῶν αὐτόν. μαθόντας δὲ παρ' αὐτοῦ ὡς νοῦν καὶ μᾶλλον φροντιστέον εἶναι τῆς πόλεως αὐτοῖς, (τοὺς μὲν γὰρ ἤδη ἐδωροδόκησεν ὁ Φίλιππος, ἐμὲ δὲ μηδενὶ λόγῳ ἐπαξέμενος·) φασὶ διπλασίους αὐτὸν τιμῆσαι· καὶ τὸν Φίλιππον δὲ λέγειν ὕστερον, ὡς μόνος εἴη Ξενοκράτης ὃν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος. ἀλλὰ καὶ πρεσβεύων πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων καὶ τὸν Λαμιακὸν πόλεμον, καὶ κληθεὶς ἐπὶ δεῖπνον πρὸς αὐτὸν, προσωμολόγκατο ταυτὶ,

Ὦ Κίρκη, τίς γὰρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πεῖν πλαίη πάσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;

καὶ τὸν, ἀποδεξάμενον τὴν δυσχέιαν, δίδους εἶναι.

Σμυρδίαν δέ ποτε διωκομένην ὑπὸ ἱέρακος, καὶ εἰσπηδήσασαν εἰς τὰς κόλπους αὐτῷ, καταφήσας μεθῆκεν, εἰπών· τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. σκωπτόμενος ὑπὸ Βίωνος, ὅτι ἔφη αὐτῷ ἀποκεκεῖσθαι· μηδὲ γὰρ τὴν τρα-

γῳ-

γωδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένων ἀποπείσεως ἀξιῶν. πρὸς δὲ τὸν μήτε μουσικὸν, μήτε γεωμετρίαν, μήτε ἀστρονομίαν μεμαθηκότα, βελόμενον δὲ παρ' αὐτὸν φοιτᾶν· Πορεύου, ἔφη· λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας· οἱ δὲ τοῦτο φασὶν εἰπεῖν, Παρ' ἐμοὶ γὰρ πόκος οὐ κναίπτεται. εἰπόντος δὲ Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσει τις αὐτῷ τὸν ξάχηλον, παρὼν ἔτος καὶ δείξας τὸν ἴδιον, Οὐκ ἄν γε, ἔφη, τὶς πρότερον πάτει.

Φασὶ, καὶ Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀπασαμένου αὐτὸν, μὴ πρότερον αὐτὸν προσαγορεῦσαι πρὶν ἢ τὸν λόγον ὃν ἔλεγε διαπερανάσθαι.

Ἀτυφότατος δὲ ὢν, πολλάκις ἑαυτῷ τῆς ἡμέρας διεμελέτα, καὶ ὥραν μίαν φασὶν ἀπεύεμε σιωπῇ.

Καὶ πλεῖστα ὅσα καταλέλοιπε συγγράμματα καὶ ἔπη, καὶ παραινέσεις· ἃ ὄζει ταῦτα. Περὶ φύσεως, α', β', γ', δ', ε', ς'. Περὶ σοφίας, ς'· Περὶ πλούτου, α'. Ἀρκὰς, α'· Περὶ τῆς ἀσκήσεως, α'. Περὶ τῆς παιδίας, α'· Περὶ ἐγκρατείας, α'· Περὶ τοῦ ὠφελίμου, α'· Περὶ τοῦ ἐλευθέρου, α'· Περὶ θανάτου, α'· Περὶ ἡσυχίου, α'· Περὶ φιλίας, α', β'· Περὶ ἐπιστήμης, α'· Περὶ τοῦ ἐναντίου, α', β'· Περὶ δαιμονίας, α', β'· περὶ τοῦ γράφειν, α'· Περὶ μνήμης, α'· Περὶ τοῦ ψεύδους, α'· Καλλικλῆς, α'· Περὶ φρονήσεως, α', β'· Οἰκονομικὸς, α'· Περὶ σωφροσύνης, α'· Περὶ δικαίου νόμου, α'· Περὶ πολιτείας, α'· Περὶ ὁσιότητος, α'· Ὅτι διδακτὸν ἡ ἀρετὴ, α'. Περὶ τοῦ ὄντος, α'· Περὶ εἱμαρμένης, α'· Περὶ τῶν παθῶν, α'· Περὶ βίων, α'· Περὶ ὁμοιότητος, α'· Περὶ μαθητῶν, α', β'· Περὶ δικαιοσύνης, α'· Περὶ ἀρετῆς, α', β'· Περὶ εἰδῶν, α'· Περὶ ἡδονῆς, α', β'· Περὶ βίου, α'· Περὶ ἀνδρείας, α'. Περὶ τοῦ νοῦ, α'. Περὶ ἰδιῶν, α'· Περὶ τέχνης, α'· Περὶ

εἰ θεῶν, ά, β΄. Περὶ ψυχῆς, ά, β΄. Περὶ ὑπομνήμης, ά. Πολιτικὸς, ά. Περὶ ὑπομνοσύνης, ά. Περὶ φιλοσοφίας, ά. Περὶ τῆ Παρμενίδε, ά. Ἀρχέδημος, ἢ Περὶ δικαιοσύνης, ά. Περὶ ἀγαθῦ, ά. Τῶν πρὸς τὴν ἀκάδημον, ά. β΄, γ΄, δ΄, έ, ς΄, ζ΄, ή. Λύσις τῆ πρὸς τὰς λόγας, ά, ί. Φυσικῆς ἀκροάσεως, ά, β΄, γ΄, δ΄, έ, ς΄. Κεφάλαιον, ά. Περὶ ἡρώων καὶ εἰδώων, ά. Πυθαγόρεια, ά. Λύσεις, ά, β΄. Διαιρέσεις, ή. Θέσεων βιβλία, ρ΄, μ΄, γ΄. Τῆς πρὸς τὸ διαλέγεθαι πραγματείας βιβλία ιέ, μ΄, ά, β΄, ψ΄, μ΄. μῦ τῦτο βιβλία ιέ, καὶ ἄλλα βιβλία ις΄. Περὶ μαθημάτων τῆ περὶ τὴν λέξιν λογικῶν, βιβλία θ΄. τῆ πρὸς τὰ μαθήματα, βιβλία ς΄. τῆ πρὸς τὴν διάνοιαν ἄλλα βιβλία δύο. Περὶ γεωμετρῶν, βιβλία έ. ὑπομνημάτων, ά. ἐναντίων, ά. Περὶ ἀριθμῶν, ά. Ἀριθμῶν θεωρία, ά. Περὶ διαγραμμάτων, ά. Τῶν πρὸς ἀστρολογίαν, ς΄. Στοιχεῖα πρὸς Ἀλέξανδρον, πρὸς βασιλείας, δ΄. Πρὸς Ἀρύβαν. Πρὸς Ἡφαιστίωνα. Περὶ γεωμετρίας, ά, β΄. στίχοι μ΄ κ΄ β΄ δ΄ σ΄ λ΄. θ΄.

Ἀθηναῖοι δ΄ ὅμως αὐτὸν ὄντα τοιῦτον ὑπερφυᾶ ποτε, τὸ μετοίκιον ἀδυνατοῦντα θεῖναι. καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς, καὶ ἑκάτερον ἀποκατέστησε. Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μετοίκιον. τῦτό φησι Μυρωνιανὸς ὁ Ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῆ ἱστορικῶν ὁμοίων κεφαλαίων.

Διεδέξατο δὲ Σπεύσιππον, καὶ ἀφυπήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσι ἔτη ὑπὸ Λυσιμαχίδε, ἀρξάμενος κατὰ τὸ δεύτερον ἔτος τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος.

Ἐτελεύτα δὲ νυκτὸς, λεκάνῃ προσπταίσας, ἔτος ἤδη γεγονὼς δεύτερον καὶ ὀγδοηκοστόν. φασὶ δὲ καὶ εἰς αὐτὸν ἔτωσι,

Χαλ-

Χαλκῇ προσπαίσας λεκάνῃ ποτὲ, καὶ τὸ μέτωπον
Πλήξας, ἰαχὼν Ὠ σώτονον, εἶτ' ἔθανεν,
Ὀ πάντα πάντη Ξενοκράτης ἀνὴρ γεγώς.

Γεγόνασι δὲ καὶ ἄλλοι Ξενοκράτεις ς'. ὅ,τε ταντικὸς, ἀρχαῖος σφόδρα. καὶ ὁ συγγρὰς ἅμα καὶ πολίτης τῷ προειρημένῳ φιλοσόφῳ· φέρεται δὲ αὐτοῦ λόγος Ἀρσινοητικὸς, γεγραμμένος πρὸς Ἀρσινόην ὑπὲρ Σάμου. τέταρτος, φιλόσοφος, ἐλεγείαν γεγραφὼς οὐκ ἐπιτυχῶς· ἴδιον δέ· ποιηταὶ μὲν γὰρ ἐπιβαλλόμενοι πεζογραφεῖν, ἐπιτυγχάνουσι· πεζογράφοι δὲ ἐπιθέμενοι ποιητικῇ, πταίουσι· δῆλον τὸ μὲν φύσεως εἶναι, τὸ δὲ τέχνης ἔργον. πέμπτος, ἀνδριαντοποιός· ἕκτος, ἄσματα γεγραφὼς, ὡς φησιν Ἀριστόξενος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΟΛΕΜΩΝ.

Πολέμων, Φιλοστράτῳ μὲν υἱὸς ἦν, Ἀθηναῖος, τὸν δῆμον Οἰνῆθεν. νέος δ' ὢν, ἀκόλαστός τε καὶ διακεχυμένος ἦν ἔτος, ὥστε καὶ θεμιτὸν εἶναι ἀργύριον πρὸς τὰς ἐτοίμους λύσεις τῆς ἐπιθυμιῶν. ἀλλὰ καὶ ἐν τοῖς σκωπτοῖς διέκρυπτεν. ἀλλὰ καὶ ἐν Ἀκαδημίᾳ πρός τινί τινι ξιφίδιον διῤῥέθη προσπεπλασμένον αὐτῷ, διὰ τὴν ὁμοίαν τῇ προειρημένῃ πρόφασιν. καί ποτε σκυθρωπὸς τοῖς νέοις, καὶ ἐστεφανωμένος, μεθύων εἰς τὸν Ξενοκράτους ἦλθε χολεῖον. ὁ δὲ, ἅτε διαπεπληγὼς, ἤρξατο τὸν λόγον ὁμοίως· καὶ δὲ σωφροσύνης· ἀκοῦσον δὲ τὸ μειράκιον,

κιον, κατ' ὀλίγον ἐθηράθη· καὶ ὅτως ἐφρόντισε φιλόπονος ὢν, ὡς ὑπερβάλλεσθαι τοὺς ἄλλους, καὶ αὐτὸν ἐξαδέξασθαι τὴν σχολὴν, ἀρξάμενον ἀπὸ τῆς ἕκτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος.

Φησὶ δὲ Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς βίοις, τὸν πατέρα αὐτοῦ πρῶτόν τε εἶναι τῶν πολιτῶν, καὶ ἁρματοτροφῆσαι.

Φυγεῖν δὲ τὸν Πολέμωνα καὶ δίκην κακώσεως ὑπὸ τῆς γυναικὸς, ὡς μειρακίοις συνόντα.

Τοσοῦτον δὲ ὑπερεῖναι τὸ ἦθος ἀρξάμενον φιλοσοφεῖν, ὥστ' ὀπὶ ταυτὸν χρῆματος τῆς μορφῆς πάντοτε μένειν. ἀλλὰ καὶ τὴν φωνὴν ἀπαλοίωτος ἦν· διὸ καὶ θηρᾶσθαι Κράτορα ὑπ' αὐτοῦ· κωμῳδοῦντος γὰρ λυττῶντος, καὶ τὴν ἰγνύαν δῃπατήσαντος, μόνον μὴ ὠχριάσαι· καὶ παραχθεὶς γενομένης ὀπὶ τῆς πόλεως, πυθόμενον τὸ γεγονὸς, ἄξεπτον μεῖναι· σύ τε τοῖς θεάτροις ἀσυμπαθέστατος ἦν. Νικοστράτῃ γάρ ποτε, τῷ ὑποκαλεμένῳ Κλυταιμνήστρα ἀναγινώσκοντός τι τῶν ποιητῶν αὐτῷ τε καὶ Κράτητι, τὸν μὲν συνεχρίσθαι, τὸν δ' ἴσα καὶ μὴ ἀκοῦσαι. καὶ ὅλως ἦν τοιοῦτος οἷόν φησι Μελάνθιος ὁ ζωγράφος ἐν τοῖς Περὶ ζωγραφικῆς. φησὶ γὰρ δεῖν αὐθάδειάν τινα καὶ σκληρότητα τοῖς ἔργοις ὑπάρχειν, ὁμοίως δὲ καὶ τοῖς ἤθεσιν. ἔφασκε δὲ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνάζεσθαι, καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς θεωρήμασι, καθάπερ ἁρμονικόν τι τέχνιον κατασκευάσαντα· καὶ ὡς κατὰ μὲν τὴν ἐρώτησιν θαυμάζεσθαι, κατὰ δὲ τὴν διάθεσιν ἑαυτοῖς μάχεσθαι. ἦν δὲ ἀστεῖός τις καὶ γενναῖος, παρῳκημένος ἃ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου,

Ὀξὺς καὶ στιλπνός.

ἅπερ,

ἅπερ, ὡς αὐτός φησι,

Καταπυγοσυνῃ ταῦτά ὄζει πρὸς κρέας μέγα.

Ἀλλὰ μὴν ἀδὲ καθίζων ἔλεγε πρὸς τὰς θέσεις, φασί, θαυμάτων δὲ ἐπεχείρει. ἦν δὴ ἐν τῷ φιλοθαυμαίῳ ἐτίματο ἐν τῇ πόλει. ἐ μὴν ἀλλὰ καὶ ἐκπεπαπωὼς ἦν, ἀναβιβῶν ἐν τῷ κήπῳ, παρ' ὃν οἱ μαθηταὶ μικρὰ καλύβια ποιησάμενοι, κατῴκουν πλησίον τῷ μουσείῳ καὶ τῆς ἐξέδρας.

Ὡς ἐῴκει δὴ, ὁ Πολέμων κατὰ πάντα ἐζηλώκει τὸν Ξενοκράτην· καὶ ἐραθῆναι αὐτῷ φησὶν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. ἀεὶ γὰρ ἐμέμνητο ὁ Πολέμων αὐτῷ, τήν τε ἀκακίαν καὶ τὸν ἀυχμὸν ἐνεδέδυτο τὰ ἱδρὼς καὶ τὸ βάρος, οἱονεὶ Δωριός τις οἰκονομία.

Ἦν δὲ καὶ φιλοσοφολῦς, καὶ μάλιστα ἐν ἐκείνοις, ὅπου κατὰ τὸν κωμικὸν τὰ ποιήματα αὐτῷ κύων τις ἐδόκει συμποιεῖν Μολοττικός. καὶ οὕτω ἦν, κατὰ τὸν Φρύνιχον, ἐ γαῦσις, ἀδ' ὑπόχυτος, ἀλλὰ πράμνιος. ἔλεγε δὲ τὸν μὲν Ὅμηρον, δῆμον εἶναι Σοφοκλέα, Ὅμηρον δὲ, Σοφοκλέα ξαγικόν.

Ἐτελεύτησε δὲ γηραιὸς ἤδη ὑπὸ φθίσεως, ἵνα νὺ συγγράμματα καταλιπών. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Οὐκ αἰεὶς; Πολέμωνα κεκεύθαμεν, ὃν θέτο τῇδε
Ἀῤῥωσία, τὸ δεινὸν ἀνθρώπων πάθος·
Οὐ μᾶλλον Πολέμωνα, τὸ σῶμα δέ. τοῦτο γὰρ αὐτὸς
Μέλλων ἐς ἄστρα βαίνειν, θῆκεν χάμαι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΚΡΑΤΗΣ.

ΚΡάτης, παῖς μὲν ὢν Ἀντιχθόνος, Θηβαῖος δὲ τὸν δῆμον, καὶ ἀκροατὴς ἅμα καὶ ἐρώμενος Πολέμωνος. ἀλλὰ καὶ διεδέξατο τὴν σχολὴν αὐτοῦ.

Καί ἔπως ἀλλήλῳ ἀφελεῖτον, ὥστε καὶ ζῶντε ὁ μόνον τῇ αὐτῇ ἥδον ὑπηδυμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιάθην ἀλλήλοιν, καὶ θανόντε τῆς αὐτῆς ταφῆς ἐκοινωνείτην· ὅθεν Ἀνταγόρας εἰς ἄμφω τὼν ἐποίησε τὸν ξόπον,

Μνήματι τῷδε Κράτητα θεοδέα καὶ Πολέμωνα
Ἔννεπε κρύπτεσθαι ξεῖνε παρερχόμενος·
Ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἄπο μῦθος
Ἱερὸς ἥειστν δαιμονίης σόμαπος.
Καὶ βίοτος καθαρὸς σοφίας ὅπι θεῖον ἐκόσμεε
Αἰῶνα, στρεπτοῖς δόγμασι πειθόμενος.

σθεν καὶ Ἀρκεσίλαον μετελθόντα φῆσὶ Θεόφραστος αὐτὸς λέγειν, ὡς εἶεν θεοί τινες ἢ λείψανα τῆς χρυσῆς γενεᾶς. καὶ γὰρ ἥδιον ἦ φιλοδημώδες· ἀλλ' οἷον Διονυσόδωρον ποτέφασι τὸν αὐλητὴν εἰπεῖν, σεμνυνόμενον ὅτι τῇ μηδενὶ τῶν πραγμάτων αὐτῆς μητ' ὅτι ξυήρες, μητ' ὅτι πρωΐης ἀκηκοέναι, καθάπερ Ἰσμηνίᾳ.

Συσσίτιον δὲ φησιν αὐτῷ ὁ Ἀντίγονος εἶναι πρὸς Κράτητα, ὁμονόως συμβιόντων πάντων τε καὶ Ἀρκεσιλάου· τιμὴ δὲ οἰκήσιν Ἀρκεσίλαον μὲν ἔχειν μετὰ Κράτητος, Πολέμωνα δὲ σὺν Κράτητι μετὰ Λυσικλέους τινὸς τῆς πολι-

πολιτῶν. ἰω δὲ, φησὶν, ἐρώμενος, Κράτης μὲν, ὡς προείρηται, Πολέμωνος, Ἀρκεσίλαος δὲ Κράντορος.

Τελευτῶν δὲ ὁ Κράτης, καθά φησιν Ἀπολλόδωρος ἐν ξίτῳ τῶν χρονικῶν, ἀπέλιπε βιβλία, τὰ μὲν φιλοσοφήματα, τὰ δὲ περὶ κωμῳδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ προεδρευτικούς.

Ἀλλὰ καὶ μαθητὰς ἐλλογίμους· ὧν Ἀρκεσίλαον, περὶ ὃν λέξομεν, διήκουσε καὶ καὶ τότε· καὶ Βίωνα τὸν Βορυσθενίτην, ὕστερον δὲ Θεοδώρειον ἀπὸ τῆς αἱρέσεως ἐπικαλούμενον· περὶ ὃν καὶ αὐτὸν λέξομεν ἐχομένως Ἀρκεσιλάου.

Γεγόνασι δὲ Κράτητες δέκα. πρῶτος, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής· δεύτερος, ῥήτωρ Τραλλιανὸς· Γ'σοκράτειος· ξίτος, παφλαγών, Ἀλεξάνδρῳ συνών· τέταρτος, ὁ κύων, περὶ ὃν λέξομεν· πέμπτος, φιλόσοφος Περιπατητικός· ἕκτος, Ἀκαδημαϊκὸς, ὁ προειρημένος· ἕβδομος, Μαλώτης, γραμματικός· ὄγδοος, γεωμετρικὰ γεγραφώς. ἔνατος, ἐπιγραμμάτων ποιητής· δέκατος, Ταρσεὺς, φιλόσοφος Ἀκαδημαϊκός.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΚΡΑΝΤΩΡ.

Κράντωρ, Σολεύς, θαυμαζόμενος ἐν τῇ ἑαυτῶν πατρίδι, ἀπῆρεν εἰς Ἀθήνας, καὶ Ξενοκράτους διήκουσε Πολέμωνι συνεχολάζων.

Καὶ κατέλιπεν ὑπομνήματα εἰς μυριάδας στίχων ξ· ὧν τινάτινες Ἀρκεσιλάῳ προσάπτουσι.

Φα-

Φασὶ δὲ αὐτὸν ἐρωτηθέντα τίνι θηρᾶθείη ὑπὸ Πολέμωνος, εἰπεῖν, τῷ μήτε ὀξύτερον μήτε βαρύτερον ἀκοῦσαι φθεγγομένου.

Οὗτος νοσήσας εἰς τὸ Ἀσκληπιεῖον ἀνεχώρησε, κἀκεῖ ἐθεραπεύετο. οἱ δὲ, πανταχόθεν προσιέσαν αὐτῷ, νομίζοντες ὑ δὰ νόσον, ἀλλὰ βέλεθαι αὐτόθι χολὴν συσήσαθαι.

Ὧν ἰῶ ἡ Ἀρκεσίλαος, θέλων ὑπ' αὐτῦ συναθῆναι Πολέμωνι, καίπερ ἐρῶντος, ὡς ἐν τῷ περὶ Ἀρκεσιλάου λέξομεν. ἀλλὰ ἡ αὐτὸν ὑγιαίνοντα δηκύειν Πολέμωνος· ἐφ' ᾧ καὶ μάλιστα θαυμαθῶναι. λέγεται δὲ καὶ τὴν οὐσίαν καταλιπεῖν Ἀρκεσιλάῳ, ταλάντων ὄσαν δυοκαίδεκα. καὶ ἐρωτηθέντα πρὸς αὐτῦ πῦ βέλεται ταφῆναι, εἰπεῖν,

Ἐν γῆς φίλοις μυχοῖσι κρυφθῆναι καλόν.

Λέγεται δὲ ἡ ποιήματα γράψαι καὶ ἐν τῇ πατρίδι δὴ τῷ τῆς Ἀθηνᾶς ἱερῷ σφραγισάμενος αὐτὰ θεῖναι. καί φησι Θεαίτητος ὁ ποιητὴς ὕπωσι περὶ αὐτῦ,

Ἤνδανεν ἀνθρώποις, ὁ δ' ὑπέπλεον ἤνδανε Μοῦσαις
Κρατήρ, ἡ γήρως ἤλυθεν ἔτι πρόσω.
Γῆ σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἀνδρ' ὑποδέξῃ,
Ἥρ' ὄγε ἡ ζώει κεῖθι ἐν ἀθυμίῃ.

ἐθαύμαζε δὲ ὁ Κράτηρ πάντων δὴ μᾶλλον Ὅμηρον ἡ Εὐριπίδην, λέγων ἐργῶδες, ἐν τῷ κυρίῳ ζαγικῶς ἅμα καὶ συμπαθῶς γράψαι· ἡ προεφέρετο τὸν στίχον τὸν ἐκ τῦ Βελλεροφόντε,

Οἴμοι. τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

λέγε-

λέγεται δὲ καὶ Ἀναξάρχῳ τὸν ποιητὴν ὡς Κράτητος εἰς ἔρωτα πεποιημένα φέρεσθαι ταυτί,

Ἐν δοιῇ μοι θυμὸς, ὅτε γενὸς ἀμφιβόητον,
Ἢ σε θεῶν τὸν ἅπαντα ἀειγενέων ἔρος εἶπω,
Τῶν ὅσσοι ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
Γείνατο νύξ, πελάγεσσιν ὑπ' ἀγρέας Ὠκεανοῖο·
Ἢ σέ γε Κύπριδος ἦμα ἀφ' ἱμέρου, ἢ σε γαίης
Ἢ ἀνέμων, τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι
Ἀνθρώπων ἠδ' ἔσλα, τὸ καὶ σέο σῶμα διφυόν.

Ἦν δὲ καὶ δεινὸς ὀνοματοποιῆσαι. ξαγῳδὸν γὰρ ἀπελέκητον εἶπεν ἔχειν φωνὴν, καὶ φλοιὸν μεγάλῳ. καί τινος ποιητοῦ σκίφης μεστὰς εἶναι τὰς σίχας· καὶ τὰς Θεοφράστου θέσεις ὀρέφῳ γεγράφθαι. θαυμάζεται δὲ αὐτοῦ μάλιστα βιβλίον τὸ περὶ πόθους.

Καὶ κατέρραψε πρὸ Πολέμωνος καὶ Κράτητος, ὑδρωπικῇ διαθέσει νοσήσας. καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν,

Ἐπέκλυσε καί σε, Κράτωρ, ἡ νόσων κακίστη,
Χ' ὕπνου κατῆλθες εἰς μέλαιναν Πλειτέος ἄβυσσον.
Καὶ σὺ μὲν ἐκεῖθι ναυῦ χαίρεις, λόγων δὲ σῶν
Χήρη ἔσηκεν Ἀκαδημία, καὶ Σόλοι, πατρὶς σεῦ.

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΑΡΚΕΣΙΛΑΟΣ.

Ἀρκεσίλαος, Σεύθου, ἢ Σκύθου, ὡς Ἀπολλόδωρος ἐν ἕκτῳ χρονικῶν, Πιτανάτης τῆς Αἰολίδος.

Οὗτός ἐστιν ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας πρῶ-

πος, ἐπιχὼν τὰς ἀποφάσεις καὶ τὰς ἐναντιότητας τῶν λόγων. πρῶτος δὲ καὶ ἐς ἑκάτερον ἐπεχείρησε, καὶ πρῶτος τὸν λόγον ἐκίνησε τὸν ὑπὸ Πλάτωνος ἀδιαλεδομένον· καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως ἐλεγκτικώτερον.

Παρέβαλε δὲ Κράτητι τῷ τὸν τρόπον. τέταρτος ἀδελφὸς ἦν, ὧν εἶχε, δύο μὲν ὁμοπατρίους, δύο δὲ ὁμομητρίους. καὶ τῷ μὲν ὁμομητρίων πρεσβύτερον Πυλάδην, τῷ δὲ ὁμοπατρίων Μοιρέαν, ὃς ἦν αὐτῷ διάδοχος. ἤκουσε δὲ κατ' ἀρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ, πολίτου τυγχάνοντος περὶ ἀπαίρειν εἰς Ἀθήνας, μεθ' ὃ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ· μεθ' ὃν Θεοφράστου διήκουσεν· ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράτητα. Μοιρέας μὲν γὰρ, ὁ προειρημένος ἀδελφὸς, ἦγεν αὐτὸν διὰ ῥητορικῆς· ὁ δὲ φιλοσοφίας ἤρα. καὶ αὐτῷ Κράτης, ἐρωτικῶς διατεθείς, ἐπύθετο, τὰ ἐξ Ἀνδρομέδης Εὐριπίδου προσενεγκάμενος,

Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν;
καὶ ὃς τὰ ἐχόμενα,

Ἄγε με, ὦ ξένε, εἴτε δμῶδ' ἐθέλεις, εἴτ' ἄλοχον.

ἐκ τούτου συνήσθιον ἀλλήλοιν. ἵνα καὶ τὸν Θεόφραστον κινοῦμενόν φασιν εἰπεῖν, ὡς εὐφυὴς καὶ ἐπιχείρητος ἀπελήλυθεν ἡ διατριβὴ εἰς νεανίσκος.

Καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέστατος καὶ φιλοκάλλιστος ἱκανῶς ἐφοίτα, ἤσκητο καὶ ποιητικῆς. καὶ αὐτοῦ φέρεται ἐπιγράμματα εἰς Ἄτταλον ὅπως ἔχοντα,

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵπποις,
Πολλάκις αὐδᾶται Πίσαν ἀνὰ ζαθέαν.

Εἰ

Εἰ δὲ τὸν ἐκ διόθεν θεμιτὸν θνατῶν νόον εἰπεῖν,
Ἔσσεται εἰσαῦθις πολλὸν ἀοιδοτέρη.

ἀλλὰ καὶ εἰς Μιλτόδωρον τὸν Εὐδάμεω υἱὸς τῷ συχολαστῶν ἐρώμενον,

Τηλῦ μὲν Φρυγίη, τηλῦ δ' ἱερὴ Θυάτειρα,
Ὦ Μιλτόδωρε, σὴ παξὶς Καδαπάδη.
Ἀλλὰ γὰρ εἰς Ἀΐχέροντα τὸν ἀφαυρὸν, ἴσα κέλλοθα,
Ὡς δειλὸς ἀνδρῶν πάντοθεν μεξόμβρα.
Σῆμα δέ τοι τόδ' ἔρεξεν ἀειφραδὲς Εὐδαμος, ᾧ σὺ
Πολλῶν πενεσέων ἦθα προσφιλέστερος.

ἀπεδέχετο δὲ πάντων μᾶλλον Ὅμηρον, ἔκ τε εἰς ὕπνον ἰὼν παύτως τι ἀνεγίνωσκεν. ἀλλὰ καὶ ὄρθρε λέγων ὅπι τὸν ἐρώμενον ἀπίσαι, ὁπότ' αὖ βέλοιτο ἀναγνῶναι. τόν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι, καὶ ὀνομάτων καὶ ῥημάτων εὐποιίαν παραχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήιζε νέος ὤν.

Διήκουσε δὲ καὶ Ἱππονίκε τῦ γεωμέτρε. ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τῷ γεωμετρείαν αὐτῷ χάσκοντος εἰς τὸ σῶμα ἐμπτῦσαι. τάπιν καὶ ὠδαπόψατο ἀναλαβὼν οἴκοι, ἐς τοσῆτον ἐθεράπευσεν, ἐς ὅσον ἀποκάτασῆσαι.

Κράπιτος δὲ ἐκλιπόντος κατέχε τὴν σχολὴν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδε τινός.

Διὰ δὲ τὸ περὶ πάντων ἐπέχειν, οὐδὲ βιβλίον, φασί τινες, συνέγραψεν· οἱ δὲ, ὅτι ἐφωράθη τινὰ καπηλῶν, ἃ φασιν οἱ μὲν ἐκδῦναι, οἱ δὲ, κατακαῦσαι.

Ἔῴκει δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα, καὶ τὰ βιβλία

ἐκέκτητο αὐτῷ. ἀλλὰ καὶ τὸν Πύρρωνα, καπί τινας, ἐζηλώκει.

Καὶ τῆς διαλεκτικῆς εἴχετο, καὶ τῶν Ἐρετριακῶν ἥπτετο λόγων. ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτῷ ὑπ' Ἀρίστωνος,

Πρόσθε Πλάτων, ὄπιθε δὲ Πύρρων, μέσσος Διόδωρος.

καὶ ὁ Τίμων ἐπ' αὐτῷ φησὶν ὕπως,

Τῇ γὰρ ἔχων Μενέδημος ὑπὸ στέρνοισι μόλυβδον

Θήσεται, ἢ Πύρρωνα τὸ παῦ κρέας, ἢ Διόδωρον.

καὶ διαλιπὼν αὐτὸν ποιεῖ λέγοντα,

Νίκομαι εἰς Πύρρωνα, καὶ εἰς σκολιὸν Διόδωρον.

Ἦν δὲ ἀξιωματικώτατος καὶ σεμνυμένος, καὶ ἐν τῇ λαλιᾷ διατατικὸς τῷ ὀνομάτων.

Ἐπισκώπτης δ' ἱκανῶς καὶ παῤῥησιαστής. διὸ καὶ πάλιν ὁ Τίμων ὕπωσί φησι περὶ αὐτοῦ,

Καὶ νέον ὑλήσης ἐπιπλήξεσιν ἐγκαταμιγνύς.

ὅθεν καὶ πρὸς τὸν ὑπερτερον διαλεγόμενον νεκρίσκον, Οὐ λήψεταί τις, ἔφη, τὸν ἀναγαλῶ; πρὸς δὲ τὸν αἰτίαν ἔχοντα περαίνεσθαι, ὡς ἀπολώλεκεν αὐτῷ· ὅτι οὐ δοκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι· ἠρώτησεν, εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου; Ἡμονός δέ τινος Χίου ἀεισθέντος, καὶ ὑπολαμβάντος εἶναι καλὸν, καὶ ἐν χλανίσιν ἀεὶ διατρεφομένου, εἰπόντος ἢ οὐ δοκεῖ αὐτῷ σοφὸς ἀραθήσεσθαι; ἔφη, Πότερον ἐὰν οὐδὲ ὕπω καλὸς ἦ τις ὥσπερ σύ; οὐδὲ μὰ ὕπω καλὰ ἱμάτια ἔχῃ; ἐπεὶ δὲ καὶ ὀλιγάκις ὢν, ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη,

Ε'.

Ε"ξες' ἐρωτᾶν πότνι', ἢ σιγὼ ἔχειν;

ἔφη ὑπολαβών,

Γυναι

Τί μοι ξαχεῖα καὶ ἀπ εἰθισμένως λαλεῖς;

ξωμύλε δ' ἀληθεῖς πράγματα αὐτῷ παρέχοντος, ἔφη,

Α'κόλαθ' ὁμιλεῖν γίνεται δέλων τέκνα.

λάλε δ' πολλὰ φλυαρῶντος, ὑδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη. τισὶ δ' ὑδὲ ἀπεκρίνετο. πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον, εἰπόντα τι ἀγνοεῖν, ἔφη,

Λήθεται γάρτοι καὶ ἀνέμων διέξοδοι
Θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δ' πᾶσα ἐκ τῆς Οἰνομάου τοῦ Σοφοκλέους. πρὸς Α'λεξῖνον τινὰ δξαλεκτικὸν, μὴ δυνάμενον κατ' ἀξίαν τῆς Α'λεξίνου τὸ δινηῆσθαι, τὸ Φιλοξένου πρὸς τὰς πλινθιακὰς πραχθὸν εἶπεν· ἐκεῖνος γὰρ τὰ αὐτοῦ κακῶς ἀφέλοντας πᾶσι καταλαβὼν, αὐτὸς τὰς πλίνθους αὐτῶν συνεπάτησεν· εἰπὼν, Ὡς ὑμεῖς τὰ ἐμὰ δξαφθείρετε, κἀγὼ τὰ ὑμέτερα.

Η"χθετο δὲ καὶ τοῖς μὴ καθ' ὥραν τὰ μαθήματα ἀναλημφόσι. φυσικῶς δέ πως ἐν τῷ δξαλέγεσθαι ἐχθῆτο τῷ, Φημὶ ἐγώ· καὶ, Οὐ συγκατάθησεται τούτοις ὁ δεῖνα, εἰπὼν τὸνομα. ὃ καὶ πολλοὶ τῶν μαθητῶν ἐζήλωσαν, καὶ τὴν ῥητορείαν, καὶ παῦ τὸ χῆμα. ἦν δὲ καὶ δεξιολογώτατος ἅπαντᾶσαι εὐσόχως, καὶ ὅτι τὸ πρακείμενον ἀνενεγκεῖν τὴν ἔξοδον τῷ λόγῳ, καὶ ἅπαντι συναρμόσασθαι καιρῷ. πιστικός τε ὑπὲρ παθόντινων. πρὸ καὶ

πλείους πρὸς αὐτὸν ἀπιόντων εἰς τὴν σχολὴν, καὶ περὶ ὑπ' ὀξύτητος αὐτῆ ὑποπλητόμενοι. ἀλλ' ἔφερον ἡδέως. καὶ ὃ λέγεται ἀγαθὸς σφόδρα, καὶ ἐλπίδων ὑποτιμπλὰς τοὺς ἀκούοντας. οὔτε τῷ βίῳ κοινωνικώτατος ἐγένετο. καὶ διέρχεσθαι πρόχειρος λέγειν, καὶ λαθεῖν τὴν χάριν ἀτυφώτατος. εἰσελθὼν ἔν ποτε πρὸς Κτησίβιον τοσοῦτον, καὶ ἰδὼν ὑποδεᾶ θλιβόμενον, πρόφασιν βαλαντίον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς διδοὺς, Ἀρκεσιλάου, φησὶ, τὸ παίγνιον. ἀλλὰ καὶ ἄλλοτε χιλίας ἀπέστειλεν. Ἀρχίαν δὲ τὸν Ἀρκάδα Εὐμένει συσήσας, πολλῆς ἐποίησε τυχεῖν τῆς ἀξίας.

Ἐλευθέριός τε ὢν καὶ φιλαργυρώπατος, εἰς τὰς ἀργυρικὰς δείξεις ἀπήντα πρῶτος καὶ ὅτι τὴν Ἀρχεκράτους καὶ Καλλικράτους, τὰς χρυσιαίας παντὸς ἔπαθλε μᾶλλον. συχνοῖς τε ἐπήρκει καὶ σωτηρίζε. καί ποτε τινὸς ἀργυρώματα λαβόντος εἰς ὑποδοχὴν φίλων, καὶ ὑποστερήντος, καὶ ἀπήτησεν, ἠδὲ προσεποιήθη. οἱ δέ φασιν ὅτι πάντες χρῆσαι, καὶ ἀποδιδόντας, ἐπεὶ πρόης ἦν, χαρίσασθαι. ἦν μὲν ἐν αὐτῷ καὶ ἐν Πιτανῇ θυγάτριον, ἀφ' ἧς ἀπέστειλεν αὐτῷ Πυλάδης ὁ ἀδελφός.

Ἀλλὰ καὶ ἐχορήγει αὐτῷ πολλὰ Εὐαμὴς ὁ τῆς Φιλεταίρου. διὸ καὶ τοῦτῳ μόνῳ τῶν ἄλλων βασιλέων προσεφώνει. πολλῶν δὲ καὶ τὸν Ἀντίγονον θεραπευόντων, καὶ ὅτε ἤκοι ἀπαντῶντων, αὐτὸς ἡσύχαζε, μὴ βελόμενος προεμπίπτειν εἰς γνῶσιν. φίλος τε ἦν μάλιστα Γερόκλει τῷ τῆς Μενυχίας ἔχοντι καὶ τὸν Πειραιᾶ· οὔτε ταῖς ἑορταῖς κατῄει πρὸς αὐτὸν ἑκάστοτε. καὶ δὴ καὶ πολλὰ ἐκείνου συμπείθοντος ὥστε ἀπασάσθαι τὸν Ἀντίγονον, οὐκ ἐπείθη, ἀλλ' ἔως πυλῶν ἐλθὼν ἀνέστρεφε. μετά τε τὴν Ἀντιγόνου ναυμαχίαν πολλῶν προσιόντων, καὶ ὁπόσα φιλικὰ φερόντων, αὐτὸς ἐσιώπησεν. ἀλλ' ἔν ὅμως ὑπὲρ τῆς πα-

τρί-

τρίδος εἰς Δημητριάδα ἐπρέσβευσε πρὸς Ἀντίγονον, καὶ οὐκ ἐπέτυχε.

Τὸ παῦ δὴ διέτριβον ἐν τῇ Ἀκαδημίᾳ, τὸ πολιτικὸν ἐκποδίζων. καί ποτε καὶ δὴ καὶ Ἀθήνησιν ἐν τῷ Πειραιεῖ πρὸς τὰς θέσεις λέγων ἐκρότησεν, οἰκείως ἔχων πρὸς Ἡρακλέα. ἐφ' ᾧ καὶ πρός τινων διεβάλλετο.

Πολυτελὴς δ' ἄγαν ὢν (καὶ τί γὰρ ἄλλο ἢ ἕτερος Ἀρίστιππος;) ὅτι τὰ δεῖπνα πρὸς τοὺς ὁμοιοτρόπους μὴ, πλὴν ἀλλ' ἁπλᾶ. καὶ Θεοδότῃ τε καὶ Φιλαίτῃ Ἡλιαίαις ἑταίραις συνῴκει φανερῶς. καὶ πρὸς τοὺς δεομένους προσεφέρετο τὰς Ἀριστίππου χρείας. φιλομειράκιός τε ἦν καὶ καταφερής. ὅθεν οἱ περὶ Ἀρίστωνα τὸν Χῖον Σπουδοὶ ἐπεκάλουν αὐτὸν φθορέα τῶν νέων, καὶ κιναιδολόγον καὶ θρασυὸν ἀποκαλοῦντες. καὶ γὰρ καὶ Δημητρίου τοῦ πλούσαντος εἰς Κυρήνην, ὅτι πλέον ἠράθησαι λέγεται, καὶ Λεωχάρους τοῦ Μυρλεανοῦ. ἐφ' ᾧ καὶ πρὸς τοὺς κωμάσαντας εἰπεῖν, αὐτὸς μὴ θέλειν ἀνοῖξαι, ἐκεῖνον δ' ἀκωλύειν.

Τότε δὲ ἦρων καὶ Δημοχάρης ὁ Λάχητος, καὶ Πυθοκλῆς ὁ τοῦ Βυγέλου· ὃς καταλαβὼν, ὑπ' ἀνεξικακίας ἀναχωρεῖν ἔφη. διὰ ταῦτα δὴ ἓν ἔδαφος τε αὐτὸν οἱ προειρημένοι καὶ ἐπέστρωσαν, ὡς φίλοχλον καὶ φιλόδοξον. μάλιστα δ' ἐπετίθεντο αὐτῷ ἀφ' Ἡρωνύμῳ τῷ Μεγαρικῷ, ὁπότε συνάγοι τοὺς φίλους εἰς τὴν Ἀλκυονέως τοῦ Ἀντιγόνου ἡμέραν, εἰς οὓς ἱκανὰ χρήματα ἀπέστειλεν ὁ Ἀντίγονος πρὸς ἀπόλαυσιν. ἔνθα καὶ παραιτήμενον ἑκάστοτε τὰς ἐπικλήσεις ἐξηγήσεις, καὶ πρὸς Ἀείδηλον προτείνοντά τι θεώρημα, καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν, εἶπεν, Ἀλλ' αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων ἐπίστασθαι. εἰς δὲ τὸ ἀναβαλλόμενον αὐτῷ φίλοχλον καὶ Τίμων πάντα ἄλλα φησὶν, ἀπὸρ δὴ τοῦτον τὸν τρόπον·

Ὡς εἰπὼν, ὄχλοιο θέλγασιν εἰσκατέδυσεν.
Οἱ δέ μιν ἠΰτε γλαῦκα θεὴ ἀμιζοὶ τεράτευτο,
Ἠλέματον δεικνύντες, ὅθ' ἵκετο ὄχλῳ ἀρέσκειν.
Οὐ μέγα πρῆγμα πάλας τί πλατύσκαι, ἠλίθιος ὤς;

Οὐ μὴν ἀλλ' ὅπως ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς παρήνει καὶ ἄλλων ἀκούειν. καί τινος Χίου νεανίσκου μὴ διαρεσκομένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου τοῦ περιπατητικοῦ, αὐτὸς ἀπαγαγὼν σωφρόνησε τῷ φιλοσόφῳ, παραινέσας διακούειν. χάριεν δ' αὐτοῦ φέρεται καὶ εἰς τοῦτο· πρὸς τὸν πυθόμενον διά τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὸν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε; ἔφη, Ἐκ μὲν γὰρ ἀνδρῶν γάλλοι γίνονται, ἐκ δὲ γαλλῶν ἄνδρες οὐ γίνονται.

Λοιπὸν δὲ πρὸς τῷ τέλει γινόμενος ἅπαντα κατέλιπε Πυλάδῃ τῷ ἀδελφῷ τὰ αὑτοῦ· αὐτὸς δὲ ὢν ἐς Χῖον αὖτον πρόηγαγε, τὸν Μοιρέαν λαμβάνων, κἀκεῖθεν εἰς Ἀθήνας ἀπήγαγε. θεὼν δέ ποτε γυμνάσιον ἐπηγάγετο, ἔπειτα ἐπαιδοποιήσατο. ξεῖτε δὲ μαθήτας ποιησάμενος, ἴδιον τοῦ μὲν ἐν Ἐρετρείᾳ, τοῦδὲ Ἀμφίκλειτον· τοῦ δὲ Ἀθήνησι, τοῦδέ τινας τῶν φίλων· τοῦ δὲ τελείου κἀπέσειλεν εἰς οἶκον, πρὸς θαυμασίαν, ἔνα τινὰ τῶν ἀναγκαίων, ἀξιώσας διατρῆσαι· ἐπεὶ ὃν μὴ γράφει τοῦτο.

Ἀρκεσίλαος θαυμασίᾳ χαίρειν.

Δέδοκα Διονύσιον διαθήκας ἑαυτοῦ κομίσαι πρός σέ· διὰ δὲ τὸ πολλάκις ἀῤῥωστεῖν, καὶ τὸ σῶμα ἀθενῶς ἔχειν, ἔδοξέ μοι διαθέσθαι, ἵν' εἴτι μέλλοιτο ἄλλοῖον, μήτε σὲ ἠδικηκὼς ἀπίῃ, τὸν εἰς ἐμὲ ἐκτενῶς ἔτι περιλοτιμημένον. ἀξιοπιστότατος δ' αἰεὶ τῶν ἐνθάδε σύμοι πρῶν αὐτὰς, διά τε τὴν ἡλικίαν καὶ τὴν πρὸς ἡμᾶς οἰκειότητα.

πει-

πειρῶ ἐν, μεμνημένος διότι σοι πίσιν τὴν ἀναγκαιοτάτην βεβαιωτέον μοι, δίκαιος ἡμῖν εἶναι, ὅπως ὅσον ὅπι σοὶ τὰ κατ' ἐμὲ δ' ἀχρεώνως ᾖ μοι διῳκημένα. κεῖνται δὲ Ἀθηναίοις αὗται βεβαιώσεις τῶν γνωσίμων, καὶ ἐν Ἐρετρίᾳ παρ' Ἀμφικείτῳ.

Ἐτελεύτησε δὲ, ὥς φησιν Ἕρμιππος, ἄκρατον ἐμφορηθεὶς πολλοῦ, καὶ βεβηκὼς, ἤδη γεγονὼς ἐτῶν πέμπτον καὶ ἑβδομηκοστὸν, ὑποδεχθεὶς παρ' Ἀθηναίων ὡς ἄδεις. ἔστι καὶ εἰς αὐτὸν ἡμῶν,

Ἀρκεσίλαε, τίμοι, τί ποσσὸν ἄκριτον ἀφειδῶς
Ἔσπασας, ὥσε φρενῶν ἐκτὸς ὀλισθες ἐών;
Οἰκτείρω σ' ἐ τόσον ἐπεὶ θανές, ἀλλ' ὅτι μέσας
Τ' ἔβεσας, ἐ μετείη χησάμενος κύλικι.

Γεγόνασι δὲ καὶ ἄλλοι βεβαίως Ἀρκεσίλαοι· ποιητὴς ἀρχαίας κωμῳδίας· ἄλλος ἐλεγείας· ἕτερος, ἀγαλματοποιός· εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ὑπόγραμμα τοιόνδε,

Ἀρτέμιδος τόδ' ἄγαλμα. διηκέσιαι δὲ ὁ μισθὸς
Δραχμαὶ τοὶ Πάεται, τῷ ἐπίσημ' Ἄρατος.
Ἀσκητὸς δ' ἐποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας υἱὸς Ἀεισοδίκε.

Ὁ δὲ προειρημένος φιλόσοφος, καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς, ἤκμαζε περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΒΙΩΝ.

Βίων τὸ μὲν γένος ἦν Βορυσθενίτης· ὧν τινων δὲ γονέων, καὶ ἀφ' οἵων πραγμάτων ἥξειν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διασαφεῖ. ἐρομένου γὰρ αὐτὸν,

Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;

ἀθόμβως ὅτι προσβέβληται, φησὶ πρὸς αὐτόν. Ἐμὲ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τὴν ἀγκῶνι διομνυόμενος, (διεδίλλε δὲ τὸν ταριχέμπορον) γένος Βορυσθενίτης, ἔχων καὶ πρόσωπον, ἀλλὰ συγγραφεὺς ὅτι τὸ πρόσωπον, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ, οἵαν ὁ τοιοῦτος ἂν γήμαι, ἀπ' οἰκήματος. ἔπειτα ὁ πατὴρ ἁλοὺς ἐπελωνησάμενός τι, παροίκιος ἐπράθη μεθ' ἡμῶν. καί με ἀγοράζει τις ῥήτωρ νεώτερον ὄντα καὶ δύσχρηστον· ὃς καὶ ἀποθνήσκων κατέλιπέ μοι πάντα. κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγξύσας, Ἀθήναζε ἦλθον καὶ ἐφιλοσόφησα.

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

ταῦτά ὅτι τὰ κατ' ἐμέ. ὥστε παυσάσθωσαν Περσαῖός τε καὶ Φιλωνίδης ἰσορρέποντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ.

Καὶ δοῦλος ὡς ἀληθῶς ὁ Βίων τὰ μὲν ἄλλα πολύτροπος καὶ σοφιστὴς ποικίλος, καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι φιλοσοφίας. σπουδαῖος δὲ καὶ πότιμος, καὶ ἀπολαῦσαι τύφλ δυνάμενος.

Πλείστας τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγ-

φθέγματα χρειώδη πραγματείαν ἔχοντα. οἷον, ὀνειδιζόμενος ὅτι τῷ μὴ θηράσαι μειράκιον, Οὐχ οἷόν τε, εἶπεῖν, ἁπαλὸν τυρὸν ἀγκίστρῳ δαπατᾶσθαι. ἐρωτηθεὶς ποτε τίς μᾶλλον ἀγωνιᾷ, ἔφη, Ὁ τὰ μέγιστα βουλόμενος δημηρεῖν. ἐρωτηθεὶς εἰ γήμαι (αἰαφέρεται γὰρ καὶ τοῦτο εἰς αὐτὸν) ἔφη, Εἰ μὲν γήμῃς αἰσχρὰν, ἕξεις πονηρὰν· εἰ δὲ καλὴν, ἕξεις κοινήν. τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ γὰρ πάντα καταφεύγειν. τὴν δόξαν, ἐτῶν μητέρα εἶναι. τὸ κάλλος, ἀλλότριον ἀγαθόν. τὸν πλοῦτον, νεῦρα πραγμάτων. πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, Τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. μέγα κακὸν, τὸ μὴ δύνασθαι φέρειν κακόν. κατεγίνωσκε δὲ καὶ τῶν τὰς ἀνθρώπους καταιόντων μὲν ὡς ἀναιθήτους, παρακαόντων δὲ ὡς αἰσθανομένους. ἔλεγε δὲ συνεχὲς ὅτι αἱρετώτερόν ἐστι τὴν ὥραν ἄλλῳ χαρίζεσθαι, ἢ ἀλλοτρίας ἀποδρέπεσθαι. καὶ γὰρ εἰς σῶμα βλάπτεσθαι καὶ εἰς ψυχήν. διέβαλε δὲ καὶ τὸν Σωκράτην, λέγων, ὡς εἰ μὲν εἶχεν Ἀλκιβιάδην χρείαν, καὶ ἀπείχετο, μάταιος ἦν· εἰ δὲ μὴ εἶχεν, ἡδὺν ἐποίει τὸν ἀδόξον. δύσκολον ἔφασκε τὴν εἰς ᾅδου ὁδόν· καταμύοντας γὰρ ἀνίσχειν. τὸν Ἀλκιβιάδην μεμφόμενος ἔλεγεν, ὡς νέος μὲν ὢν, τὰς ἄνδρας ἀπάγοι τῶν γυναικῶν· γεανίσκος δὲ γενόμενος, τὰς γυναῖκας τῶν ἀνδρῶν. ἐν Ῥόδῳ τοὺς ῥητορικὰ διδασκύντων Ἀθηναίων, τὰ φιλοσοφούμενα ἐδίδασκε. πρὸς ἕνα τὸν αἰτιασάμενον ἔφη, Πυρὸς ἐκόμισα, καὶ κελεύεις πωλῶ; ἔλεγε τὰς ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι, εἰ ὁλοκλήρους καὶ μὴ τετρημένους ἀγγείους ὑδροφόρουν. πρὸς τὸν ἀδολέσχην, λιπαρῆντα συμβαίνειν αὐτῷ, Τὸ ἐπαινόν σοι ποιήσω, φησὶν, ἐὰν σιωπήσῃς μέντοι, καὶ αὐτὸς μὴ ἔλθῃς. πλέων μετὰ πονηρῶν, λησάμενος

θεμέ-

ἐβλέπισε. τῷ δὲ, Ἀπολώλαμεν, εἰπόντων, ἐὰν γνωσθῶμεν. Ἐγὼ δὲ, φησὶν, ἐὰν μὴ γνωσθῶμεν. τινὶ δὲ ῥήσιν ἔλεγε προκοπῆς ἐγκοπλύ. πρὸς πλούσιον μικρολόγον, Οὐχ ὅτος, ἔφη, τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον. ἔλεγε τοὺς μικρολόγους, τῷ μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι· ὡς δὲ ἐξ ἀλλοτρίων, μηδὲν ἀφελεῖσθαι. τῇ μὲν ἀνδρείᾳ νέους ὄντας ἔφη χρῆσθαι, τῇ δὲ φρονήσει γηράσκοντας ἀκμάζειν. τοσοῦτον διαφέρειν τὴν φρόνησιν τῷ ἄλλων ἀρετῶν, ὅσον τὴν ὅρασιν τῶν ἄλλων αἰσθήσεων. μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὸ γῆρας, εἰς ὃ, ἔφη, πάντες δ' ἐρχόμεθα ἐλθεῖν. πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, Οὐκ οἶδα, ἔφη, πότερόν σοι κακὸν γέγονεν, ἢ ἄλλῳ ἀγαθόν· τὴν δυσέβειαν πονηρὸν ἔλεγεν εἶναι συμβοικὸν τῇ παῤῥησίᾳ·

Δηλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομός τις ᾖ.

τοὺς φίλους, ὁποῖοί ποτ' ὦσι, σωτηρεῖν· ἵνα μὴ δοκοῖμεν πονηροῖς κεχρῆσθαι, ἢ χρησὺς παρῆσθαι.

Οὗτος τὴν ἀρχὴν μὲν παρῆτεῖτο τὰ Ἀκαδημαϊκά· καθ' ὃν χρόνον ἦκε Κράτητος· εἶτ' ἀπείλητο τὴν Κυνικὴν ἀγωγὴν, λαβὼν τρίβωνα καὶ πήραν. καὶ τί γὰρ ἄλλο μετεσκεύασεν αὐτὸν πρὸς ἀπάθειαν; ἔπειτα δὴ τὰ Θεοδώρεια μεπῆλθε, διακούσας Θεοδώρου τοῦ ἀθέου, καὶ παῦ εἴδος λόγου σοφιζομένου· μεθ' ὃν Θεοφράστου διήκουσε τοῦ περιπατητικοῦ.

Ἦν δὲ καὶ θεατρικὸς, καὶ πολὺς ἐν τῷ γελοίῳ διαφορῆσαι, φορτικοῖς ὀνόμασι καὶ τῶν πραγμάτων χρώμενος. διὰ δὴ ἓν τὸ παντὶ εἴδει λόγου κεκρᾶσθαι, φασὶ λέγειν ἐπ' αὐτοῦ τὸν Ἐρατοσθένη, ὡς πρώτως Βίωνα τὴν φιλοσοφίαν αὐθινὰ ἐνέδυσεν.

Εὐφυὴς γὰρ ὢν καὶ παῤῥησιαστὴς οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα,

Ὦ πέπον Ἀρχύτα, φαλληφόρε, ὀλβιότυφε,
Τῆς ὑπάτης ἔρριδος πάντων ἐμπειρότατ' ἀνδρῶν.

Καὶ ὅλως καὶ μουσικὴν καὶ γεωμετρίαν διέπαιζεν.

Ἦν δὲ πολυτελής. καὶ διὰ τοῦτο πόλιν ἐκ πόλεως ἤμειβεν, ἐνίοτε καὶ φαντασίαν ἐπιτεχνώμενος. ἐν γοῦν Ῥόδῳ τοὺς ναύτας ἔπεισε χολασικὰς ἑαυτὸν ἀναλαβεῖν, καὶ ἀκολουθῆσαι αὐτῷ· σοὶ οἷς εἰσβάλλων εἰς τὸ γυμνάσιον, ὡφίβλεπτος ἦν.

Εἰώθει τε νεανίσκων τινῶν ὑποδέσεις ποιεῖσθαι, καὶ εἰς τὸ ἀποχρῆσθαι αὐτοῖς ἔστε τὰς ἡδονάς, καὶ ὥστε φυλάττεσθαι ὑπ' ἐνοίας αὐτῶν. ἀλλὰ καὶ φίλαυτος ἦν ἰσχυρῶς, καὶ πολὺς ἐγκείμενος τῷ, Κοινὰ τὰ φίλων. παρ' ὃ καὶ ἑδεὶς μαθητὴς αὐτῷ ἐπιγράφεται, τοσοῦτον αὐτῷ χολασαίτων. καί τοι τινὰς εἰς ἀναισχυντίας προῆγε. ὁ γοῦν Βιτίων, εἷς τῶν σωθέντων αὐτῷ, πρὸς Μενέδημόν ποτε λέγεται εἰπεῖν, Ἐγώ τοι, ὦ Μενέδημε, νύκτωρ συνδέομαι Βίωνι, καὶ ἡδὺ ἄτοπον δοκῶ γε πεπονθέναι. πολλὰ δὲ καὶ ἀθεώτερον προσεφέρετο τοῖς ὁμιλοῦσι, τοῦτο Θεοδώρειον ἐπολαύσας.

Καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, ὡς ἔφασκον οἱ ἐν Χαλκίδι, (αὐτόθι γὰρ καὶ κατέστρεφε) ὡφίάπτα λαβεῖν ἐπείθη, καὶ μεταγνώσκειν ἐφ' οἷς ἐπλημμέλησεν εἰς τὸ θεῖον. ἀτοιρία δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διετίθετο, ἕως Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστειλε. καὶ ἠκολούθει γε αὐτῷ ἐν φορείῳ, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. ἀλλὰ καὶ ὡς κατέστρεφε, καὶ ἡμεῖς αὐτὸν ὅπως ἠτιασάμεθα·

Βίωνα τὸν Βορυσθενίτην, ὃν ἔφυσεν ἡ Σκυθὶς αἶα.
Λέγειν ἀκούομεν θεὰς ὡς ἡδὺ εἰσιν ὄντως.

Καὶ μὴν τὸ δόγμα τοῦτ' ἔχων ἐμιμνεν, ἵνα αὐ εἰκὸς
Λέγειν, φρονεῖν ὅπως δοκεῖ· κακῶς μὲν, ἀλλ' ἔδοξέ.
Νεῶν δ' ἐς νόσον πεσὼν μακρὰν, καὶ μὴ θάνῃ δεδοικώς.
Ὅ μὴ θεὸς εἶναι λέγων, ὃ τηνδὲ βλέψας.
Ὅ πολλὰ χλιδάσας βροτὸς, οἷπερ θεοῖς ἔθυον.
Οὐ μᾶλλον ἐχάρης ὕπερ, βωμῶν τε καὶ ζαπέζης;
Κύισον, λίπει, θυήμασι, θεῶν ἔδαισε ῥῖνας.
Οὐδ' εἶπε μᾶλλον, Ἧλιτον, σύγγνωτε τοῖς πρὶν ἀλλὰ
Καὶ χαῖ δῶκεν ὠμαρῶς ζάχηλον εἰς ἐπῳδάν,
Καὶ σκυτίσιν βραχίονας πεπεισμένος γ' ἔδησε.
Ῥάμνόν τε καὶ κλάδον δάφνης ὑπὲρ θύρῃσιν ἔθηκεν·
Ἅπαντα μᾶλλον, ἢ θανεῖν, ἕτοιμος ὢν ὑπάργειν.
Μωρὸς δ' ὃς ἤθελόν τινος μισθὸν τὸ θεῖον εἶναι.
Ὡς τῷ θεῶν ὄντων, ὅταν βίων θέλῃ νομίζειν·
Τοι γὰρ μάτην φρονῶν, ὅτ' ἰὼ ἅπας ὁ λεμβος αἴθραξ,
Τὼ χεῖρα τείνας, ὧδέ πως, χαῖρ, εἶπε, χαῖρε Πλουτεῦ.

Γεγόνασι δὲ Βίωνες δέκα· πρῶτος, ὁ Φερεκύδει τῷ Συρίῳ συνακμάσας, ὃ φέρεται βιβλία δύο· ἔτι δὲ Προκοννήσιος· δεύτερος, Συρακούσιος, τέχνας ῥητορικὰς γεγραφώς· τρίτος, ὁ αὐτὸς οὗτος· τέταρτος, Δημοκρίτειος, καὶ μαθηματικός· Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ῥάδι· οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἐν ᾗ γίνεσθαι ἐξ μηνῶν τὰς νύκτα καὶ ἐξ τὰς ἡμέρας· πέμπτος, Σολεύς, Αἰθιοπικὰ γεγραφώς· ἕκτος, ῥητορικός,

ἃ φέρεται ἐννέα βιβλία Μισῶν ὑπογραφόμενα. ἕβδομος, μελικὸς ποιητής. ὄγδοος, Μιλήσιος ἀνδριαντοποιὸς, ἃ μέμνηται ὁ Πολέμων. εὔατος, ποιητὴς ξαγῳδίας τῆς Ταρσικῶν λεγομένων. δέκατος, ἀγαλματοποιὸς, Κλαζομένιος, ἢ Χῖος· ἃ μέμνηται ὁ Ἱππώναξ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΛΑΚΥΔΗΣ.

ΛΑκύδης Ἀλεξάνδρε, Κυρηναῖος· ὅτός ἐστιν ὁ τῆς νέας Ἀκαδημίας κατάρξας, Ἀρκεσίλαον ὑποδεξάμενος· ἀνὴρ σεμνότατος, καὶ ἐκ ὀλίγης ἐχκινὼς ζηλωτάς. Φιλόπονός τε ἐκ νέης, καὶ πονηρὸς μνῆ, εὔχαρις δ' ἄλλως καὶ ἐύμιλος.

Τοῦτον φασὶ καὶ περὶ οἰκονομίαν γλυκύπατα ἐχκεῖσθαι. ἐπειδὰν γάρ τι προίοιτο τῶν παμείων, σφραγισάμενος πάλιν εἴσω τὸν δακτύλιον διὰ τῆς ὀπῆς ἐρρίπτει, ὡς μηδέποτε αὐτὸν περιαιρεθείη, καί τι βασανισθείη τῶν ὑποκειμένων. μαθόντα δὴ τοῦτο τὰ θεραπόντια ἀπεσφράγιζε, καὶ ὅσα ἐβούλετο ἐβάσταζεν· ἔπειτα τὸν δακτύλιον διὰ τῆς ὀπῆς ἐνίει εἰς τὸν σωρόν· καὶ τοῦτο ποιοῦντα οὐδεπώποτε ἐφωράθη.

Ὁ γοῦν Λακύδης ἐχόλαζεν ἐν Ἀκαδημίᾳ, ἐν τῷ κατασκευασθέντι κήπῳ ὑπὸ Ἀττάλου τοῦ βασιλέως· καὶ Λακύδειον ἀπ' αὐτοῦ προσηγορεύετο. καὶ μόνος τῶν ἀπ' αἰῶνος ζῶν παρέδωκε τῇ σχολῇ Τηλεκλεῖ καὶ Εὐάνδρῳ, τοῖς Φωκεῦσι. τῶν δὲ Εὐάνδρου διεδέξατο Ἥγησίνους Περγαμηνὸς, ἀφ' οὗ Καρνεάδης.

Χάριν δ' εἰς τὸν Λακύδην ἀναφέρεται· Ἀττάλου γὰρ

γὰρ αὐτὸν μεταπεμπομένους φασὶν εἰπεῖν, τὰς εἰκόνας πρῶτον δεῖν θεωρεῖσθαι. ὀψὲ δὲ αὐτῷ γεωμετρούντι λέγει τις, Εἶτα νοῦ καιρός; Εἶτα μηδὲ νοῦ;

Ἐτελεύτησε δὲ σχολαρχεῖν ἀρξάμενος, τῷ τετάρτῳ ἔτει τῆς τετάρτης καὶ τεσσαρακοστῆς Ὀλυμπιάδος, τῆς σχολῆς ἀφηγησάμενος ἔτη πρὸς τοῖς εἴκοσιν ἑπτά. ἡ τελευτὴ δὲ αὐτῷ, ὡς φάλυσις ἐκ πολυποσίας· καὶ αὐτῷ προσεπαίξαμεν ἡμεῖς ἔπεσι·

Καὶ σέο, Λακύδη, φάτιν ἔκλυον, ὡς ἄρα καὶ σύ,
Βάκχον ἑλὼν, αἰδοῖ ποσὶν ἔσυρες ἄκροις.
Ἦ σαφὲς ὦ, Διόνυσος, ὅταν πολυς ἐς δέμας ἔλθοι.
Λῦσε μέλη· διὸ δὴ μήτι Λυαῖος ἔφυ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΚΑΡΝΕΑΔΗΣ.

Καρνεάδης, Ἐπικώμου ἢ Φιλοκώμου, ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς, ὁ Κυρηναῖος.

Οὗτος τὰ τῆς Στωϊκῶν βιβλία ἀναγνὺς, ὑπομελῶς τὰ Χρυσίππου, ὑπεικῶς αὐτοῖς αὐτέλεγε. καὶ δ' ἡμέρες τοσοῦτον, ὥστε ἐκεῖτο ὑπλέγειν, Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν ἐγώ.

Φιλόπονος δὲ ἄνθρωπος γέγονεν, εἰ καί τις ἄλλος. ἐν μὲν τοῖς φυσικοῖς ἧττον φέρόμενος, ἐν δὲ τοῖς ἠθικοῖς μᾶλλον. ὅθεν καὶ ἐκόμα καὶ ἔξεφυν ὄνυχας, ἀσχολίᾳ τῇ περὶ τοὺς λόγους. τοσοῦτον δὲ ἴσχυσεν ἐν φιλοσοφίᾳ, ὥστε καὶ τοὺς ῥήτορας ὑπολύσαντας ἐκ τῆς σχολῆς παρ' αὐτὸν ἰέναι, καὶ αὐτῇ ἀκούειν.

Ἦν

Ἦν δὲ καὶ μεγαλοφωνότατος, ὥστε τὸν γυμνασίαρχον προσπέμψαι αὐτῷ μὴ ἔτι βοᾶν· τὸν δὲ εἰπεῖν, Καὶ δὸς μέζον φωνῆς. ὅθεν δυσχόλως ἐλόντα ἀμείψασθαι· φησὶ γὰρ, Μέζον ἔχεις τὰς ἀκόντας.

Δεινῶς τε ἦν ὑποπλαστικὸς, καὶ ἐν ταῖς ζητήσεσι δύσμαχος. τά τε δεῖπνα λοιπὸν παρῄτεῖτο διὰ τὰς προειρημένας αἰτίας.

Οὗτός ποτε Μενίππου τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος, καὶ παρ' αὐτὸν ἐλθόντος εἰς τὸν Διατειβίου, ὡς ἐπείρα αὐτοῦ τὸν παλαιὸν ὁ Μένιππος, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτὸν,

Πωλεῖταί τις δεῦρο γέρων, ἄλιος, νημερτής,
Μενίππου εἰδώλιον ἠμφὶ δέμας ἠδὲ καὶ αὐδήν.
Τοῦτον χολῆς τῆς δ' ἐκκεκινῦχθαι λέγω.

καὶ ὃς ἀναστὰς ἔφη,

Οἱ μὲν ἐκίνυσαν, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.

Δεινότερον δέ πως δοκεῖ περὶ τὴν τελευτὴν διεστράφθαι, ὅτε συνεχὲς ἔλεγεν, Ἡ συνήσασα φύσις καὶ λύσει. μαθόντε Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ διθαρσὲς τῆς ἀπαλλαγῆς, καί φησι, Δότε ἔν κάμοί. πρὸς δὲ εἰπόντων, Τί; Οἰνόμελι, εἰπεῖν. τελευτῆσαι δ' αὐτὸν φασὶν ἐκλείψει γενέσθαι σελήνης, συμπάθειαν, ὡς αὖ εἴποιτις, αἰνιττόμενόν τε μεθ' ἥλιον καλίσαι τὸν ἄερα. φησὶ δὲ Ἀπολλόδωρος ἐν χρονικοῖς ἀπελθεῖν αὐτὸν ἐξ ἀνθρώπων ἔτει τεσσαρακοστῷ τῆς δευτέρας καὶ ἑξηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιώσαντα ἔτη πλείω τῶν ὀγδοήκοντα.

Φέρονται δὲ αὐτοῦ ἐπιστολαὶ πρὸς Ἀριαράθην τὸν Καππαδοκίας βασιλέα. τὰ δὲ λοιπὰ αὐτοῦ οἱ μαθηταὶ

συνέχραψαν. αὐτὸς δὲ κατέλιπε μηδέν. ἔστι δὲ εἰς τῶν ἡμῶν τῷ λογαδικῷ καὶ Ἀρχεβουλείῳ μέτρῳ.

Τί με Καρνεάδεω, τί με, μῶσα, θέλεις ἐλέγχειν;
Ἀμαθὴς ὃς ἄττα κάπιδεν, ὅπως δεδοίκει
Τὸ θανεῖν· ὅτε καὶ φθισικλεῖ ποτ' ἔχων κακίσλῳ
Νόσον, ἐκ ἔθελε λύσιν ἰχέμεν· ἀλλ' ἀκέσας
Ὅττι φάρμακον Ἀντίπατρος πιὼν ἀπέσβη,
Δότε τοίνυν, ἔφησε, τί καὶ μοὶ πιεῖν· τί μέν τοι; τί;
Δότ' οἰνόμελι. σφόδρα τ' εἶχε πρόχειρα τυτί·
Φύσις ἣ συνέχουσά με καὶ ξυλίσεται δή.
Καὶ ὁ μὲν ᾠδὴν ἔλαχον ἔβη κατὰ γῆς, ἐγὼ δὲ
Τὰ πλέω κακὰ κέρδε' ἔχοντα, μολεῖν εἰς ᾅδεω.

Λέγεται καὶ τὰς ὄψεις νυκτὸς ὑποχυθῆναι, καὶ ἀγνοεῖν. κελεῦσαί τε τὸν παῖδα λύχνον ἆραι. εἰσκομίσαντος δὲ καὶ εἰπόντος, Κεκόμικα· Οὐκοῦν, εἰπεῖν, σὺ ἀναγίνωσκε.

Τάτε πολλοὶ μὲν καὶ ἄλλοι γεγόνασι μαθηταί, ἐλλογιμώτατος δὲ Κλειτόμαχος· περὶ ὃν καὶ λεκτέον.

Γέγονε μέντοι καὶ ἄλλος Καρνεάδης, ἐλεγείας ποιητὴς ψυχρός.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

ΚΛΕΙΤΟΜΑΧΟΣ.

Κλειτόμαχος, Καρχηδόνιος. ὃς ἐκαλεῖτο μὲν Ἀσδρούβας, καὶ τῇ ἰδίᾳ φωνῇ καὶ τῶν πατρίδα ἐφιλοσόφει.

Ἐλθὼν

Ἐλθὼν δ' εἰς Ἀθήνας ἤδη τετταράκοντα ἔτη γεγονὼς, ἤκουσε Καρνεάδου. κἀκεῖνος ἀποδεξάμενος αὐτοῦ τὸ φιλόπονον, γράμματά τε ἐποίησε μαθεῖν, καὶ σωπᾶσκειν τὸν ἄνδρα. ὁ δὲ εἰς τοσοῦτον ἦλασεν ἐπιμελείας, ὥστε ὑπὲρ τὰ πεντακόσια βιβλία συνέγραψε. καὶ διεδέξατο τὸν Καρνεάδου, καὶ τὰ αὐτοῦ μάλιστα ἀπὸ τῆς συγγραμμάτων ἐφώτισεν.

Ἀνὴρ ἐν ταῖς κρισὶν αἱρέσεσι διατείνας, εὖ τε τῇ Ἀκαδημαϊκῇ, καὶ Περιπατητικῇ, καὶ Στωϊκῇ.

Καθόλα δὲ τοὺς Ἀκαδημαϊκοὺς ὁ Τίμων ἔπω διασύρει,

Οὐδ' Ἀκαδημαϊκῶν πλατυρημοσυνὴς ἀπαλίσκε.

ἡμεῖς δὲ τοὺς Ἀκαδημαϊκοὺς τοὺς ἀπὸ Πλάτωνος διεληλυθότες, ἐλθωμεν ἐπὶ τοὺς ἀπὸ Πλάτωνος περιπατητικούς, ὧν ἦρξεν Ἀριστοτέλης.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΑΡΙΣΤΟΤΕΛΗΣ.

Ριστοτέλης, Νικομάχῳ τῷ Φαιστιάδος, Σταγειρίτης. ὁ δὲ Νικόμαχος ἦν ὑπὸ Νικομάχῳ τῷ Μαχάονος, τῷ Ἀσκληπιῷ, καθάφησιν Ἕρμιππος ἐν τῷ περὶ Ἀριστοτέλους. ἦν σωτερίῳ Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ, ἰατρὸς καὶ φίλος χρείᾳ.

Οὗτος γνησιώτατος τῷ Πλάτωνος μαθητῶν, ξαυλὸς τὴν φωνὴν, ὡς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. ἀλλὰ καὶ ἰσχνοσκελὴς, φασὶν, ἦν, καὶ μικρόμματος· ἐσθῆτί τε ἐπιτηδεύῳ χώμενος, καὶ δακτυλίοις, καὶ κόμῃ.

Εἶχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλίδος τῆς παλλακῆς, ὡς φησι Τιμόθεος.

Ἀπέθανε δὲ Πλάτωνος ἔτι περιόντος· ὥστε φασὶν εἰκεῖον εἰπεῖν, Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε, καθάπερ εἰ τὰ πωλάρια θηλάσαντα τὴν μητέρα. φησὶ δ' Ἕρμιππος ἐν τοῖς βίοις, ὅτι περιεβάλοντες αὐτῷ περὶ Φί-

λιπ-

λιππον ὑπὲρ Ἀθηναίων, χολάρχης ἐγένετο τῆς ἐν Ἀκαδημίᾳ χολῆς Ξενοκράτης· ἐλθόντα δὲ αὐτὸν καὶ θεασάμενον ὑπ' ἄλλῳ τινὶ χολίᾳ, ἐλέσθαι Φίππαν τὸν ἐν Λυκείῳ. καὶ μίσχει μὲν ἀλείμματος ἀπακάμπτοντα, τοῖς μαθηταῖς συμφιλοσοφεῖν, ἔθος Περιπατητικὸν προσαγορεύεσθαι. οἱ δ', ὅτι ἐκ νόσου Φίππωνι Ἀλεξάνδρῳ, συμπαρῆν διαλέγεσθαι ἄττα. ἐπειδὴ δὲ πλείους ἐγίνοντο ἤδη, καὶ ἐκάθιζον, εἶπεν,

Ἀ'χρὸν σιωπᾶν, Ξενοκράτη δ' ἐᾶν λέγειν.

καὶ πρὸς θέσιν συνεγύμναζε τοὺς μαθητάς, ἅμα καὶ ῥητορικῶς ἐπασκῶν.

Ἔπεσι μὲν τοι ἀπῆρε πρὸς Ἑρμείαν τὸν δυνάστην, Ἀταρνέως ὄντα τύραννον, ὃν οἱ μὲν φασὶ παιδικὰ γενέσθαι αὐτῷ· οἱ δὲ, καὶ κηδεῦσαι αὐτῷ, δόντα τινὶ θυγατέρα ἢ ἀδελφιδῆ, ὡς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν καὶ συγγραφέων· ὃς καὶ δῆλον Εὐβάλη φησὶ γεγράφθαι τὸν Ἑρμείαν, γῆμαι Βιθυνὸν ὄντα, καὶ τὸν Θεσσάλου ἀνελόντα. Ἀριστίππος δ' ἐν τῷ πρώτῳ περὶ παλαιᾶς τρυφῆς, φησὶν ἐραστὴν γενέσθαι τὸν Ἀριστοτέλη παλλακίδος τοῦ Ἑρμείου. τοῦ δὲ συγχωρήσαντος, ἔγημέ τε αὐτὴν, καὶ ἔθυσεν ὑπερχαίρων τῷ γάμῳ, ὡς Ἀθηναίοις τῇ Ἐλευσινίδι Δήμητρι. τῷ τε Ἑρμείᾳ Παιᾶνα ἔγραψεν, ὃς κεῖσθαι λέγεται.

Ἐντεῦθεν τε φοιτᾶν εἰς Μακεδονίαν πρὸς Φιλίππου, καὶ λαβεῖν μαθητὴν παρ' αὐτοῦ τὸν υἱὸν Ἀλέξανδρον· καὶ αἰτῆσαι ἀπασῆσαι αὐτοῦ τὴν παῖδα καταπαφεῖσαν ὑπὸ Φιλίππου, καὶ τυχεῖν· οἷς καὶ νόμους θεῖναι, ἀλλὰ καὶ ἐν τῇ χολῇ νομοθετεῖν, μιμούμενον Ξενοκράτη· ὥστε καὶ δέκα ἡμέρας ἄρχοντα ποιεῖν. ἐπειδὴ δὲ ἔδοκει ἱκανῶς αὐτῷ συγγεγραφθαι Ἀλεξάνδρῳ, ἀπῆρεν εἰς Ἀθή-

νας, συσήσας αὐτῷ τὸν συγγρυῆ Καλλιθενῆ τὸν Ὀλυν-θιον· ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ, καὶ μὴ πειθόμενον αὐτῷ, φασὶν, ἐπιπλήξαντα εἰπεῖν,

Ὦ κύμορος δή μοι τέκος ἔασαι, οἵ' ἀγορεύεις.

καὶ δὴ καὶ ἐγένετο. δόξας γὰρ Ἑρμολάῳ συμμετεχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς, ἐν σιδηρᾷ θωμήγετο γαλεάγρᾳ, φθειρῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι παραβληθείς, ὕπω κατέφρεψεν.

Ὁ δ' ἂν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς Ἀθήνας, καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτη, ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τὸν ἱεροφάντην δίκῃ ἀσεβείας γραψαμένου, ἢ Δημοφίλου, (ὡς φησὶ Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμείαν. ἀλλὰ καὶ ἐπίγραμμα ἐπὶ τῷ ἐν Δελφοῖς ἀνδριάντος, τοιοῦτον·

Τόνδε ποτ' οὐχ ὁσίως, παραβὰς μακάρων θέμιν ἀγνὴν,
Ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς.
Οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
Ἀλλ' ἀνδρὸς πίσει χρησάμενος δολίῃ.

ἐνταῦθα δὴ πιὼν ἀκόνιτον ἐτελεύτησεν, ὥς φησιν Εὔμηλος ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν, βιοὺς ἔτη ἑβδομήκοντα. ὁ δ' αὐτὸς φησιν αὐτὸν καὶ Πλάτωνι τελευτῆσαι συσῆναι· ἐξαπίπτων. βεβίωκε γὰρ τρία μὲν πρὸς τοῖς ἑξήκοντα· Πλάτωνι δὲ ἐπτακαιδεκαέτης συμβέβηκε. ὁ δὲ ὕμνος ἔχει τὸν τρόπον,

Ἀρετὰ πολυμοχθεγενὲς βροτείῳ,
Θήραμα κάλλιστον βίῳ.

Σᾶς

Σᾶς πέρι παρθενίας μορφᾶς
Καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος,
Καὶ πόνους τλῆναι μαλερὰς ἀναμάντας.
Τοῖον ἐπὶ φρενὶ βάλλεις καρπὸν εἰς ἀθανάτων,
Χρυσέᾳ τε πρεῖσσον ἢ γονέων,
Μαλακαυγητοῖό θ' ὕπνου.
Σὲ δ' οὕνεκ' ἐκ Διὸς Ἡρακλέης
Λήδας τε κοῦροι πολλ' ἀνέτλασαν,
Ἔργοις ἀναγορεύοντες δυνάμιν.
Σοῖς τε πόθοις Ἀχιλλεὺς
Αἴας τ' Αἰακίδαο δόμους ἦλθον.
Σᾶς δ' οὕνεκα φιλίας μορφᾶς
Ἀταρνέως σύροφον
Ἀελίου χήρωσεν αὐγᾶς.
Τοὶ γὰρ ἀοίδιμος ἔργοις
Ἀθανάτοι τέ μιν αὐξήσουσι μοῦσαι,
Μναμοσυνᾶς θύγατρες,
Διὸς ξενίου σέβας αὔξουσαι,
Φιλίας τε γέρας βεβαίου.

ἔστιν δ' ὃν καὶ εἰς τοῦτον ἡμῶν, ὅπως ἔχον·

Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλους ἀσεβείας
Γράψασθαι, δικᾶς μύσιδος ὢν πρόπολος.
Ἀλλὰ πιὼν ἀκόνιτον, ὑπέκφυγε· τοῦτ' ἀκονιτὶ
Ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.

τοῦτον πρῶτον Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, λόγον φησὶ δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι ἐπ' αὐτῇ παύτῃ τῇ δίκῃ, καὶ λέγειν, ὡς Ἀθηναίοις

Οὐχὶ ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ὅτι σύκῳ.

φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς, γεννηθῆναι μὲν αὐτὸν τῷ πρώτῳ ἔτει τῆς ἑνάτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος· παραβαλεῖν δὲ Πλάτωνι, καὶ διαξῆσαι παρ' αὐτῷ εἴκοσιν ἔτη ἐπτακαιδεκέτη συσσίτια, καὶ εἰς τε Μιτυλήνην ἐλθεῖν ἐπὶ ἄρχοντος Εὐβούλου, τῷ τετάρτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Πλάτωνος δὲ τελευτήσαντος τῷ πρώτῳ ἔτει ἐπὶ Θεοφίλου, πρὸς Ἑρμείαν ἀπᾶραι, καὶ μεῖναι ἔτη τρία· ἐπὶ Πυθοδότου δ' ἐλθεῖν πρὸς Φίλιππον, τῷ δευτέρῳ ἔτει τῆς ἑνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, Ἀλεξάνδρου πεντεκαιδεκάτη ἔτη ἤδη γεγονότος. εἰς δ' Ἀθήνας ἀφικέσθαι τῷ δευτέρῳ ἔτει τῆς ἑνδεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. καὶ ἐν Λυκείῳ σχολάσαι ἔτη τρία πρὸς τοῖς δέκα, εἶτα ἀπᾶραι εἰς Χαλκίδα τῷ τρίτῳ ἔτει τῆς τετάρτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, καὶ τελευτῆσαι ἐτῶν τρισὶν πρὸς ὀγδοήκοντα, νόσῳ· ὅτε καὶ Δημοσθένην καταστρέψαι ἐν Καλαβρίᾳ ἐπὶ Φιλοκλέους.

Λέγεται δέ, διὰ τὴν Καλλισθένους πρὸς Ἀλέξανδρον σύσσιτον, προσκρῦσαι τῷ βασιλεῖ· κἀκεῖνον ἐπὶ τῷ τοῦτον λυπῆσαι, Ἀναξιμένη μὲν αὐξῆσαι, πέμψαι δὲ καὶ Ξενοκράτει δῶρα. ἀπέσκωψε δ' εἰς αὐτὸν ἐπίγραμμα καὶ Θεόκριτος ὁ Χῖος, ἔπωσὶ ποιήσας, ὥς φησιν Ἀμβρύων ἐν τῷ περὶ Θεοκρίτου·

Ἑρμείην δύνεχε καὶ Εὐβούλου ἅμα δοῦλον·
Σῆμα κυνὸν κυνόφρων τεῦξεν Ἀριστοτέλης.

ἀλλὰ καὶ Τίμων αὐτὸν καθήψατο, εἰπών,

Οὐδ' ἄρ' Ἀριστοτέλης εἰκαιοσυνῆς ἀλέγεινεν·

καὶ ἔπος μὲν ὁ βίος τὸ φιλόσοφον.

Ἡμεῖς δὲ καὶ δεδήκαμεν αὐτὸν εἰστύχομεν, ὅπως ἔχει·

ἐχέσθω. Ε'σται μὲν εὖ· ἐὰν δέ τι συμβαίνῃ, τάδε διέθετο Ἀριστοτέλης· ἐπίτροπον μὲν εἶναι πάντων καὶ διαπαντὸς Ἀντίπατρον. ἕως δ' ἂν Νικάνωρ καταλάβῃ, ἐπιμελεῖσθαι Ἀρισομήνη, Τίμαρχον, Ἵππαρχον, Διοτέλη, Θεόφρασον, ἐὰν βέλτιναι καὶ ἐνδέχηται αὐτῷ, τῆς τε παιδίων καὶ Ἑρπυλίδος καὶ τῶν καταλελειμμένων. καὶ ὅταν ὥρα ᾖ τῇ παιδί, ἐκδεδόσθαι αὐτὴν Νικάνορι. ἐὰν δὲ τῇ παιδὶ συμβῇ τι, ὃ μὴ γένοιτο, ἐὰν δὲ ἔσαι, πρὸ τοῦ γήμασθαι, ἢ ἐπειδὴ γήμηται, μήπω παιδίων ὄντων, Νικάνωρ κύριος ἔστω καὶ περὶ τὴ παιδίε καὶ περὶ τῶν ἄλλων διοικεῖν ἀξίως καὶ αὐτοῦ καὶ ἡμῶν. ἐπιμελείσθω δὲ Νικάνωρ καὶ τῆς παιδὸς καὶ τῆ παιδὸς Νικομάχε, ὅπως αὐ ἀξιοῖτο περὶ αὐτῶν, ὡς καὶ πατὴρ ὢν καὶ ἀδελφός. ἐὰν δέ τι πρότερον συμβαίνῃ Νικάνορι, ὃ μὴ γένοιτο, ἢ πρὸ τοῦ λαβεῖν τὴν παῖδα, ἢ ἐπειδὰν λάβῃ, μήπω παιδίων ὄντων· ἐὰν μέν τι ἐκεῖνος πάξῃ, ταῦτα κύρια ἔστω. ἐὰν δὲ βέλτιναι Θεόφρασος εἶναι μᾶλλον τῆς παιδὸς, καθάπερ πρὸς Νικάνορα· εἰ δὲ μὴ τὼς ἐπιτρόπως βουλομένως μᾶλλον Ἀντιπάτρε, καὶ περὶ τῆς παιδὸς καὶ περὶ τῆ παιδίε διοικεῖν ὅπως αὐ αὐτοῖς δοκῇ ἄριστα εἶναι. ἐπιμελεῖσθαι δὲ τὼς ἐπιτρόπως, καὶ Νικάνορα, μνησθέντας ἐμοῦ καὶ Ἑρπυλίδος, ὅτι παιδεία περὶ ἐμὲ ἐγένετο, τῆς τε ἄλλης, καὶ ἐὰν βέλτιναι ἄνδρα λαμβάνειν, ὅπως μὴ ἀναξίως ἡμῶν δοθῇ. δεῖται δ' αὐτῆ πρὸς τοῖς πρότερον δεδομένοις καὶ ἀργυρίε τάλαντον, ἐκ τῶν καταλελειμμένων, καὶ θεραπαίνας ἕξ, ἐὰν βέλτηται, καὶ τὴν παιδίσκην ἣν ἔχει, καὶ παῖδα τὸν Πυρραῖον. καὶ ἐὰν μὲν ἐν Χαλκίδι βέλτηται οἰκεῖν, τὸν ξενῶνα τὸν πρὸς τῷ κήπῳ· ἐὰν δὲ ἐν Σταγείροις, τὴν πατρῴαν οἰκίαν. ὁπότερα δ' ἂν τούτων βέλτηται, κατασκευάσαι τὼς ἐπιτρόπως σκεύεσιν οἷς ἂν δο-

κῆ καὶ ἐκείνοις καλῶς ἔχειν, καὶ Ἑρπυλίδι ἱκανῶς. ἐπιμελεῖσθαι δὲ Νικάνορ καὶ Μύρμηκος τῦ παιδίυ, ὅπως ἂν ἀξίως ἡμῶν τῆς ἰδίους ἐπικομισθῇ, συὶ τῆς ὑπάρχουσιν ἃ ἐλήφαμεν αὐτῦ. εἶναι δὲ καὶ Ἀμβρακίδα ἐλεύθεραν, καὶ δοῦναι αὐτῇ, ὅταν ἡ παῖς ἐκδοθῇ, πεντακοσίας δραχμὰς, καὶ τὴν παιδίσκην ἣν ἔχει. δοῦναι δὲ καὶ Θαλῇ πρὸς τῇ παιδίσκῃ ἣν ἔχει τῇ ὠνηθείσῃ, χιλίας δραχμὰς, καὶ παιδίσκην. καὶ Σίμῳ χωρὶς τῦ πρώτερον ἀργυρίυ αὐτῦ εἰς παῖδα ἄλλον, ἢ παῖδα πρίασθαι, ἢ ἀργύριον δοῦναι. Τάχωνα δὲ ἐλεύθερον εἶναι, ὅταν ἡ παῖς ἐκδοθῇ, καὶ Φίλωνα, καὶ Ὀλύμπιον, καὶ τὸ παιδίον αὐτῦ. μὴ πωλεῖν δὲ τῶν παιδίων μηδένα τῶν ἐμὲ θεραπευόντων, ἀλλὰ χρῆσθαι αὐτοῖς. ὅταν δ' ἐν ἡλικίᾳ γένωνται, ἐλεύθερα ἀφιέναι κατ' ἀξίαν. ἐπιμελεῖσθαι δὲ καὶ τῶν ἐκδεδομένων εἰκόνων Δημητρίυ Γρυλλίωνος, ὅπως ἐπιτελεσθεῖσαι ἀνατεθῶσιν, ἥτε Νικάνορος καὶ ἡ Προξένε, ἣν διενοήμην ἐκδοῦναι, καὶ ἡ τῆς μητρὸς τῆς Νικάνορος· καὶ τὴν Ἀρμονίδα τὴν πεποιημένην ἀναθεῖναι, ὅπως μνημεῖον αὐτῆ ᾖ, ἐπειδὴ ἅπαις ἐτελεύτησε. καὶ τῆς μητρὸς τῆς ἡμετέρας τὴν Δήμητρα ἀναθεῖναι εἰς Νεμέαν, ἢ ὅπου ἂν δοκῇ. ὅπου δ' ἂν ποιῶνται τὴν ταφήν, ἐνταῦθα καὶ τὰ Πυθιάδος ὅσα ἀνελόντας θεῖναι, ὥσπερ αὐτὴ προσέταξεν. ἀναθεῖναι δὲ καὶ Νικάνορα σωθέντα, ὃν ἐγὼ ὑπὲρ αὐτῦ ηὐξάμην, ζῶα λίθινα πέντε ἐν Σταγείρῃ Διὶ σωτῆρι καὶ Ἀθηνᾷ σωτείρῃ. τὸν ἴσον αὐτῷ προσέταξεν αἱ δεδόσθαι τὸν ἕπομενον.

Λέγεται δὲ καὶ λοπάδας αὐτῦ πλείστας δρᾶσθαι· καὶ Λύκωνα λέγειν, ὡς ἐν πυέλῳ θερμῷ ἐλαίυ λέοιτο, καὶ πάλαιον δραπωλοῖτο· ἐνίοι δὲ καὶ ἀσκίον θερμῷ ἐλαίυ ἐντιθέναι αὐτὸν τῷ σομάχῳ φασί· καὶ ὁπότε κοιμῷτο, σφαῖ-

ΕΘΝΙΚΟΝ ΚΕΝΤΡΟΝ ΔΕΥΤΕΡΑΣ ΚΟΙΝΩΝΙΑΣ

σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα, λεκάνης ὑποκειμένης· ἵν' ἐμπεσούσης τῆς σφαίρας εἰς τὴν λεκάνην, ὑπὸ τοῦ ψόφου ἐξέγρεσθαι.

Ἀποφέρεται δ' εἰς αὐτὸν καὶ ἀποφθέγματα κάλλιστα τοιαῦτα. ἐρωτηθεὶς τί ἄριστον κέρδος τοῖς ψεύδομένοις; Ὅταν, ἔφη, λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι. ὀνειδιζόμενός ποτε ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, Οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἐλέησα. συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, σὺν θεῷ μὲν καὶ ὅπως δυνατὸν ἔτυχεν, ὡς ἡ μὲν ὅρασις ὑπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ὑπὸ τῶν μαθημάτων. πολλάκις δὲ καὶ ὑποτεινόμενος, τοὺς Ἀθηναίους ἔφασκεν δύνασθαι πυρὸς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή. τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας εἶναι πικράς, γλυκεῖς δὲ τοὺς καρπούς. ἐρωτηθεὶς τί γηράσκει ταχύ; Χάρις, ἔφη. ἐρωτηθεὶς τί ὄζει ἐλπίς; Εὐχρηγορότος, εἶπεν, ἐνύπνιον. Διονύσιος ἰχάδα αὐτῷ δεδόντος, νοήσας ὅτι, εἰ μὴ λάβῃ, χεῖρον εἴη μεμελετηκώς, λαβὼν, ἔφη Διογένη μετὰ τῆς χειρὸς καὶ τὴν ἰχάδα ἀπολωλεκέναι. πάλιν δὲ δεδόντος, λαβὼν καὶ μετανείσας, ὡς τὰ παιδία, εἰπόντος, Μέγας Διονύσιος, ἀπέδωκεν αὐτῷ. ξιῶν ἔφη δεῖν παιδεία, φύσεως, μαθήσεως, ἀσκήσεως. ἀκούσας τινὸς λοιδορεῖσθαι, Ἀπόπαυε, ἔφη, καὶ μασιγούτω. τὸ κάλλος παντὸς ἔλεγεν ἐπιστολῆς συστατικώτερον. οἱ δὲ τοῦτο μὲν Διονυσίου φασὶν εἰρῆσθαι· αὐτὸν δὲ, δῶρον εἰπεῖν σύμφορον· Σωκράτη δὲ, ὀλιγοχρόνιον τυραννίδα· Πλάτωνα, προτέρημα φύσεως· Θεόφραστον, σιωπῶσαν ἀπάτην· Θεόκριτον, ἐλεφαντίνην ζημίαν· Καρνεάδην, ἀδορυφόρητον βασιλείαν· ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; Ὅσῳ, εἶπεν, οἱ ζῶντες

τῶν

τὴν πεθυμητόπων. τὴν παιδείαν ἔλεγε ἐν μὲν τοῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. τὴν γονέων τὸς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων. τὸς μὲν γὰρ, τὸ ζῆν· τὸς δὲ, τὸ καλῶς ζῆν παραχέσθαι· πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, Οὐ τοῦτο, ἔφη, δεῖ σκοπεῖν, ἀλλ' ὁποία τις μεγάλης παιδὸς ἀξιός ἐστιν. ἐρωτηθεὶς τί ἐστι φίλος; ἔφη, Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα. τὴν ἀνθρώπων ἔλεγε, τὸς μὲν ἔπω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τὸς δὲ ἔπως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν; Τυφλὸν, ἔφη, τὸ ἐρώτημα. ἐρωτηθεὶς τί περὶ αὐτῶν διαλέγονται ἐν φιλοσοφίᾳ; ἔφη, Τὸ ἀναπίπτοντας ποιεῖν ἄτινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν. ἐρωτηθεὶς πῶς ἂν πρακόπτοιεν οἱ μαθηταί; ἔφη, Ἐὰν τὰς πρὸ ἐχοντας διώκοντες, τὰς ὑστερούσας μὴ ἀναμένωσι. πρὸς τὸν εἰπόντα ἀδολέσχου, ἐπειδὴ πολλὰ αὐτὸν κατέλυτλησε, Μήτι σε κατέφλυάρησα; μὰ Δί', εἶπεν· ἐ γὰρ σοι προσεῖχον. πρὸς τὸν αἰτιασάμενον ὡς εἴη μὴ ἀγαθῷ ἔρωτι δεδωκὼς (φέρεται δὲ καὶ ἔπω) Οὐ τῷ ἀνθρώπῳ, φησὶν, ἔδωκα, ἀλλὰ τῷ ἀνθρωπίνῳ· ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις προσφεροίμεθα, ἔφη, Ὡς ἂν θέλοιμεθα αὐτὸς ἡμῖν προσφέρεσθαι. τὴν δικαιοσύνην ἔφη ἀρετὴν ψυχῆς διανεμητικὴν τὸ κατ' ἀξίαν. κάλλιστον ἐφόδιον τῷ γήρᾳ τὴν παιδείαν ἔλεγε. φησὶ δὲ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν ἀπομνημονευμάτων, ὡς ἐκάστοτε λέγοι, Ὦ φίλοι, οὐδεὶς φίλος. ἀλλὰ καὶ ἐν τῷ ἑβδόμῳ τῶν Ἠθικῶν ἐστι. καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται.

Συνέγραψε δὲ πάμπλεισα βιβλία, ἃ ἀκόλουθον ἦγημάμην ὑποτάξαι, διὰ τὴν περὶ πάντας λόγους τάν-

δρὸς

δρὸς ἀρετάς. Περὶ δικαιοσύνης, ά, β', γ', δ'. Περὶ ποιητῶν, ά, β', γ'. Περὶ φιλοσοφίας, ά, β', γ'. Πολιτικὰ, ά, β'. Περὶ ῥητορικῆς, Γρύλλος, ά. Νέμεσις, ά. Σοφιστὴς, ά. Μενέξενος, ά. Ἐρωτικὸς, ά. Συμπόσιον, ά. Περὶ πλούτου, ά. Προτρεπτικὸς, ά. Περὶ ψυχῆς, ά. Περὶ δ' ψυχῆς, ά. Περὶ ὑγιείας, ά. Περὶ ἡδονῆς, ά. Ἀλέξανδρος, ἢ ὑπὲρ ἀποίκων, ά. Περὶ βασιλείας, ά. Περὶ παιδείας, ά. Περὶ τἀγαθῦ, ά, β', γ'. Τὰ ἐκ τῶν νόμων Πλάτωνος, ά, β', γ'. Τὰ ἐκ τῆς πολιτείας, ά, β'. Οἰκονομικὸς, ά. Περὶ φιλίας, ά. Περὶ τὸ πάσχειν, ἢ πεποιθέναι, ά. Περὶ ἐπιστημῶν, ά. Περὶ ἐλεγικῶν, ά, β'. Λύσεις ἐλεγικαὶ, δ'. Διαιρέσεις σοφιστικαὶ, δ'. Περὶ ἐναντίων, ά. Περὶ εἰδῶν τῦ γενῶν, ά. Περὶ ἰδίων, ά. Ὑπομνήματα ἐπιχειρηματικὰ, γ'. Προτάσεις περὶ ἀρετῆς, ά, β', γ'. Ἔνστασις, ά. Περὶ τῦ προσαχῶς λεγομένου, ἢ κατὰ προάθεσιν, ά. Περὶ παθῶν ὀργῆς, ά. Ἠθικῶν, ά, β', γ', δ', έ. Περὶ στοιχείων, ά, β', γ'. Ὑπὲρ ἐπιστήμης, ά. Περὶ ἀρχῆς, ά. Διαιρέσεις ἑπτακαίδεκα. Διαιρετικῶν, ά. Ἐρωτήσεως καὶ ἀποκρίσεως, ά, β'. Περὶ κινήσεως, ά, β'. Προτάσεις, ά. Προτάσεις ἐλεγικαὶ, δ'. Συλλογισμοὶ, ά. Προτέρων ἀναλυτικῶν, ά, β', γ', δ', έ, ς', ζ', ή, θ'. Ἀναλυτικῶν ὑστέρων μεγάλων, ά, β'. Περὶ προβλημάτων, ά. Μεθοδικὰ, ά, β', γ', δ', έ, ς', ζ', ή. Περὶ τὸ βελτίονος, ά. Περὶ τῆς ἰδέας, ά. Ὅροι πρὸ τῦ τοπικῶν, ά, β', γ', δ', έ, ς', ζ'. Συλλογισμῶν, ά, β'. Συλλογιστικὸν, ᾗ ὅροι, ά. Περὶ τὸ αἱρετὸν καὶ τὸ συμβεβηκότος, ά. Τὰ πρὸ τῦ τόπων, ά. Τοπικῶν πρὸς τὸς ὅρους, ά, β'. Πάθη, ά. Διαιρετικὸν, ά. Μαθηματικὸν, ά. Ὁρισμοὶ, ξ ἰσταί, δέκα.

δεκα. Ἐπιχειρημάτων, ά, β'. Περὶ ἡδονῆς, ά. Προτάσεις, ά. Περὶ ἕξεως, ά. Περὶ καλοῦ, ά. Θέσεις ἐπιχειρηματικαὶ, πεντε καὶ εἴκοσι. Θέσεις ἐρωτικαὶ, τέτταρες. Θέσεις φιλικαὶ, β. Θέσεις περὶ ψυχῆς, ά. Πολιτικὰ, β'. Πολιτικῆς ἀποδόσεως, ὡς ἡ Θεοφράστου, ά, β', γ', δ', έ, ς', ζ', ή. Περὶ δικαίων, ά, β'. Τεχνῶν συναγωγὴ, ά, β'. Τέχνης ῥητορικῆς, ά, β'. Τέχνη, ά. Ἄλλη τέχνη, ά, β', Μεθοδικὸν, ά. Τέχνης τῆς Θεοδέκτου εἰσαγωγῆς, ά. Πραγματεῖαι τέχνης ποιητικῆς, ά, β'. Ἐνθυμήματα ῥητορικά. Περὶ μεγέθους, ά. Ἐνθυμημάτων αἱρέσεις, ά. Περὶ λέξεως, ά, β'. Περὶ συμβουλίας, ά. Συναγωγῆς, ά, β'. Περὶ φύσεως, ά, β', γ'. Φυσικὸν, ά. Περὶ τῆς Ἀρχύτου φιλοσοφίας, ά, β', γ'. Περὶ τῆς Σπεύσίππου καὶ Ξενοκράτους, ά. Τὰ ἐκ τοῦ Τιμαίου, καὶ τοῦ Ἀρχυτείων, ώ. Πρὸς τὰ Μελίσσου, ά. Πρὸς τὰ Ἀλκμαίωνος, ά. Πρὸς τοὺς Πυθαγορείους, ά. Πρὸς τὰ Γοργίου, ά. Πρὸς τὰ Ξενοκράτους, ά. Πρὸς τὰ Ζήνωνος, ά. Περὶ τῶν Πυθαγορείων, ά. Περὶ ζώων, ά, β', γ', δ', έ, ς', ζ', ή, θ'. Ἀνατομῶν, ά, β', γ', δ', έ, ς', ζ', ή. Ἐκλογὴ ἀνατομῶν, ά. Ὑπὲρ τῶν σωθέντων ζώων, ά. Ὑπὲρ τῶν μυθολογουμένων ζώων, ά. Ὑπὲρ τοῦ μὴ γεννᾶν, ά. Περὶ φυτῶν, ά, β'. Φυσιογνωμονικὸν, ά. Γαζικὰ, β'. Περὶ μονάδος, ά. Σημεῖα χειμώνων, ά. Ἀστρονομικὸν, ά. Ὀπτικὸν, ά. Περὶ κινήσεως, ά. Περὶ μουσικῆς, ά. Μνημονικὸν, ά. Ἀπορημάτων Ὁμηρικῶν, ά, β', γ', δ', έ, ς'. Ποιητικὰ, ά. Φυσικῶν καὶ στοιχείου, ὀκτὼ πρὸς τοὺς ξ ἑκόντα. Ἐπιπεδομήκων προβλημάτων, ά, β'. Ἐγκυκλίων, ά. β'. Μηχανικὸν, ά. Προβλήματα ἐκ τοῦ Δημοκρίτου, ά, β'. Περὶ τῆς λίθου, ά. Διαιρέσεως, ά, β'. Παραβολαὶ, ά. Ἅπαντα δεκαδύο. Ἐξηγη-

γημάτα κατὰ χρόνος, πέτταρα καὶ δέκα. Ὀλυμπιονῖκαι, ά. Πυθιονῖκαι μουσικῆς, ά. Πυθικὸς, ά. Πυθιονικῶν ἔλεγχοι, ά. Νῖκαι Διονυσιακαὶ, ά. Περὶ ξαγῳδιῶν, ά. Διδασκαλίαι, ά. Παροιμίαι, ά. Νόμος συσατικὸς, ά. Νόμων, ά, β', γ', δ'. Κατηγοριῶν. ά. Περὶ ἑρμηνείας, ά. Πολιτεῖαι πόλεων δυοῖν δεόσαιν ἑξήκοντα καὶ ἑκατὸν, καὶ ἰδίαι δημοκρατικαὶ, ὀλιγαρχικαὶ, ἀριστοκρατικαὶ, καὶ τυραννικαί. Ἐπιστολαὶ πρὸς Φίλιππον. Σηλυμβρίων ὀπισολαί. Πρὸς Ἀλέξανδρον πέτταρες ὀπισολαί. Πρὸς Ἀντίπατρον, ἑνέα. Πρὸς Μαίτρα, ά. Πρὸς Ἀριστωνα, ά. Πρὸς Ὀλυμπιάδα, ά. Πρὸς Ἡφαιστίωνα, ά. Πρὸς Θεμισταγόραν, μία. Πρὸς Φιλόξενον, ά. Πρὸς Δημόκριτον, ά. ἔπη, ὧν ἀρχὴ, Ἀγνὲ θεῶν πρέσβυ θ' ἑκατηβόλε. Ἐλεγεῖα, ὧν ἀρχὴ, Καλλιτέχνα μῆτερ Δύγατερ. γίνονται αἱ πᾶσαι, μυριάδες σίχων πέτταρες καὶ τετταράκοντα, πρὸς τοῖς πεντακισχιλίοις καὶ ἑξακοσίοις ἑβδομήκοντα.

Καὶ τοσαῦτα μὲν αὐτῷ πεπραγμάτευται βιβλία· βέλεται δ' ὲν αὐτοῖς πάδε. δίττὸν εἶναι τὸν περὶ φιλοσοφίαν λόγον. τὸν μὲν, πρακτικόν· τὸν δὲ, θεωρητικόν· καὶ τὰ πρακτικὰ, τόν τε ἠθικὸν, καὶ πολιτικόν· ἔ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον ὑπογεγράφθαι. τὰ δὲ θεωρητικὰ, τόν τε φυσικὸν, καὶ λογικόν· ἔ τὸ λογικὸν, ἐχ ὁλομερῶς, ἀλλ' ὡς ὄργανον προσκειμενῶν. καὶ τὰ τε δίττὰς ὑποθέμενος σκοπὰς, τό τε πιθανὸν, καὶ τὸ ἀληθὲς, διεσάφησε. δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο. ἐλεγκτικῇ μὲν καὶ ῥητορικῇ, πρὸς τὸ πιθανόν· ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ, πρὸς τὸ ἀληθές· ἑδὲν ὑπολειπόμενος ὅτε χρὴ πρὸς εὕρεσιν, ὅτε χρὴ πρὸς κρίσιν, ὅτε μὲν χρὴ πρὸς χρῆσιν. πρὸς μὲν ὂν τὸν εὕρεσιν, τά τε τοπικὰ καὶ μεθοδικὰ, παρέδωκε προτάσεων πλῆθος·

ἐξ

ἐξ ὧν πρὸς τὰ προβλήματα πιθανῶν ἐπιχειρημάτων οἷόν τε διπορεῖν. πρὸς δὲ τινὰ κρίσιν, τὰ ἀναλυτικὰ πρότερα καὶ ὕστερα. ἀρχὰ μὲν οὖν τῶν προτέρων τὰ λήμματα κρίνεται· ἀρχὰ δὲ τῶν ὑστέρων ἡ συναγωγὴ ἐξετάζεται· πρὸς δὲ τινὰ χρῆσιν, τά τε ἀγωνιστικὰ, καὶ τὰ περὶ ἐρωτήσεως, ἐνστατικά τε, καὶ σοφιστικῶν ἐλέγχων τε καὶ συλλογισμῶν, καὶ τῶν ὁμοίων τούτοις. κριτήριον δὲ τῆς ἀληθείας, τήν τε φαντασίαν ἐνεργημάτων, τινὰ αἴσθησιν ἀπεφήναντο· τῶν δὲ ἠθικῶν, τῶν περὶ πόλιν καὶ περὶ οἶκον καὶ περὶ νόμους, τὸν νοῦν. τέλος δὲ οὗ ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ· ἔφη δὲ καὶ τινὰ δαιμονίαν συμπλήρωμα ἐκ ξιῶν ἀγαθῶν εἶναι· τῶν περὶ ψυχὴν, ἃ δὴ καὶ πρῶτα τῇ δυνάμει καλεῖ· ἐκ δευτέρων δὲ, τῶν περὶ σῶμα, ὑγείας, καὶ ἰσχύος, καὶ κάλλους, καὶ τῶν παραπλησίων· τῶν δὲ ἐκτὸς, πλούτου, καὶ εὐγενείας καὶ δόξης, καὶ τῶν ὁμοίων. τινά τε ἀρετὴν μὴ εἶναι αὐτάρκη πρὸς εὐδαιμονίαν. προσδεῖσθαι γὰρ τῆς τε περὶ σῶμα καὶ τῆς ἐκτὸς ἀγαθῶν· ὡς κακοδαιμονήσοντος τοῦ σοφοῦ, κἂν ἐν πόνοις ᾖ, κἂν ἐν πενίᾳ καὶ τοῖς ὁμοίοις. τινὰ μέντοι κακίαν, αὐτάρκη πρὸς κακοδαιμονίαν, κἂν ὅτι μάλιστα παρῇ αὐτῇ τὰ ἐκτὸς ἀγαθά, καὶ τὰ περὶ σῶμα. τάς τε ἀρετὰς ἔφη μὴ ἀκολουθεῖν. ἐνδέχεσθαι γάρ, φρόνιμόν τινα, καὶ ὁμοίως δίκαιον ὄντα, ἀκόλαστον καὶ ἀκρατῆ εἶναι. ἔφη δὲ τὸν σοφὸν, μὴ εἶναι μὲν ἀπαθῆ, μετριοπαθῆ δέ. τινά τε φιλίαν ὠρίζετο ἰσότητα δύνοιας αὐτίστροφον. ταύτης δὲ τινὰ μὲν, εἶναι συγκρικήν· τὴν δὲ, ἐρωτικήν· τινὰ δὲ, ξενικήν· εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον σωφροσύνης, ἀλλὰ καὶ φιλοσοφίας· καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν, καὶ πολιτεύσεσθαι, γαμήσειν τε μέντοι καὶ βασιλεῖ συμβιώσειν. βίων τε ξιῶν ὄντων, θεωρητικοῦ, πρακτικοῦ, ἡδονικοῦ, τὸν θεωρητικὸν προκρίνειν.

εὐχὴν

εὔχρηστα δὲ καὶ τὰ ἐγκύκλια μαθήματα πρὸς ἀρετῆς ἀνάληψιν. σύ τε τοῖς φυσικοῖς αἰτιολογικώτατος πάντων ἐγένετο, ὥστε καὶ περὶ τῶν ἐλαχίστων τὰς αἰτίας ἀποδιδόναι. διόπερ καὶ ἐκ ὀλίγα βιβλία συνέγραψε φυσικῶν ἀπομνημονευμάτων. τὸν δὲ θεὸν ἀσώματον ἀπέφαινε, καθά κ ὁ Πλάτων. ἵστασθαι δὲ αὐτὸν τὴν πρόνοιαν μέχρι τῆς ἐπὶ τὰ οὐράνια, καὶ εἶναι ἀκίνητον αὐτόν· τὰ δὲ ὑπὸ γῆν, καὶ τὴν πρὸς ταῦτα συμπάθειαν οἰκονομεῖσθαι. εἶναι δὲ φησὶ τὰ τέσσαρα στοιχεῖα καὶ ἄλλο πέμπτον, ἐξ οὗ τὰ οὐράνια συνεστάναι. ἄλλοίαν δ' αὐτῶν τὴν κίνησιν εἶναι· κυκλοφορικὴν γάρ. καὶ τὴν ψυχὴν δὲ ἀσώματον, ἐντελέχειαν οὖσαν τοῦ πρώτου· σώματος γὰρ φυσικοῦ καὶ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος. διττὴ δ' αὐτῶν ὁδὸς κατ' αὐτόν. λέγει δ' ἐντελέχειαν, ἧς ἔστιν εἶδός τι ἀσώματον· ἡ μὲν κατὰ δύναμιν, ὡς ἐν τῷ κηρῷ ὁ Ἑρμῆς ὑπηδειότητα ἔχων ὑποδέχεσθαι τὰς χαρακτῆρας. καὶ ὁ ἐν τῷ χαλκῷ ἀνδριάς. καθ' ἕξιν δὲ λέγεται ἐντελέχεια, ἡ τοῦ συντελεσμένου Ἑρμοῦ ἢ ἀνδριάντος. σώματος δὲ φυσικοῦ, ἐπεὶ τῶν σωμάτων τὰ μὲν ἔστι χειρόκμητα, ὡς τὰ ἀπὸ τεχνιτῶν γινόμενα, οἷον πύργος, πλοῖον· τὰ δὲ ἀπὸ φύσεως, ὡς φυτὰ, καὶ τὰ τῶν ζώων. ὀργανικὸν δὲ εἶπε, τουτέστι πρός τι κατεσκευασμένον, ὡς ἡ ὅρασις πρὸς τὸ ὁρᾶν, καὶ ἡ ἀκοὴ πρὸς τὸ ἀκούειν. δυνάμει δὲ ζωὴν ἔχοντος, οἷον ἐν ἑαυτῷ. τὸ δυνάμει δὲ διττὸν, ἢ καθ' ἕξιν, ἢ κατ' ἐνέργειαν. κατ' ἐνέργειαν μὲν, ὡς ὁ ἐγρηγορὼς λέγεται ψυχὴν ἔχειν· κατὰ ἕξιν δ', ὡς ὁ καθεύδων· ἵνα ἂν καὶ ὕπνος ὑποπίπτῃ, τὸ δυνάμει προσεθηκε. πολλὰ δὲ καὶ ἄλλα περὶ πολλῶν ἀπεφήνατο, ἅπερ μακρὸν ἂν εἴη καταριθμεῖσθαι. πᾶσι γὰρ ὅλοις φιλοποιώτατος ἐγένετο καὶ διαλεκτικώτατος, ὡς δῆλον ἐκ τῶν προγεγραμμένων συγγραμμάτων, ἃ

τὸν ἀριθμὸν ἐγγὺς ἥκει τριακοσίων, τὰ ὅσα γε ἀναμφίλεκτα. πολλὰ γὰρ καὶ ἄλλα εἰς αὐτὸν ἀναφέρεται συγγράμματα αὐτῷ, καὶ ἀποφθέγματα ἀγράφῳ φωνῇ δυσχήματα.

Γεγόνασι δὲ Ἀριστοτέλεις ὀκτώ. πρῶτος, αὐτὸς οὗτος· δεύτερος, ὁ πολιτογράμματος Ἀθηναίοις, ᾧ καὶ δικανικοὶ φέρονται λόγοι χαρίεντες· τρίτος, περὶ Γλαύκου πεφαγματευμένος· τέταρτος, Σικελιώτης ῥήτωρ, πρὸς τὸν Γοργίαν Παιανιέα ἀντιγεγραφώς· πέμπτος, ὁ ἐπικληθεὶς Μῦθος, Ἀχαϊκὰ τὰ Σωκρατικὰ γνωρίμους· ἕκτος, Κυρηναῖος, γεγραφὼς περὶ ποιητικῆς· ἕβδομος, παιδοτρίβης, οὗ μέμνηται Ἀριστόξενος ἐν τῷ Πλάτωνος βίῳ· ὄγδοος, γραμματικὸς ἄσημος, οὗ φέρεται τέχνη περὶ πλεοναστῶν.

Τῶν δὲ Σπευσίππου γεγόνασι μὲν πολλοὶ γνώριμοι, διαφέρων δὲ μάλιστα Θεόφραστος, περὶ οὗ λεκτέον.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

ΘΕΟΦΡΑΣΤΟΣ.

Θεόφραστος Ἐρέσιος, Μελαύτα καναφέως υἱός, ὡς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ περιπάτων.

Οὗτος πρότερον μὲν ἤκουσε Λευκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος, μετὰ τὸν πρὸς Ἀριστοτέλη. κἀκεῖνος εἰς Χαλκίδα ἀποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολὴν Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ.

Φέρεται δ' αὐτοῦ καὶ δεῦτερος φιλόσοφος ὁμώνυμος Πομπύλος,

λος, καθάφησι Μυρωνιανὸς Ἀμαρσιανὸς ἐν τῷ πρώτῳ τῶν ὁμοίων ἰσθμικῶν κεφαλαίων.

Ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ σωφρονέστατος καὶ φιλοπονώτατος, καθάφησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων, διδάσκαλος Μενάνδρου τοῦ κωμικοῦ· ἄλλως τε καὶ διεργετικὸς καὶ φιλέλλην.

Κάσανδρος μὲν αὐτὸν ἀπεδέχετο, καὶ Πτολεμαῖος ἔπεμψεν ἐπ' αὐτόν. τοσοῦτον δ' ἀπεδοχῆς ἠξιώθη παρὰ Ἀθηναίοις, ὥστε Ἀγυιαίδης πολιτικὸς ἀσεβείας αὐτὸν γράψασθαι, μικρὸν καὶ προσῶφλεν. ἀπολιπόντα εἰς τὴν ἐκκλησίαν αὐτοῦ μαθηταὶ πρὸς διχιλίους. ἔτος τε ἄλλα, καὶ περὶ δικασπολίας τοιαῦτα διείληπται ἐν τῇ πρὸς Φιλίαν τὴν Περιπατητικὴν ἐπιστολῇ, Οὐ μόνον ὅτι παντὸς, ἀλλ' οὐδὲ συνέδριον ῥᾴδιον, οἱόντις βάλεται, λαβεῖν. αἱ δὲ ἀναγνώσεις ποιοῦσιν ἐπανορθώσεις. τὸ δὲ ἀναβάλλεσθαι πάντα καὶ ἀμελεῖν, ἐκεῖ φέρουσιν αἱ ἡλικίαι. ἐν ταύτῃ τῇ ἐπιστολῇ σχολαστικὸν ὠνόμακε. τοιοῦτος δὲ ὢν, ὅμως ἀπεδήμησε πρὸς ὀλίγον καὶ ἔτος, καθάπαντες οἱ λοιποὶ φιλόσοφοι· Σοφοκλέους τοῦ Ἀμφικλείδου νόμον εἰσενεγκόντος, Μηδεμίαν τῶν φιλοσόφων σχολὴν ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. ἀλλὰ αὖθις ἐπανῆλθον εἰς νέωτα, Φιλίππου τὸν Σοφοκλέα γραψαμένου παρανόμων. ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν Ἀθηναῖοι, τὸν δὲ Σοφοκλέα πολὺ παλαιότερον ἐζημίωσαν· καὶ δόντες τοῖς φιλοσόφοις ἐψηφίσαντο, ἵνα καὶ Θεόφραστος κατέλθῃ, καὶ ἐν τοῖς ὁμοίοις ᾖ.

Τοῦτον, Τύρταμον λεγόμενον, Θεόφραστον διὰ τὸ τῆς φράσεως θαυμάσιον Ἀριστοτέλης μετονόμασεν.

Οὗ καὶ τὰ ἤθη Νικομάχῳ φησὶν ἐρωτικῶς διατεθεῖναι, καίπερ ὄντα διδάσκαλον, Ἀρίσιππος ἐν τετάρτῳ τῶν παλαιᾶς τρυφῆς.

Λέγεται δ' ἐπ' αὐτῷ τε καὶ Καλλισθένει τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλει, ὅπερ Πλάτωνα, καθὰ προείρηται, φασὶν εἰπεῖν ὅτι τε Ξενοκράτης καὶ αὐτῷ τάτε. φαύλη γὰρ, τῷ μὲν Θεοφράστῳ καθ' ὑπερβολὴν ὀξύπτους παρὰ τὸ νοηθὲν ἑρμηνεύοντος, τῷ δὲ νωθρῷ τὴν φύσιν ὑπάρχοντος, ὡς τῷ μὲν χαλινὸς δεῖσι, τῷ δὲ κέντρου.

Λέγεται δ' αὐτὸν καὶ ἴδιόν τι ποιεῖν μετὰ τοῦ Ἀριστοτέλους τελευτοῦ. Δημητρίου τοῦ Φαληρέως, ὃς ἦν καὶ γνώριμος αὐτῷ, τοῦτο συμβάντος.

Φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτί χρειώδη. Θᾶττον ἔφη πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ, ἢ λόγῳ ἀσυντάκτῳ. πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον, ἔφη, Εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. συνεχές τε ἔλεγε, πολυτελὲς ἀνάλωμα εἶναι τὸν χρόνον.

Ἐτελεύτα δὲ γηραιὸς, βιοὺς ἔτη πεντε καὶ ὀγδοήκοντα, ἐπειδή περ ὀλίγον αὐτῷ τῆς πόνων. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,
Ῥήγνυσθαι σοφίης τόξον ἀείμνηστον·
Δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μιν, ἄπυρος
Ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πυρομανής.

φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῆς μαθητρίας εἴτι δέοιτο σκήπτου, εἰπεῖν, δέεσθαι μὲν ἔχειν ἐδέν, πλὴν ὅτι πολλὰ τῆς ἡδέως ὁ βίος δι' τὴν δόξαν καταλαζονεύεται. ἡμεῖς γὰρ ὅπόταν ἀρχόμεθα ζῆν, τότ' ἀποθνήσκομεν. ἐδὲν ἂν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας· ἀλλ' εὐτυχεῖτε, καὶ ἴτε τὸν λόγον ἄφετε (πολὺς γὰρ ὁ πόνος) ἢ καλῶς αὐτῷ προσίετε· (μεγάλη γὰρ ἡ δόξα) τῷ δὲ καλῷ τὸ βίῳ, πλεῖον τὸ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν

μὴ ἀκέτ' ἐκποιεῖ βελτίεσθαι τί πρακτέον, ὑμεῖς δ' ἐπισκέψασθαι τί ποιητέον. ταῦτα, φασὶν, εἰπὼν ἀπέπνευσε, καὶ αὐτὸν (ὡς ὁ λόγος) Ἀθηναῖοι παιδικοὶ παρέπεμψαν ποσὶ, τὸν ἄνδρα τιμήσαντες.

Φαβωρῖνος δέ φησι γηράσαντα αὐτὸν ἐν φορείῳ φέρεσθαι. καὶ τὸ λέγειν Ἕρμιππον, Θρασυβούλου ἰσορρεῖν Ἀρκεσίλαον τὸν Πιτανάτην, ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον.

Καταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμπλειστα, ἃ καὶ αὐτὸς ἄξιον ἡγησάμην ὑπογράψαι διὰ τὸ πάσης ἀρετῆς πεπληρῶσθαι. ἔστι δὲ τάδε. Ἀναλυτικῶν προτέρων, α, β' γ'. Ἀναλυτικῶν ὑστέρων, α, β, γ', δ', ε', ς', ζ'. Περὶ ἀναλύσεως συλλογισμῶν, α. Ἀναλυτικῶν ἐπιτομὴ, α. Ἀτιμηθέντων τόπων, α, β. Ἀγωνιστικὸν πρὸς τοὺς ἐριστικοὺς λόγους θεωρία. Περὶ αἰσθήσεων, α. Πρὸς Ἀναξαγόραν, α. Περὶ τῆς Ἀναξαγόρου, α. Περὶ τῆς Ἀναξιμένους, α. Περὶ τῆς Ἀρχελάου, α. Περὶ ἀλῶν, νίζης, συμπηξίας, α. Περὶ τῆς λιθυμένων, α, β. Περὶ τῆς ἀπόμων γραμμῶν, α. Ἀκροάσεως, α, β. Περὶ ἀνέμων, α. Ἀρετῶν διαφοραὶ, α. Περὶ βασιλείας, α. Περὶ παιδείας βασιλέως, α. Περὶ βίων, α, β, γ. Περὶ γήρως, α. Περὶ τῆς Δημοκρίτου ἀστρολογίας, α. Τῆς μεταρσιολεσχίας, α. Περὶ τῶν εἰδώλων, α. Περὶ χυμῶν, χροῶν, σαρκῶν, α. Περὶ τοῦ κόσμου, α. Περὶ τῶν ἀνθρώπων, α. Τῶν Διοπτρικῶν συναγωγὴ, α. Διορισμῶν, α, β, γ. Ἐρωτικὸς, α. Ἄλλο περὶ ἔρωτος, α. Περὶ εὐδαιμονίας, α. Περὶ εἰδῶν, α, β. Περὶ ἁπλήψεως, α. Περὶ ἐνθυσιασμοῦ, α. Περὶ Ἐμπεδοκλέους, α. Ἐπιχειρημάτων, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε, ις, ιζ, ιη. Ἐνστάσεων, α, β, γ. Περὶ ἕξεως,

σίᾳ, ά. Ἐπιτομὴ τῆς Πλάτωνος πολιτείας, ά, β'. Περὶ ἐπιφανίας ζώων τῶν ὁμοφύλων, ά. Περὶ τῶν ἀθρόων φαινομένων, ά. Περὶ δακετῶν καὶ βλητικῶν, ά. Περὶ τῶν ζώων ὅσα λέγεται φρονεῖν, ά. Περὶ τῶν ἐν ξηρῷ χαμαιρούντων, ά. Περὶ τῶν τὰς χόας μεταβαλλόντων, ά. Περὶ τῶν φαλιδόντων, ά. Περὶ ζώων, ά, β', γ', δ', ε', ς', ζ'. Περὶ ἡδονῆς, ὡς Ἀριστοτέλης, ά. Περὶ ἡδονῆς ἄλλο, ά. Θέσεις, κδ'. Περὶ θερμῆ καὶ ψυχρῆ, ά. Περὶ ἰλίγγων καὶ σκοτώσεων, ά. Περὶ ἱδρῶτος, ά. Περὶ καταφάσεως καὶ ἀποφάσεως, ά. Καλλιθέτης, ἢ Περὶ παθῶν, ά. Περὶ κόπων, ά. Περὶ κινήσεως, ά, β', γ'. Περὶ λίθων, ά. Περὶ λοιμῶν, ά. Περὶ λειποψυχίας, ά. Μαγικὸς, ά. Περὶ μελαγχολίας, ά. Περὶ μετάλλων, ά, β'. Περὶ μέλιτος, ά. Περὶ τῶν Μηδοδώρα συναγωγῶν, ά. Μεταρσιολογικῶν, ά, β'. Περὶ μέθης, ά. Νόμων, καὶ στοιχεῖαν, κδ'. Νόμων ἐπιτομῆς, ά, β', γ', δ', ε', ς', ζ', η', θ', ι'. Πρὸς τὰς ὁρισμὰς, ά. Περὶ ὀδμῶν. Περὶ οἴνου καὶ ἐλαίου. Πρώτων φαντάσεων, ά, β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια'. ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη'. Νομοθετῶν, ά, β', γ'. Πολιτικῶν, ά, β', γ', δ', ε', ς'. Πολιτικὸν πρὸς τὰς καιρὰς, ά, β'. γ', δ', Πολιτικῶν ἐθῶν, ά, β', γ', δ'. Περὶ τῆς ἀρίστης πολιτείας, ά. Προβλημάτων συναγωγῆς, ά, β', γ', δ', ε'. Περὶ παροιμιῶν, ά. Περὶ πήξεων καὶ τήξεων, ά. Περὶ πυρὸς, ά, β'. Περὶ πνευμάτων, ά. Περὶ ἀθαλύσεως, ά. Περὶ πνιγμῆ, ά. Περὶ εὐφροσύνης, ά. Περὶ παθῶν, ά. Περὶ σημείων, ά. Σοφισμάτων, ά, β'. Περὶ συλλογισμῶν λύσεως, ά. Τοπικῶν, ά, β'. Περὶ τιμωρίας, ά, β'. Περὶ ξιχῶν, ά. Περὶ τυραννίδος, ά. Περὶ ὕδατος, ά, β', γ'. Περὶ ὕπνου, καὶ ἐνυ-

ἐνυπνίων, ά. Περὶ φιλίας, ά. β', γ'. Περὶ φιλοτιμίας, ά, β'. Περὶ φύσεως, ά, β', γ'. Περὶ φυσικῶν, ά, β', γ', δ', έ, ς', ζ', ή, θ', ί, ια', ιβ', ιγ', ιδ'. ιέ, ις', ιζ', ιή. Περὶ φυσικῶν ὄπτομῆς, ά, β'. Φυσικῶν, ά, β', γ', δ', έ, ς', ζ', ή. Πρὸς τὰς φυσικὰς, ά. Περὶ φυσικῶν ἱστοριῶν, ά, β', γ', δ', έ, ς', ζ', ή, θ', ί. Περὶ φυσικῶν αἰτιῶν, ά, β', γ', δ', έ, ς', ζ', ή. Περὶ χυλῶν, ά, β', γ', δ', έ. Περὶ ᾠδῆς ἡδονῆς, ά. Περὶ ψυχῆς, θέσις μία. Περὶ τῶν ἀτέχνων πίστεων, ά. Περὶ τῶν ἁπλῶν διαπορημάτων, ά. Ἁρμονικῶν, ά. Περὶ ἀρετῆς, ά. Ἀφορμαὶ ἢ ἐναντιώσεις, ά. Περὶ ὑποφάσεως, ά. Περὶ γνώμης, ά. Περὶ γελοίου, ά. Δειλινῶν, ά, β'. Διαιρέσεις, ά, β'. Περὶ τῶν διαφορῶν, ά. Περὶ τῶν ἀδικημάτων, ά. Περὶ διαβολῆς, ά. Περὶ ἐπαίνου, ά. Περὶ ἐμπειρίας, ά. Ἐπισολῶν, ά, β', γ'. Περὶ τῶν ὑπομνημάτων ζώων, ά. Περὶ ἐκκλίσεων, ά. Ἐγκώμια θεῶν, ά. Περὶ ἑορτῶν, ά. Περὶ δυτυχίας, ά. Περὶ ἐνθυμημάτων, ά. Περὶ διρημάτων, ά, β'. Ἠθικῶν χολῶν, ά. Ἠθικοὶ χαρακτῆρες, ά. Περὶ θορύβου, ά. Περὶ ἱστορίας, ά. Περὶ κρίσεως συλλογισμῶν, ά. Περὶ κολακείας, ά. Περὶ θαλάττης, ά. Πρὸς Κάσανδρον περὶ βασιλείας, ά. Περὶ κωμῳδίας, ά. Περὶ μετεώρων, ά. Περὶ λέξεως, ά. Λέγων συναγωγὴ, ά. Λύσεις, ά. Περὶ μυσικῆς, ά, β', γ'. Περὶ μέθης, ά. Μεγαλῆς, ά. Περὶ νόμων, ά. Περὶ παρανόμων, ά. Τῶν Ξενοκράτους συναγωγῆς, ά. Ὁμιλητικὸς, ά. Περὶ ὄρκου, ά. Παραγγέλματα ῥητορικῆς, ά. Περὶ πλούτου, ά. Περὶ ποιητικῆς, ά. Προβλήματα πολιτικὰ, ἠθικὰ, φυσικὰ, ἐρωτικὰ, ά. Προοιμίων, ά. Προβλημάτων συναγωγῆς, ά. Περὶ τῶν προβλημάτων φυσικῶν, ά. Πε-

περὶ παραδείγματος, α. Περὶ προθέσεως καὶ διαγράμματος, α. Περὶ ποιητικῆς ἄκρο. α. Περὶ τῶν σοφῶν, α. Περὶ συμβελῆς, α. Περὶ σολοικισμῶν, α. Περὶ τέχνης ῥητορικῆς, α. Περὶ τεχνῶν ῥητορικῶν, εἰδη ιζ. Περὶ ὑποκρίσεως, α. Ὑπομνημάτων Ἀριστοτελικῶν ἢ Θεοφράστειων, α, β, γ, δ, ε, ς. Φυσικῶν δοξῶν, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε, ις. Φυσικῶν ἐπιτομης, α. Περὶ χάους, α Χαραικτῆρες ἠθικοί. Περὶ ψεύδους καὶ ἀληθοῦς, α. Τῶν περὶ τὸ θεῖον ἱστοριῶν, α, β, γ, δ, ε, ς. Περὶ θεῶν, α, β, γ. Ἱστορικῶν γεωμετρικῶν, α, β, γ, δ. Ἐπιτομῶν Ἀριστοτέλους περὶ ζώων, α, β, γ, δ, ε, ς. Ἐπιχειρημάτων, α, β. Θέσεις, γ. Περὶ βασιλείας, α, β. Περὶ αἰτιῶν, α. Περὶ Δημοκρίτου, α. Περὶ διαβολῆς, α. Περὶ χυμέσεως, α. Περὶ ζώων φρονήσεως καὶ ἤθους, α. Περὶ κινήσεως, α, β. Περὶ ὄψεως, α, β, γ, δ. Πρὸς ὄρους, α, β. Περὶ τοῦ δεδόσθαι, α. Περὶ μείζονος καὶ ἐλάττονος, α. Περὶ τῶν μουσικῶν, α. Περὶ τῆς θείας δαιμονίας, α. Πρὸς τοὺς ἐξ Ἀκαδημίας, α. Προτρεπτικός, α. Πῶς ἄριστ' αὐ πόλις οἰκοῖτο, α. Τὰ ὑπομνήματα, α. Περὶ ῥύακος τοῦ ἐν Σικελίᾳ, α. Περὶ τῆς ὁμολογουμένων, α. Περὶ τῶν προβλημάτων φυσικῶν, α. Τίνες οἱ ῥόποι τοῦ βαπτεσθαι, α. Περὶ τοῦ ψευδομένου, α, β, γ. Τὰ πρὸ τῶν τόπων, α. Πρὸς Αἰσχύλον, α. Ἀστρολογικῆς ἱστορίας, α, β, γ, δ, ε, ς. Ἀριθμητικῶν ἱστοριῶν, α. Περὶ αὐξήσεως, α. Ἀνίχαρος, α. Περὶ δικανικῶν λόγων, α. Περὶ διαβολῆς, α. Ἐπιστολαὶ αἱ πρὸς τὸν Ἀσυγκρέοντι, Φανίαν, Νικαίους. Περὶ δυσεβείας, α. Εὐϊάδος, α. Περὶ καιρῶν, α, β. Περὶ οἰκείων λόγων, α. Περὶ παίδων ἀγωγῆς, α. Ἄλλο διάφορον, α. Περὶ παιδείας, ἢ

Περὶ

Περὶ ἀρετῶν, ἢ Περὶ σωφροσύνης, ά. Προτρεπτικὸς, ά. Περὶ ἀριθμῶν, ά. Ὀρυκτικὰ ἢ λέξεως συλλογισμῶν, ά. Περὶ ὁράσεως, ά. Πολιτικῶν, ά, β'. Περὶ φύσεως, ά. Περὶ καρπῶν. Περὶ ζώων, ἃ γίνονται σίχων Μ' κ' γ' Β' ω ή. τοσαῦτα μὲν ἐν καὶ τῷδε τὰ βιβλία.

Εὗρον δ' αὐτὸν καὶ διαθήκας τοῦτον ἐχούσας τὸν τρόπον. Ἔσαι μὲν εὖ. ἐὰν δέ τι συμβῇ, τάδε διατίθεμαι. τὰ μὲν οἴκοι ὑπάρχοντα πάντα δίδωμι Μελαίνῃ καὶ Παγκρίτοιτι τοῖς υἱοῖς Λέοντος. ὅσα δὲ τῆς παρ' Ἱππάρχου συμβολημαίων, τάδε μοι βέλομαι γενέσθαι πρῶτον μὲν τὰ περὶ τὸ μνεῖον καὶ τὰς θεὰς συντελεσθῆναι, κἂν ἔτι ἄλλο δύνηται περὶ αὐτὰς ἐπικοσμηθῆναι πρὸς τὸ κάλλιον. ἔπειτα τὴν Ἀριστοτέλες εἰκόνα τεθῆναι εἰς τὸ ἱερὸν, καὶ τὰ λοιπὰ ἀναθήματα, ὅσα πρότερον ὑπῆρχεν ἐν τῷ ἱερῷ· εἶτα τὸ ῳδεῖον οἰκοδομηθῆναι τὸ πρὸς τῷ μνείῳ μὴ χεῖρον ἢ πρότερον. ἀναθεῖναι δὲ καὶ τοὺς πίνακας, ἐν οἷς αἱ τῆς γῆς περίοδοί εἰσιν, εἰς τὴν κάτω στοάν· ἐπισκευασθῆναι δὲ καὶ τὸν βωμὸν, ὅπως ἔχῃ τὸ τέλειον καὶ τὸ εὔχημον. βέλομαι δὲ καὶ τὴν Νικομάχου εἰκόνα συντελεσθῆναι ἔσιν. τὸ μὲν τῆς πλάσεως ἔχει Πραξιτέλης· τὸ δ' ἄλλο ἀνάλωμα ὑπὸ τούτου γενέσθω. σαθῆναι δὲ ὅπως ἂν δοκῇ τοῖς καὶ τῆς ἄλλων ἐπιμελουμένοις τῆς ἐν τῇ διαθήκῃ γεγραμμένων. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν καὶ τὰ ἀναθήματα, τοῦτον ἔχει τὸν τρόπον. τὸ δὲ χωρίον τὸ ἐν Σταγείροις ἡμῖν ὑπάρχον, δίδωμι Καλλίνῳ· τὰ δὲ βιβλία πάντα, Νηλεῖ· τὸν δὲ κῆπον, καὶ τὸν περίπατον, καὶ τὰς οἰκίας τὰς πρὸς τῷ κήπῳ πάσας δίδωμι τῆς γεγραμμένων φίλων ἀεὶ τοῖς βουλομένοις συσχολάζειν καὶ συμφιλοσοφεῖν ἐν αὐτῷ, ἐπειδὴ περ ἐστὶ δυνατὸν ἀεὶ πᾶσιν ἀνθρώποις ἐπι-

ἐπιδημεῖν, μήτε ἐξαλλοτριοῦσι, μήτε ἐξιδιαζομένοις μηδενὸς, ἀλλ' ὡς αὖ ἱερὸν κοινῇ κεκτημένοις, καὶ τὰ πρὸς ἀλλήλους οἰκείως καὶ φιλικῶς χρωμένοις, ὥσπερ προσῆκον καὶ δίκαιον. ἔσωσαν δὲ οἱ κοινωνήσαντες, Ἵππαρχος, Νηλεύς, Σχάτων, Καλλῖνος, Δημότιμος, Δημάρχτος, Καλλιάδης, Μελάνθης, Παγκράτων, Νίκιππος. ἐξῆναι δὲ βουλομένῳ φιλοσοφεῖν καὶ Ἀθηναίοις, τῇ Μενάνδρου καὶ Πυθιάδος υἱῷ, καὶ μετέχειν τούτων· καὶ αὐτὸν πάσων ἐπιμέλειαν ποιεῖσθαι τὸν πρεσβυτάτης, ὅπως ὅτι μάλιστα προαχθῇ καὶ φιλοσοφίαν. θάπτειν δὲ καὶ ἡμᾶς ὅπου ἂν δοκῇ μάλιστα ἄμαχτον εἶναι τὸ κῆπος, μηδὲν προσέργον προσὶ τοῦ ταφοῦ, μήτε προσὶ τὸ μνημεῖον ποιοῦντας. ὅπως δὲ συμβαίνῃ, μὴ τὰ προσὶ ἡμᾶς συμβαίνοντα, προσὶ τὸ ἱερὸν, καὶ τὸ μνημεῖον, καὶ τὸν κῆπον, καὶ τὸν προσίπατον, θεραπεύσθαι καὶ Πόμπυλον τοῦτον ἐποιήσαντα αὐτὸν, καὶ τοῦ τῆς ἄλλων ἐπιμελείας ποιήσασθαι κύριον καὶ πρότερον· τῆς δὲ λυσιτελείας ἐπιμελεῖσθαι αὐτὸς τοὺς ἔχοντας ταῦτα. Πομπύλῳ δὲ καὶ Θρέπτῃ πάλαι ἐλευθέροις ὄσι, καὶ ἡμῖν πολλοῦ χρείαν παρεχημένοις, εἴτι πρότερον ἔχουσι παρ' ἡμῶν, καὶ εἴτι αὐτοὶ ἐκτήσαντο, καὶ ἃ νῦν παρ' Ἵππάρχου αὐτοῖς συντέταχα, δισχιλίας δραχμὰς, ἀσφαλῶς οἶμαι δεῖν αὐτοῖς ὑπάρχειν ταῦτα, καθάπερ καὶ αὐτοῖς διελέχθην Μελάνθῃ καὶ Παγκράτοντι πλειονάκις· καὶ πάντα μοι συγκατετέθειτο. δίδωμι δ' αὐτοῖς καὶ Σωματάλλῳ, καὶ τοῦ παιδίσκῳ. τῶν δὲ παίδων, Μόλωνα μὲν, Κίμωνα, καὶ Παρμένοντα, ἤδη ἐλευθέρους ἀφίημι· Μάνην δὲ καὶ Καλλίαν προμείναντας ἔτη τέτταρα ἐν τῷ κήπῳ, καὶ συνεργασαμένους καὶ ἀναμαρτήτους φρονοῦντας, ἀφίημι ἐλευθέρους· τῶν δ' οἰκηματικῶν σκευῶν, ὑποδιδόντας Πομπύλῳ ὅσα ἂν δοκῇ τοῖς ἐπιμεληταῖς καλῶς ἔχειν, τὰ λοι-

λοιπὰ ἐξαργυρίσαι. δίδωμι δὲ καὶ Καρίωνα Δημοτίμῳ, Δύνακα δὲ Νηλεῖ· Εὔβιον δ' ἀποδόσθαι. δοῦν δ' Ἱππάρχος Καλλίῳ τετρακισχιλίας δραχμάς. Μελαίνῃ δὲ καὶ Παγκράντι, εἰ μὲν μὴ ἐώρακεν Ἵππαρχον καὶ ἡμῖν πρότερον χρείαν παρεχόμενον, καὶ νῦν ἐν τοῖς ἰδίοις μάλα νοσφισαμένοις, προσεπάξαιμι ἂν μὴ Μελαίνου καὶ Παγκράντος ἐξάγειν αὐτά. ἐπειδὴ δὲ ἔτι ἐκείνοις ἐώρων ῥᾴδιον ὄντα συνοικονομεῖν, λυσιτελέστερόν τε αὐτοῖς ὑπελάμβανον εἶναι τεταγμένον τι λαβεῖν τῶν Ἱππάρχου· δοῦναι Ἵππαρχος Μελαίνῃ καὶ Παγκράντι, ἑκατέρῳ τάλαντον· δίδοναι δ' Ἵππαρχον καὶ τοῖς ἐπιμεληταῖς εἰς τὰ ἀναλώματα, τὰ ἐν τῇ διαθήκῃ γεγραμμένα, καὶ τοὺς ἑκάστου καιροὺς τῶν δαπανημάτων· οἰκονομήσαντα δὲ ταῦτα Ἵππαρχον ἀπολάβεσθαι τῶν συμβολαίων τῶν πρὸς ἐμὲ πάντων· καὶ εἴ τι ὑπὲρ τοῦ ἐμοῦ ὀνόματος συμβέβληκεν Ἵππαρχος ἐν Χαλκίδι, Ἱππάρχου τοῦτ' ἔστιν. ἐπιμεληταὶ δὲ ἔσονται τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων, Ἵππαρχος, Νηλεύς, Σφαῖρος, Καλλῖνος, Δημότιμος, Καλλισθένης, Κτήσαρχος. αἱ διαθῆκαι κεῖνται αὐτόγραφα τῷ Θεοφράστου δακτυλίῳ σεσημασμέναι, μία μὲν τῶν Ἡγησίᾳ Ἱππάρχου· μάρτυρες, Κάλλιππος Πελασεύς, Φιλόμηλος Εὐωνυμεύς, Λύσανδρος Γαιαεύς, Φιλίων Ἀλωπεκῆθεν. τὴν δ' ἑτέραν ἔχει Ὀλυμπιόδωρος· μάρτυρες δ' οἱ αὐτοί. τὴν δ' ἑτέραν ἔλαβεν Ἀδείμαντος, ἀπήνεγκε δὲ Ἀνδροθένης ὁ υἱός· μάρτυρες, Ἀείμνηστος Κλεοβούλου, Λυσίστρατος Φίδωνος Θάσιος, Σφαῖρος Ἀρκεσιλάου Λαμψακηνός. Θήσιππος Θησίππου ἐκ κεραμέων, Διοσκουρίδης Διονυσίου Ἐπικηφίσιος. ὧνδε ἔχουσιν αὐτῷ καὶ αἱ διαθῆκαι.

Ἀκοῦσαι δ' αὐτοῦ καὶ Ἐρασίστρατον τὸν ἰατρόν, εἰσὶν οἳ λέγουσι· καὶ εἰκός.

ΚΕ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΣΤΡΑΤΩΝ.

Διεδέξατο δ' αὐτὸν τὴν σχολὴν Στράτων Ἀρκεσιλάου Λαμψακηνὸς, ὃν καὶ ἐν ταῖς διαθήκαις ἐμνημόνευσεν.

Ἀνὴρ εὐφυέστατος, καὶ φυσικὸς ὑπερηθεὶς διὰ τὴν θεωρίαν ταύτην παρ' ὑπερβολὴν ἐπεμελήσατο διατετριφέναι.

Ἀλλὰ καὶ καθηγήσατο Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἔλαβε, φασὶ, παρ' αὐτοῦ τάλαντα ὀγδοήκοντα. σχολαρχεῖν δὲ, καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς, ἤρξατο τῇ τρίτῃ καὶ εἰκοστῇ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὀκτωκαίδεκα.

Φέρεται δ' αὐτοῦ καὶ βιβλία ταῦτα. Περὶ βασιλείας, τρία. Περὶ δικαιοσύνης, τρία. Περὶ ἀγαθοῦ, τρία. Περὶ θεῶν, τρία. Περὶ ἀρχῆς, τρία. Περὶ βίων. Περὶ εὐδαιμονίας. Περὶ φιλοσοφίας. Περὶ ἀνδρείας. Περὶ τοῦ καλοῦ. Περὶ ἀρετῆς. Περὶ τοῦ πυθμένος. Περὶ φύσεως ἀνθρωπίνης. Περὶ ζωογονίας. Περὶ μίξεως. Περὶ ὕπνου. Περὶ ἐνυπνίων. Περὶ ὄψεως. Περὶ αἰσθήσεως. Περὶ ἡδονῆς. Περὶ χρωμάτων. Περὶ νόσων. Περὶ κρίσεων. Περὶ δυνάμεων. Περὶ τῶν μεταλλικῶν μηχανημάτων. Περὶ λιμοῦ καὶ σκοτώσεων. Περὶ κέφου καὶ βαρέος. Περὶ ἐνθουσιασμοῦ. Περὶ χρόνου. Περὶ ξοφῆς καὶ αὐξήσεως. Περὶ τῶν ἀτόμων ζώων. Περὶ τῶν μυθολογουμένων ζώων. Περὶ αἰτιῶν. Λύσις ἀπορουμένων. Τόπων ἐφόδια. Περὶ τοῦ συμβεβηκότος. Περὶ τοῦ ὅρου. Περὶ τοῦ μᾶλλον καὶ ἧττον. Περὶ ἀδίκου. Περὶ

τοῦ

τὰ πρότερα καὶ ὕστερα. Περὶ τῆς πρότερας ἀναλύσεως. Περὶ τῆς ἰδίας. Περὶ τῆς μέλλοντος. Εὑρημάτων ἔλεγχοι δύο. Ὑπομνήματα, διδάσκεται. Ἐπιστολαί, ὧν ἀρχή, Στράτων Ἀρσινόῃ εὖ πράττειν.

Τοῦτόν φασιν ἔτη βιῶσαι λεπτὸν ὥστε ἀναιθήτως τελευτῆσαι. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν ἔπος ἔχον,

Λεπτὸς ἀνὴρ δέμας ἦν, εἰ μὴ προσεχρήσατο χρησμοῖς.

Σφάτωνα τοῦτον φημί σοι Λαμψακηνόν.
Λάμψακος ὃν ποτ' ἔφυσεν. ἀεὶ δὲ νόσοισι παλαίων,
Θνήσκει λαθών, ὑδ' ἤθετο τὸ θανάτῳ.

Γεγόνασι δὲ Σφάτωνες ὀκτώ. πρῶτος, Γ'σοκράτους ἀκροατής. δεύτερος, αὐτὸς ἐτος. τρίτος, ἰατρός, μαθητὴς Ἐρασιστράτου, ὡς δέ τινες, ξόφιμος. τέταρτος, ἱστορικός, Φιλίππου καὶ Περσέως τῶν Ῥωμαίοις πολεμησάντων γεγραφὼς πράξεις. ἕκτος, ποιητὴς ἐπιγραμμάτων. ἕβδομος, ἰατρὸς ἀρχαῖος, ὡς Ἀριστοτέλης φησίν. ὄγδοος, φιλόπατρικος, βεβιωκὼς ἐν Ἀλεξανδρείᾳ.

Τὰ δ' ἐν φυσικῇ φέρονται καὶ δοκοῦσι τοῦτον ἔχεσθαι τὸν τρόπον. Τάδε δοκεῖ μοι, εἴ τι πάσχω. τὰ μὲν οἴκοι καταλείπω πάντα Λαμπυρίωνι, καὶ Ἀρκεσιλάῳ. ὑπὸ δὲ τῆς Ἀθηναίων ὑπάρχοντός μοι ἀργυρίου, πρῶτον μὲν οἱ ἐπιμεληταὶ τὰ περὶ τὴν ἐκφορὰν ἐπεμελήθησαν, καὶ ὅσα νομίζεται μετὰ τὴν ἐκφοράν, μηδὲν μήτε περίεργον ποιοῦντες μήτ' ἀνελεύθερον. ἐπιμεληταὶ δὲ ἔσωσαν τοῦ καὶ τοῦ δοκίμου οἵδε, Ὀλυμπιόδωρος, Ἀριστείδης, Μνησιφῶν, Ἱππόκρατης, Ἐπικράτης, Γοργύλος, Διοκλῆς, Λύκων, Ἀθηναῖος· καταλείπω δὲ τῶν μὲν δοκιμωτάτων Λύκωνι, ἐπειδὴ τῶν ἄλλων οἱ μὲν εἰσι πρεσβύτεροι, οἱ δὲ, ἄχολοι. καλῶς δ' ἂν ποιοῖεν καὶ οἱ λοι-

λοιποὶ συγκατασκευάζοντες τοῦτο. καταλείπω δ' αὐτῷ καὶ τὰ βιβλία πάντα, πλὴν ὧν αὐτοὶ γεγράφαμεν, καὶ τὰ σκεύη πάντα καὶ τὸ συνάγιτιον, καὶ τὰ γράμματα, καὶ τὰ ποτήρια. δόντων δὲ οἱ ἐπιμεληταὶ Ἐπικράτει πεντακοσίας δραχμὰς, καὶ τῷ παίδων εἷς ὃν ἂν δοκῇ. Ἀρκεσιλάῳ δὲ ὡρῶν μὲν Λαμπυρείων καὶ Ἀρκεσίλαος ἀράθωσαν τὰς συνθήκας, ἃς ἔθετο Δάϊππος ὑπὲρ Γραίου, καὶ μηδὲν ὀφειλέτω μήτε Λαμπυρίωνι, μήτε τοῖς Λαμπυρίωνος κληρονόμοις, ἀλλ' ἀπηλάχθω παντὸς τοῦ συμβολαίου. δόντων δ' αὐτῷ καὶ οἱ ἐπιμεληταὶ ἀργυρίου πεντακοσίας δραχμὰς, καὶ τῷ παίδων εἷς, ὃν ἂν δοκιμάζῃ Ἀρκεσίλαος, ὅπως ἂν πολλὰ συμπεπονηκὼς ἡμῖν, καὶ παρεχόμενος χρείας, ἔχῃ βίον ἱκανόν, καὶ δυσχήμων ᾖ. ἀφίημι δὲ καὶ Διόφαντον ἐλεύθερον, καὶ Διοκλέα, καὶ Ἄβαν. Σιμμίαν δὲ ἀποδίδωμι Ἀρκεσιλάῳ. ἀφίημι δὲ καὶ Δρόμωνα ἐλεύθερον. ἐπειδὰν δὲ ἀποθάνῃται Ἀρκεσίλαος, λογισάσθω Γραίου μετ' Ὀλυμπικοῦ καὶ Ἐπικράτους, καὶ τῶν ἄλλων ἐπιμελητῶν, τὸ γεγονὸς ἀνάλωμα εἰς τιμὴν ἐκφορᾶς, καὶ τὰ ἄλλα τὰ νομιζόμενα. τὸ δὲ ἄλλο ἀργύριον κομισάσθω Ἀρκεσίλαος ἀπὸ Ὀλυμπικοῦ, μηδὲν ἐνοχλῶν αὐτὸν καὶ τοῖς καιροῖς καὶ τοῖς χρόνοις. ἀράσθω δὲ καὶ τὰς συνθήκας Ἀρκεσίλαος, ἃς ἔθετο Σβάτων ὑπὲρ Ὀλυμπικοῦ καὶ Ἀμεινίου, τοῖς κειμένοις ἀπὸ Φιλοκράτους Τισαμένου. Τὰ δὲ περὶ τὸ μνημεῖον ποιείτωσαν ὡς ἂν δοκῇ Ἀρκεσιλάῳ καὶ Ὀλυμπικῷ καὶ Λύκωνι. καὶ αἵδε μέν εἰσιν αἱ φερόμεναι αὐτοῦ διαθῆκαι, καθάπερ συνήγαγε καὶ Ἀρίστων ὁ οἰκεῖος.

Αὐτὸς δὲ ὁ Σβάτων ἀνὴρ γέγονε (καθάπερ καὶ ἄνω δεδήλωται) πολλῆς τῆς ἀποδοχῆς ἄξιος, διατείνας ἐν παντὶ λόγων εἴδει, καὶ μάλιστα γε ἐν τῷ καλουμένῳ φυσικῷ, ὅπερ εἶδος ἀρχαιότερόν τε καὶ σεμνότερον.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΛΥΚΩΝ.

Τοῦτον διεδέξατο Λύκων Ἀσυάνακτος, Τρωαδεὺς, φρασικὸς ἀνὴρ, καὶ περὶ παίδων ἀγωγῆς ἄκρως σωφρονιστικὸς. ἔφασκε γὰρ δεῖν παρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ καὶ φιλοτιμίαν, ὡς τοῖς ἵπποις μύωπα καὶ χαλινόν. τὸ δ' ἐκφρασικὸν αὐτοῦ καὶ περιεργογονὸς ἐν τῇ ἑρμηνείᾳ φαίνεται καὶ ἐνθάδε. φησὶ γὰρ τὸν τρόπον ὅτι παρθενίας ποτιχρᾶς, βαρὺ γὰρ φορτίον πατρὶ κόρη, δὴ αἰνὶν φρονικὸς ἐκφέρουσα τὸν ἀκμαῖον τῆς ἡλικίας καιρόν. διὸ δὴ καί φασιν Ἀντίγονον ἐπ' αὐτῷ τοῦτο εἰπεῖν, ὡς ἐκ τοῦ ὥσπερ μήλου τὴν εὐωδίαν καὶ χάριν ἄλλοθί πως μετουσιοῦσθαι, ἀλλ' ἐπ' αὐτῷ τῷ ἀνθρώπῳ, καθάπερ ὅτι τὸ δένδρον, τοῦ λεγομένου ἕνεκεν ἔδει θεωρεῖσθαι. τοῦτο δέ, ὅτι ἐν μὲν τῷ λέγειν γλυκύτατος ἦν· παρ' ὃ καί τινες τὸ γάμμα αὐτοῦ τῷ ὀνόματι προσετίθεσαν. ἐν δὲ τῷ γράφειν ἀνόμοιος αὐτῷ, ἀμέλει γὰρ καὶ ὅτι τοὺς μεταγινωσκόντων, ἐπειδὴ μὴ ἔμαθον ὅτε καιρὸς, καὶ εὐχομένων, τὸν ἑκαλλιέπτει τὸν τρόπον· ἔλεγε αὐτοῖς κατηγορεῖν μὲν ἀδυνάτων μεμυσμένους εὐχῇ μετάνοιαν ἀργίας ἀδιόρθωτον. τὰς τε βελτιομένους ὀρθῶς, διαπίπτειν ἔφασκε τῷ λογισμῷ· οἱονεὶ στρεβλῷ κανόνι βασανίζοντας εὐθεῖαν φύσιν, ἢ πρόσωπον ὕδατι κλυδατουμένῳ, ἢ κατόπτρῳ διεσταλμένῳ· καὶ ὅτι μὲν τὸν ἐκ τῆς ἀγορᾶς στέφανον πολλοὺς ἀπιέναι· ὅτι δὲ τὸν Ὀλυμπιάσιν ἢ ὀλίγους, ἢ οὐδένα.

Πολλάκις τε πολλὰ συμβεβουλευκὼς Ἀθηναίοις, τὰ μέγιστα αὐτοὺς ὠφέλησεν.

Η'.

Ἦν δὲ καὶ καθαρώτατος τὴν γολὴν, ὡς ὑπερβλήτῳ χρῆσθαι μαλακότητι ἱματίων, καθάπερ φησὶν Ἕρμιππος. ἀλλὰ καὶ γυμνασικώτατος ἐγένετο, καὶ εὐεκτης τὸ σῶμα, τήν τε πᾶσαν ἕξιν ἀθλητικὴν ὑπεφαίνων, ὠφθη δίας καὶ ἐμπειρὸς ὤν, καθάφησιν Ἀντίγονος ὁ Καρύστιος. ἔχει τοῦτο δὲ καὶ παλαῖσαι λέγεται πάντε ἐν τῇ πατρίδι Ἴλεια, καὶ σφαιρίσαι.

Ὡς δὲ καὶ ἄλλος τε ἦν φίλος τοῖς περὶ Εὐμβῆ καὶ Ἄπαλον, οἳ καὶ πλεῖσα ἐπεχορήγουν αὐτῷ. ἐπειράθη δ' αὐτὸν σχεῖν καὶ Ἀντίοχος, ἀλλ' οὐκ ἔτυχεν. ὕστερον δὲ ἦν ἐχθρὸς Ἱερωνύμῳ τῷ περιπατητικῷ, ὡς μόνον μὴ ἀπαντᾶν πρὸς αὐτὸν εἰς τὴν ἐπίσιον ἡμέραν, περὶ ἧς ἐν τῷ Ἀρκεσιλάου βίῳ διειλέγμεθα.

Ἀφηγήσατο δὲ τῆς σχολῆς ἔτη τέτταρα πρὸς τοῖς τετταράκοντα, Στράτωνος αὐτὸν ἐν ταῖς διαθήκαις καταλιπόντος, καὶ τὴν ἑβδόμην καὶ εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

Οὐ μὴν ἀλλὰ καὶ Παυθοίδης διήκουσε τῆς διαλεκτικῆς.

Ἐτελεύτησε δὲ γεγονὼς ἔτος τέταρτον καὶ ἑβδομηκοστὸν, νόσῳ παδαγρικῇ καταπονηθείς. καὶ ἔστιν καὶ ἡμῶν εἰς αὐτὸν,

Οὐ μὰ τὸν, ὃς δὴ Λύκωνα παρήκομψ', ὅττι ποδαλγὴς
Κάτθανε. θαυμάζω τοῦτο μάλιστα δ' ἐγώ.
Τὴν ὅπως αἶψα δαμὼν μακρὴν ὁδὸν, ἂν πολὺν ὄπποσιν
Ἀλωτείοις βαδίσας, ἔδραμε νυκτὶ μιῇ.

Γεγόνασι δὲ καὶ ἄλλοι Λύκωνες. πρῶτος, Πυθαγορικός. δεύτερος, αὐτὸς οὗτος. τρίτος, ἐπῶν ποιητής. τέταρτος, ὑπομνημάτων ποιητής.

Τὰ δὲ φιλόσοφα καὶ διαθήκαις ἐνετύχομεν ταῖς δε. Τάδε διατίθεμαι περὶ τῆς κατ' ἐμαυτὸν, ἐὰν μὴ δυνη-

θῶ

θῶ τὴν ἀῤῥωσίαν ταύτῃ ὑπενεγκεῖν. τὰ μὲν ἐν οἰκῳ πάντα δίδωμι τοῖς ἀδελφοῖς Ἀσυάνακτι καὶ Λύκωνι. καὶ οἶμαι δεῖν ἀποδοθῆναι ἀπὸ τούτων ὅσα κατακέχρημαι Ἀθήνησι, ᾧ τινος ἔχων ἢ ἐκπεπραχώς· καὶ ἃ ἂν εἰς τὴν ἐνφορὰν ἀναλωθῇ, καὶ εἰς ἄλλα τὰ νομιζόμενα. τὰ δὲ ἐν ἄσει καὶ ἐν Αἰγίνῃ, δίδωμι Λύκωνι διὰ τὸ καὶ τέκνοια φέρειν ἡμῶν, καὶ συμδιατετριφέναι πλείω χρόνον ἀρεσῶς πάνυ, καθάπερ δίκαιον ἦν τὸν υἱὸν τίζιν ἐσχηκότα. τὸν δὲ ᾠδεῖον καταλείπω τῇ γυναικὶ μόνον τοῖς βελομένοις, Βάλωνι, Καλλίνῳ, Ἀείσωνι, Ἀμφίωνι, Λύκωνι, Πύθωνι, Ἀεισομάχῳ, Ἡρακλείῳ, Λυκομήδει, Λύκωνι τῷ ἀδελφιδῷ προσπαίθασαν δ' αὐτοὶ ὃν ἂν ὑπολαμβάνωσι δύνασθαι ὑπὲρ τὸ πρᾶγματος, καὶ σωζειν μάλιστα δυνήσεσθαι. συγκατασκευαζέπωσαν δὲ καὶ οἱ λοιποὶ γνώσιμοι, καθὰ καὶ τὸ πρὶν χάειν. ᾠδεῖ δὲ τῆς ἐνφορᾶς καὶ καύσεως ἐπιμεληθήπωσαν Βάλων καὶ Καλλῖνος μετὰ τοῦ σωμάθων, ὅπως μήτ' ἀνελεύθερος γένηται, μήτε ᾠδέργος. τοῦ δὲ ἐν Αἰγίνῃ μοι θρεμμάτων μερῶν μετὰ τοῦ ἐμοῦ ἀπόλυσιν καταχωρισάτω Λύκων τοῖς νεανίσκοις εἰς ἐλαιοχρησίαν, ὅπως καθὰ καὶ τὸ τιμήσαντος ἐμὲ μνήμη θρέπται διὰ τῆς χρείας αὐτῶν ἡ προσήκουσα. καὶ ἀνδριάντα ἡμῶν ἀναθέτω. τὸν δὲ τόπον, ὅπως ἁρμόττων ἡ τῆς κατασάσεως, ἐπιβλεψάτω καὶ συμπραγματευθήτω Διόφαντος καὶ Ἡρακλείδης Δημητρίου. ἀπὸ δὲ τῆς ἐν ἄσει, Λύκων ἀποδότω πᾶσι παρ' ὧν προείληφα μετὰ τοῦ ἀποδημίαν τοῦ ἐκείνου. παρακολουθοῦσι δὲ Βάλων καὶ Καλλῖνος, καὶ ἃ ἂν εἰς τοῦ ἐνφορὰν ἀναλωθῇ, καὶ τὰ ἄλλα τὰ νομιζόμενα. κομισάσθω δὲ ταῦτα ἀπὸ τῆς ἐν οἰκῳ κοινῆ καταλειπομένων ἀμφοτέροις ὑπ' ἐμοῦ. τιμησάτω δὲ καὶ τὰς ἀξίας Πασίθεμιν καὶ Μειδίαν, ἀξίους ὄντας, καὶ ᾠδεῖ τοῦ ἐπιμέλειαν

τῶν φίλων ἐμὲ, καὶ τῶν τέχνων, καὶ μείζονος ἔτι τιμῆς. δίδωμι δὲ τῷ Καλλίνῳ παιδίῳ Θημικλείων ζεῦγος, καὶ τῇ γυναικὶ αὐτοῦ ῥοΐσκων ζεῦγος, φιλοπάτριδα, ἀμφίπαπον, φόρημα, προσκεφάλαια δύο τὰ βέλτιστα τῶν καταλειπομένων· ὡς ἂν ἐφ' ὅσον αὐτοῖς ὡρὸς τιμῶν, καὶ τῶν φανερῶν μὴ ἀμνημονεύοντες. φροντὶς δὲ τῶν θεραπευόντων ἑαυτὸν ὅπως ἐξάγω. Δημητρίῳ μὲν ἐλευθέρῳ πάλαι ὄντι ἀφίημι τὰ λύχνα, καὶ δίδωμι πέντε μνᾶς, καὶ ἱμάτιον καὶ χιτῶνα· ἵνα πολλὰ πεπονηκὼς μετ' ἐμοῦ, βίον εὐχήμονα ἔχῃ. Κείπωνι δὲ Χαλκηδονίῳ, καὶ τούτῳ τὰ λύχνα ἀφίημι, καὶ δίδωμι τέτταρας μνᾶς. καὶ τὸν Μικρὸν ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω Λύκων αὐτὸν καὶ παιδευσάτω, ἀπὸ τοῦ νῦν χρόνου ἔξ ἔτη. καὶ Χάριτα ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω Λύκων αὐτόν. καὶ δύο μνᾶς αὐτῷ δίδωμι, καὶ τὰ ἐμὰ βιβλία τὰ ἀνεγνωσμένα. τὰ δ' ἀνέκδοτα Καλλίνῳ, ὅπως ὑπομελῶς αὐτὰ ἐκδῷ. δίδωμι δὲ καὶ Σύρῳ ἐλεύθερῳ ὄντι τέτταρας μνᾶς, καὶ τῶν Μιλησίων δίδωμι· καὶ εἴ τι μοι ὀφείλει, ἀφίημι αὐτῷ. καὶ Γλαρᾷ πέντε μνᾶς, καὶ ἀμφίπαπον, καὶ δύο προσκεφάλαια, καὶ φόρημα, καὶ κλίνην ᾗ ἂν βέλται. ἀφίημι δὲ ἐλευθέραν καὶ τῶν τὴν Μικρᾶς μητέρα, καὶ Νοήμονα, καὶ Δίωνα, καὶ Θέωνα, καὶ Εὐφράνορα, καὶ Ἑρμείαν. καὶ Ἀγάθωνα, δύο ἔτη φυλαξαμένην ἀφεῖσθαι ἐλεύθερον· καὶ τὰς φροντίδας, Ὠφελίωνα καὶ Ποσειδώνιον, τέτταρα ἔτη φυλαξαμένους. δίδωμι δὲ καὶ Δημητρίῳ, καὶ Κείπωνι, καὶ Σύρῳ, κλίνην ἑκάστῳ, καὶ στρώματα τῶν καταλειπομένων, ἃ ἂν φαίνηται Λύκωνι καλῶς ἔχειν. ταῦτα ἔστω αὐτοῖς, ἀποδείξασιν ὀρθῶς ἐφ' οἷς ἕκαστοι πεπαιδεύμενοι εἰσί· φροντὶς δὲ τῆς ταφῆς, ἐάν τε αὐτὸς βέλτιαι Λύκων θάπτειν, ἐάν τε ἐν οἴκῳ, ὅπου ποιεῖπω. πέπεισμαι γὰρ αὐτὸν εὖ ἕξειν ἐμοῦ

ἐμὲ συμοράν τὸ εὔχημον. ταῦτα δὲ πάντα οἰκονομήσαντι κυρία ἔσω ἡ δόσις τῷ ἐνταῦθα. μάρτυρες, Καλλίας Ἑρμιονεύς, Ἀείσων Κεῖος, Εὐφρόνιος Παιανιεύς. ἔπω μὴ πότε αὐτῷ σωνέπως τὰ πάντα πράττοντι, τά τε πρὸς παιδείαν καὶ πάντας λόγους, ὡδὶ ἴππον καὶ τὰ τῷ ἀγαθῷ ἔργον τινὰ καὶ σφόδρα οἰκονομικῶς τε καὶ ἐπιμελῶς ἴχει· ὥστε καὶνταῦθα ζηλωτέος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΔΗΜΗΤΡΙΟΣ.

Δημήτριος Φανοστράτε, Φαληρεύς· ἔπος ἤκουσε μὴν Θεοφράστε.

Δημηγορῶν δὲ πρὸς Ἀθηναίους, τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα, καὶ εἰκόνων ἠξιώθη χαλκῶν ἑξήκοντα πρὸς ταῖς τριακοσίαις· ὧν αἱ πλείους ἐφ' ἵππων ἦσαν καὶ ἁρμάτων καὶ συνωρίδων, συντελεσθεῖσαι ἐν ὀλίγαις τριακοσίαις ἡμέραις· τοσοῦτον ἐπεδόθη. ἄρξασθαι δ' αὐτὸν τῆς πολιτείας φησὶ Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις, ὁπότε φυγὼν Ἀλέξανδρον εἰς Ἀθήνας ἦκεν Ἅρπαλος· πολλὰ δὲ καὶ λίαν τῇ πατρίδι ἐπολιτεύσατο· καὶ γὰρ προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν πόλιν, καίπερ ἐκ δήμου ὤν.

Ἦν δὲ ἐκ τῆς Κόννου οἰκίας, ὡς Φαβωρῖνος ἐν τρίτῳ τῶν ἀπομνημονευμάτων φησίν· ἀλλὰ λεπτὴ καὶ δύσνους.

Σωφρονεῖ Λαμία τῇ ἑρωμένῃ, καθάπερ ὁ αὐτὸς ἐν τῷ τρίτῳ φησίν.

Ἀλλὰ καὶ ὑπὸ Κλέωνος πεπονθέναι ἐν τῷ δευτέρῳ ἱστορεῖ.

Δίδυμος δὲ ἐν συμποσιακοῖς, καὶ χαριτοβλέφαρον, καὶ λαμπετὼ καλεῖσθαι αὐτὴν φησιν ὑπό τινος ἑταίρας.

Λέγεται δὲ ὑποβαλόντα αὐτὴν τὰς ὄψεις ἐν Ἀλεξανδρείᾳ, νομίσασθαι αὖθις ἥδιον τὸν Σαράπιδος. ὅθεν καὶ τὰς παννύχους ποιῆσαι τὰς μέχρι νῦν ἑορτάς.

Σφόδρα δὲ λαμπρὸς ὢν ἥδετο τοῖς Ἀθηναίοις, ὅμως ἐπεσκοτίθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ παίπαλα διεδίοντος φθόνου. ὑποβληθεὶς γὰρ ὑπό τινων, δίκλων θανάτου παρὰν ἥλω. καὶ μὲν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ, ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκὸν, καταπασάντες αὐτοῦ τὰς εἰκόνας, καὶ τὰς μὲν ὑποδόμους, τὰς δὲ βυθίσαντες, τὰς δὲ κατακόψαντες εἰς ἀμίδας. (λέγεται γὰρ καὶ τοῦτο) μία δὲ μόνη σώζεται ἐν ἀκροπόλει. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ, τοῦτο ποιῆσαι τοὺς Ἀθηναίους, Δημητρίου κελεύσαντος τὸν βασιλέως. ἀλλὰ καὶ τὸ ὅπως τῆς ἀρχῆς αὐτοῦ ἐπέγραψαν ἀδόμιας, ὡς Φαβωρῖνος. φησὶ δ' αὐτὸν Ἕρμιππος μὴ τὸν Κασσάνδρου θάνατον φοβηθέντα Ἀντίγονον, πρὸς Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα· κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοὺς ἄλλους, καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης προσήκειν παιοί. τὸν δὲ ὑπειδόντος, ἀλλὰ προδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μὴ τὴν ἐκείνου πολυτελῆ ἀξιωθῆναι πρὸς τοῦτο προφυλάττεσθαι ἐν τῇ χώρᾳ μέχρι τὶ δόξει πρὸς αὐτόν. ἐνταῦθα ἀθυμότερον διῆγε. καί πως ὑπνώττων, ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετέθηκε· καὶ θάπτεται ἐν τῷ Βυσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως. καὶ αὐτῷ ἐπεγράψαμεν ἡμεῖς (παρ' ἡμῖν.)

Ἀνεῖ-

Α'ιεῖλεν ἀπὶς τὸν σοφὸν Δημήτριον,
Γὸν ἔχουσα πολυὺ ἄσμηκτον,
ἀ σίλβουσα φῶς ἀπ' ὀμμάτων,
Α'λλ' ἀΐδιν μίλαινα.

Η'ρακλείδης δ' ἐν τῇ ὀπτομῇ τῆς Σωτίωνος ἐγκλοχῶν, τῷ Φιλαδέλφῳ τιὼ βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον· τὸν δ' ἀποβρέπειν, φάσκοντα, Α'ν ἄλλω δῷς, σὺ ἔχ ἕξεις. ὀπιώτικα δ' ἐσυκοφαντεῖτο ἐν ταῖς Α'θήναις (μωθάω δὲ ἐγὼ τοῦτο) Μόναδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' ἀδὸν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ. ἀλλ' αὐτὸν παρῆπσατο Τελεσφόρος ὁ ἀνεψιὸς τῷ Δημητρίᾳ.

Πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων χρόνον ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν Περιπατητικούς, δ' παίδευτος ὢν καὶ πολύπειρος παρ' ὁτιοῦν. ὧν ἔστι τὰ μὲν, ἱστορικά· τὰ δὲ, πολιτικά· τὰ δὲ, ὡς ποιητῶν· τὰ δὲ, ῥητορικά· δημηγοριῶν τε καὶ πρεσβειῶν. ἀλλὰ μὴν καὶ λόγων Α'ισωπείων συναγωγαὶ, καὶ ἄλλα πλείω. ἔστι δὲ, τὰ Περὶ τῆς Α'θήνησι νομοθεσίας, ά, β', γ', δ', έ. Περὶ τῆς Α'θήνησι πολιτῶν, ά, β'. Περὶ δημαγωγίας, ά, β'. Περὶ πολιτικῆς, ά, β'. Περὶ νόμων, ά. Περὶ ῥητορικῆς, ά, β'. Σοφιστικῶν, ά, β'. Περὶ Ι'λιάδος, ά, β'. Περὶ Ο'δυσσείας, ά, β', γ', δ'. Πτολεμαῖος, ά. Ε'ρωτικὸς, ά. Φαιδώνδας, ά. Μαίδων, ά. Κλέων, ά. Σωκράτης, ά. Α'ειςόμαχος, ά. Α'ρταξέρξης, ά. Ο'μηρικὸς, ά. Α'ειςείδης, ά. Προτρεπτικὸς, ά. Τ'πὲρ τῆς πολιτείας, ά. Περὶ τῆς δεισαιτίας, ά. Περὶ τῆς Γάνων, ά. Πρεσβυτικὸς, ά. Περὶ πίσεως, ά. Περὶ χάριτος, ά. Περὶ τύχης, ά. Περὶ μεγαλοψυχίας, ά. Περὶ γάμου, ά. Περὶ τοῦ δο-

κῶ, ά. Περὶ εἰρωνίης, ά, Περὶ νόμων, ά. Περὶ ὀπτικῶν, ά. Περὶ καιροῦ, ά. Διονύσιος, ά. Χαλκιδικὸς, ά. Ἀθηναίων καταδρομὴ, ά. Περὶ Ἀντιφάνες, ά. Προοίμιον ἰσορικὸν, ά. Ἐπιστολαὶ, ά. Ἐκκλησία ὅρκος, ά. Περὶ γήρως, ά. Δίκαια, ά. Αἰσωπείων, ά. Χρειῶν, ά. Χαρακτὴρ δὲ φιλόσοφος, δι' ὀνίας ῥιπτουμένῃ καὶ δυσάμει κεκραμένος.

Οὗτος, ἀκούσας ὅτι πᾶς εἰκόνας αὐτῷ κατέσρεψαν Ἀθηναῖοι, Ἀλλ' ἐ τοῖς ἀρετοῖς, ἔφη, δι' ὧν ἐκείνας ἀνέστησαν. ἔλεγε μὴ μικρὸν εἶναι μέρος τὰς ὀρρῦς· ὅλῳ γὰρ ὄμματι σκοπῆσαι δυνάσθαι τὸ βίῳ. ἐ μόνον τὸν πλέοντα ἔφη τυφλὸν, ἀλλὰ καὶ τοῖς ὀδηγέσαν αὐτὸν τύχῃ. ὅσον ἐν πολέμῳ δυνάσθαι σίδηρον, τοσοῦτον ἐν πολιτείαις ἰσχύειν λόγον. ἰδών ποτε νεανίσκον ἄσωτον, Γῦδε, ἔφη, τεθάγωνος Ἑρμῆς, ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα. τῶν τετυφωμμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν ἀφαιρεῖν, τὸ δὲ φρόνημα καταλιπεῖν. τὰς νέας ἔφη δεῖν ὅπλα μὲν τῆς οἰκίας τὰς γονεῖς αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τὰς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτάς. τὰς φίλας ὅπλα μὲν τὰ ἀγαθὰ ἀναλαμβάνειν, ὅπλα δὲ τὰς συμφορὰς, αὐτομάτας. τοσαῦτα καὶ εἰς τοῦτον ἀναφέρεσθαι δοκεῖ.

Γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι· πρῶτος, Καρχηδόνιος, ῥήτωρ, καὶ Θρασυμάχε πρεσβύτερος. δεύτερος, αὐτὸς οὗτος. τρίτος, Βυζάντιος, Περιπατητικός. τέταρτος, καλάμβος γραφικὸς, καὶ σαφὴς διηγήσασθαι. (οὗ δὲ καὶ ὁ αὐτὸς ζωγράφος.) πέμπτος, Ἀπολλώνιος, μαθητὴς Ἀπολλωνίε τε Σολέως. ἕκτος, Καλατιανὸς, ὁ γεγραφὼς περὶ Ἀσίας καὶ Εὐρώπης εἴκοσι βίβλους. ἕβδομος, Βυζάντιος, ἐν τρισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν, καὶ ἐν ἄλ-

ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον, καὶ τῶν Λιβύης ὑπ' αὐτῶν διοίκησιν. ὄγδοος, ὁ δακτύλιος ἐν Ἀλεξανδρείᾳ σοφιστὴς, τέχνας γεγραφὼς ῥητορικάς. ἔνατος, Ἀδραμυττηνὸς, γραμματικὸς, ἐπικληθεὶς Γλίων, διὰ τὸ ἀδικῆσαί τι δοκεῖν περὶ τὴν Ἥραν. δέκατος, Κυρηναῖος, γραμματικὸς, ὁ ἐπικληθεὶς Σταμνος, ἀνὴρ ἀξιόλογος. ἑνδέκατος, Σκήψιος, πλούσιος καὶ δημοτικὸς ἄνθρωπος, καὶ φιλόλογος ἄκρως. (ἔτος καὶ Μιθριδάτου προεβίβασε τὸν πολίτην) δωδέκατος, γραμματικὸς, Ἐρυθραῖος, πολιτογραφηθεὶς ἐν Τήμνῳ. τρισκαιδέκατος, Βιθυνὸς, Διφύλῳ τῷ Στωϊκῷ υἱὸς, μαθητὴς δὲ Παναιτίου τοῦ Ῥοδίου. τεσσαρεσκαιδέκατος, ῥήτωρ Σμυρναῖος. καὶ ἄλλοι μυρίοι λογικοί. ποιηταὶ δὲ, πρῶτος, ἀρχαίαν κωμῳδίαν πεποιηκώς. δεύτερος, ἐπῶν ποιητὴς, ἕ μόνα σώζεται πρὸς τὰς φθονερὰς εἰρημένα τάδε,

Ζωὸν ἀτιμήσαντες, ἀποφθίμενον ποθέουσι·
Καὶ ποθ' ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο
Ἄεσα νεῖκος ἐπῆλθεν, ἔειν δ' ἐσήσατο λαός.

τέταρτος, Ταρσικὸς σατυρογράφος. πέμπτος, ἰάμβους γεγραφὼς, πικρὸς ἀνήρ. πέμπτος, ἀνδριαντοποιὸς, ἕ μέμνηται Πολέμων. ἕκτος, Ἐρυθραῖος, ποικιλογράφος ἄνθρωπος, καὶ ἐρωτικὰ καὶ ῥητορικὰ πεποίηκε βιβλία.

ΚΕΦΑΛΑΙΟΝ ϛ΄.

ΗΡΑΚΛΕΙΔΗΣ.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης τῦ Πόντε, ἀνὴρ πλέσιος.

Ἀθήνησι δὲ παρέβαλε πρῶτον μὲν Σπεσίππῳ· ἀλλὰ καὶ τῆς Πυθαγορείων διήκεσε, καὶ τὰ Πλάτωνος ἐζηλώκει. καὶ ὕσερον ἦκεσεν Ἀρισοτέλες, ὥς φησι Σωτίων ἐν διαδοχαῖς.

Οὗτος ἐθητί τε μαλακῆ ἐχρῆτο, καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥσε αὐτὸν ὑπὸ τῆς Ἀττικῶν μὴ Ποντικὸν, ἀλλὰ Πομπικὸν καλεῖσθαι. πρᾷός τε ἦν τὸ βάδισμα καὶ σεμνός.

Φέρεται δ' αὐτῦ συγγράμματα κάλλισά τε καὶ ἄριστα. Διάλογοι, ὧν ἠθικὰ μὲν, Περὶ δικαιοσύνης γ΄. τὸ δὲ, Περὶ σωφροσύνης. Περί τε εὐσεβείας, ά. καὶ Περὶ ἀνδρείας, ά. κοινῶς τε Περὶ ἀρετῆς, ά. Περὶ εὐδαιμονίας, ά. Περὶ τῆς ἀρχῆς, ά. καὶ Νόμων, ά, καὶ τῆς συγχρῶν τόπος. Περὶ ὀνομάτων, ά. Σωσθῆναι, ά. Ἀνάκρισις ἐρωτικὸς, καὶ Κλεινίας, ά. φυσικὰ δὲ, Περὶ νε, Περὶ ψυχῆς, καὶ κατ' ἰδίαν, Περὶ ψυχῆς, καὶ Περὶ φύσεως, καὶ Περὶ εἰδώλων, Πρὸς Δημόκριτον, Περὶ τῆς ἐν ἅιδῃ, ά. Περὶ τῆς ἐν ᾅδε. Περὶ βίων, ά, β. αἰτίαι Περὶ νόσων, ά. Περὶ τῦ ἀγαθῦ, ά. Πρὸς τὰ Ζήνωνος, ά. Πρὸς τὰ Μήδωνος, ά. γραμματικὰ δὲ, Περὶ τῆς Ὁμήρε καὶ Ἡσιόδε ἡλικίας, ά, β. Περὶ Ἀρχιλόχε καὶ Ὁμήρε, ά, β. καὶ μυσικὰ δὲ, Περὶ τῆς παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ, ά, β, γ΄. Περὶ μυσικῆς, ά, β. Λύσεων Ὁμηρικῶν, ά, β. Θεωρηματικὸν, ά.

Πε-

Περὶ τῆς ξιῶν ξαγῳδοποιῶν, ά. Χαρακτῆρες, ά. Περὶ ποιητικῆς καὶ τῆς ποιητῶν, ά. Περὶ σοχασμῦ, ά. Προοπτικῶν, ά. Ἡρακλείτα ἐξηγήσεις, δ'. Πρὸς τὸν Δημόκριτον ἐξηγήσεις, ά. Λύσεων ἐριστικῶν, ά, β'. Ἀξίωμα, ά. Περὶ εἰδῶν, ά. Λύσεις, ά. Ὑποθῆκαι, ά. Πρὸς Διονύσιον, ά. ῥητορικὰ δὲ, Περὶ τῦ ῥητορεύειν, ἢ Πρωταγόρας. ἱστορικὰ, Περὶ τῆς Πυθαγορείων, καὶ Περὶ σὺρημάτων. τύπων τὰ μὲν κωμικῶς πέπλακον, ὡς τὸ Περὶ ἡδονῆς, καὶ Περὶ σωφροσύνης· τὰ δὲ, ξαγικῶς, ὡς τὸ Περὶ τῶν καθ' ᾅδου, καὶ τὸ Περὶ ἀσεβείας, καὶ τὸ Περὶ ἐξουσίας. ἔσι δ' αὐτῷ καὶ μεσότης τις ὁμιλητικὴ φιλοσόφωντε καὶ ξρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν φρὸς ἀλλήλους ἀγλεγομένων. ἀλλὰ καὶ γεωμετρικά ἔξιν αὐτῦ καὶ ἀγλεκτικά. ἄλλως τε καὶ ἐν ἅπασι ποικίλος τε καὶ διηρημένος τὴν λέξιν ἔξι, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος.

Δοκεῖ δὲ καὶ τὴν παρρίδα τυραννευμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν ὁμωνύμοις.

Ὅς καὶ τοιόνδε ἱστορεῖ φρὶ αὐτῦ. Θρέψαι αὐτὸν δράκοντα ἐκ νέου, καὶ αὐξηθέντα, ἐπεὶ τελευτᾶν ἔμελλε, κελεῦσαι τινὶ τῆς πιστῶν αὐτῦ τὸ σῶμα καταρύψαι, τὸν δὲ δράκοντα ὑπὸ τῆς κλίνης θεῖναι, ἵνα δόξειεν εἰς θεὸς μεταβεβηκέναι. ἐγένετο δὲ πάντα. καὶ μεταξὺ παραπεμπόντων τὸν Ἡρακλείδου τῆς πολιτῶν, καὶ διφημένων, ὁ δράκων ἀνέσας τῆς ὑπηβοῆς, ἐξέδυ τῆς ἱματίων, καὶ διεπάραξε τὰς πλείσυς. ὕσερον μέντοι ἐξεκαλύφθη πάντα, καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν. καὶ ἔσιν ἡμῶν εἰς αὐτὸν ἔπος ἔχον,

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,

Ὅς

Οὔρα θανὼν ἐγείρε ζωὸς ἅπασι δράκων.
Ἀλλὰ διεφθάρθης σεσοφισμένε. δὴ γὰρ ὁ μὲν θὴρ
Ἦε δράκων, σὺ δὲ θὴρ, ἐὼν σοφὸς ὢν, ἐάλως.

ταῦτα δέ φησι καὶ Ἱππόβοτος. Ἕρμιππος δὲ, λιμῷ καταχόντος τὴν χώραν, φησὶν αἰτεῖν τὸς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν. τὸν δὲ Ἡρακλείδην ἀφθεῖραι χρήμασι τὸς τε θεωρὸς καὶ τὴν προειρημένην, ὡς ἀπειπεῖν, ἀπαλλαγήσεσθαι τῶν κακῶν, εἰ ζῶν μὴ Ἡρακλείδης ὁ Εὐθύφρονος χρυσῷ στεφάνῳ στεφανωθείη πρὸς αὐτῶν· ἀποθανὼν δὲ, ὡς ἥρως τιμῷτο. ἐκομίσθη δῆθεν ὁ χρησμὸς, καὶ ἀδὴν ᾄναστο οἱ πλάσαντες αὐτόν. αὐτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης, ἀποπλήκτος ἐγένετο, οἵ τε θεωροὶ κατακυλισθέντες διεφθάρησαν. ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ὥραν κατίσσα ἐς τὸ ἄδυτον, καὶ ἐπισᾶσα σὺν τῷ δράκοντων, δηχθεῖσα φαρμάκῃ ἀπέπνευσε. καὶ τὰ μὲν περὶ τὸν θάνατον αὐτῆ τοσαῦτα.

Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς, καὶ ῥαψῳδίας αὐτὸν ποιεῖν, καὶ Θέσπιδος αὐτὰς ὑποκρίνειν. Χαμαιλέων τε τὰ παρ' ἑαυτῷ φησι κλέψαντα αὐτὸν, τὰ μὲν Ἡσιόδε καὶ Ὁμήρε γράψαι. ἀλλὰ καὶ Αὐτόδωρος Ἐπικούρειος ὑπονοεῖ αὐτῷ, πῖς περὶ δικαιοσύνης ἀντιλέγων. ἔτι καὶ Διονύσιος ὁ Μεταθέμενος ἢ Σπίνθαρος, ὡς οἱ μὲν, γράψας τὸν Παρθενοπαῖον, ἐπέγραψε Σοφοκλέους. ὁ δὲ, πισθέντος, εἴ τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. αἰθόμενος δ' ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τὸν δ' ἀρνούμενον καὶ ἀπιστοῦντος, ἐπέσειλεν ἰδεῖν τὴν Φασιχίδα· καὶ εἶχε Παγκάλως. ἔτος δ' ἦν ἐρώμενος Διονυσίε· ὡς δ' ἔτι ἀπιστῶν

ἔλε-

ἔλεγε, κατὰ τὸν τύχον ἐνδέχεσθαι ὅπως ἔχειν, πάλιν αὐτεπέστειλεν ὁ Διονύσιος, ὅτι καὶ ταῦτα ῥήσεις,

Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ·
Ἁλίσκεται μὲν, μὴ χρόνον δ' ἁλίσκεται.

καὶ τοιοῦτοις, Ἡρακλείδης γράμματα οὐκ ὄπισθεν, ἐδ' ἡχώθη.

Γεγόνασι δ' Ἡρακλεῖδαι τεσσαρεσκαίδεκα. πρῶτος, αὐτὸς οὗτος. δεύτερος, πολίτης αὐτῷ, πυρρίχας καὶ φλυαρίας συντεταγμένος. τρίτος, Κυμαῖος, γεγραφὼς Περσικὰ ἐν πεντε βιβλίοις. τέταρτος, Κυμαῖος, ῥήτωρ τέχνας γεγραφώς. πέμπτος, Καλατιανὸς ἢ Ἀλεξανδρεύς, γεγραφὼς τὴν ὀγδοχὴν ἐν ἓξ βιβλίοις, καὶ Λεμβευτικὸν λόγον, ὅθεν καὶ Λέμβος ἐκαλεῖτο· ἕκτος, Ἀλεξανδρεὺς, γεγραφὼς τὰ Περσικὰ ἰδιώματα. ἕβδομος, ὀγδοηκοντούτης Βαργυλιήτης, κατ' Ἐπικήρη γεγραφώς. ὄγδοος, ἑξηκοντούτης ὁ ἀπὸ Γκεσίου. ἔνατος, ἑξηκοντούτης Ταραντῖνος, ἐμπειρικός. δέκατος, ποιητικὸς, παραινέσεις γεγραφώς. ἑνδέκατος, αὐδεμαντοποιὸς, Φωκαεύς. δωδέκατος, ὁπλομαχιῶν ποιητὴς λιγυρός. τρισκαιδέκατος, Μάγνης, Μιθριδατικὰ γεγραφώς. τεσσαρεσκαιδέκατος, ἀστρολογούμενα συγγεγραφώς.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΑΝΤΙΣΘΕΝΗΣ.

Ντισθένης Ἀντισθένους, Ἀθηναῖος. ἐλέγετο δ' οὐκ εἶναι ἰθαγενής· ὅθεν πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν, Καὶ ἡ μήτηρ τῶν θεῶν Φρυγία ἐστίν. ἐδόκει δὲ εἶναι Θρᾴττης μιξός. ὅθεν καὶ ἐν Ταναγρᾳ κατὰ τὴν μάχην ἐδοκίμασας, ἔφασκε λέγειν Σωκράτει, ὡς οὐκ ἂν εἰ δυοῖν Ἀθηναίοιν ἄμφω γεγόνοι γνησίοιν. καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ὑπὸ τῶν γνησίων εἶναι σεμνυνομένους ἐκφαυλίζων, ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀστελέβων εὐθηνότερος.

Οὗτος κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος. ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει, καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ, καὶ τοῖς προτρεπτικοῖς. φησὶ δ' Ἕρμιππος, ὅτι προείλετο ἐν τῇ τῶν Ἰσθμίων πανηγύρει ψέξαι τε καὶ ἐπαινέσαι Ἀθηναίους, Θηβαίους, Λακεδαιμονίους. εἶτα μὲν τοὺς παραπέμψασθαι, ἰδόντα πλείστους ἐκ τῶν πόλεων ἀφιγμένους. ὕστερον δὲ παρέβαλε Σωκράτει,

τει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥσε παρήνει τοῖς μαθηταῖς ἀκούειν αὐτοῦ πρὸς Σωκράτους συμμαθητάς. οἰκῶν τε ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν τὰς τετταράκοντα σταδίους ἀνιὼν, ἤκουε Σωκράτους.

Παρ' ὃν καὶ τὸ καρτερικὸν λαβὼν, καὶ τὸ ἀπαθὲς ζηλώσας, κατῆρξε πρῶτος τοῦ Κυνισμοῦ. καὶ ὅτι ὁ πόνος ἀγαθὸν, σωύεσησε διὰ τὸν μεγάλον Ἡρακλέους καὶ τοῦ Κύρου· τὸν μὲν ὑπὸ τῶν Ἑλλήνων, τὸν δὲ ὑπὸ τῶν βαρβάρων ἐλκύσας.

Πρῶτός τε ἐρώτησε λόγον, εἰπών, Λόγος ἔστιν ὁ τὸ τί ἦν, ἢ ὅστι, δηλῶν. ἔλεγέ τε συνεχὲς, Μανείην μᾶλλον ἢ ἡδείην. καὶ, Χρὴ τοιούτοις πλησιάζειν γυναιξὶν, οἷς χάριν εἰδέναι ἔσονται. πρός τε τὸν Ποντικὸν μειράκιον, μέλλον φοιτᾶν αὐτῷ καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, φησὶ, Βιβλιαρίου καὶ νεὸς, καὶ γραφείου καὶ νεὸς, καὶ πινακιδίου καὶ νεός· τὸν νεὸν παρεμφαίνων. πρὸς δὲ τὸν ἐρώμενον ποδαπὸν γήμῃ, ἔφη, Ἂν μὲν καλὸν, ἕξεις κοινόν· ἂν δὲ αἰσχρὸν, ἕξεις ποινόν. ἀκούσας ποτὲ ὅτι Πλάτων αὐτὸν κακῶς λέγει, Βασιλικὸν, ἔφη, καλῶς ποιοῦντα, κακῶς ἀκούειν. μυέμενός ποτε τὰ Ὀρφικὰ, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετέχουσι, Τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις; ὀνειδιζόμενός ποτε ὡς οὐκ εἶη ἐκ δύο ἐλευθέρων, Οὐδὲ γὰρ ἐκ δύο, ἔφη, παλαισικῶν, ἀλλὰ παλαισικός εἰμι. ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς; ἔφη, Ὅτι ἀργυρέᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ. ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ὀπιπλήττει; Καὶ οἱ ἰατροὶ, φησὶ, τοῖς κάμνουσιν. ἰδών ποτε μοιχὸν φεύγοντα, Ὦ δυσυχὴς, εἶπε, πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδιώκασο. κρεῖττον ἔλεγε, καθά φησιν Ἑκάτων ἐν ταῖς χρείαις, εἰς πόρπακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν

γὰρ

γὰρ νεκρὸς, οἱ δὲ ζῶντας ἐδίωκον. ἐρωτηθεὶς τί μᾶλλον ἐν ἀνθρώποις, ἔφη, Εὐτυχῆσαι ἀποθανεῖν· γνωρίμῳ ποτὲ πρὸς αὐτὸν ἀποδυρομένῳ, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, Ἔδει γάρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν ταῖς χάρταις γράφειν. ὥσπερ ὑπὸ τοῦ ἐξ τὸν σίδηρον, ἔπως ἔλεγε τὰς φθονερὰς ὑπὸ τοῦ ἰδίου ἤθους κατεδιέσθαι· τὰς βελομένας ἀθανάτους εἶναι, ἔφη δεῖν ζῆν δ' σεβῶς καὶ δικαίως. τότ' ἔφη τὰς πόλεις ἀπολλυσθαι, ὅταν μὴ δυνῶνται τὰς φαύλας ἀπὸ τῆς σπουδαίων ἐξαιρεῖν. ἐπαινέμενός ποτε ὑπό πονηρῶν, ἔφη, Ἀγωνιῶ μήτι κακὸν εἴργασμαι. ὁμονοούντων ἀδελφῶν συμβίωσιν πάσης ἔφη τείχους ἰσχυροτέραν εἶναι. τοιαῦτα δεῖν ἔφη ποιεῖσθαι ἐφόδια, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει· ὀνειδιζόμενός ποτε ὅτι τῶν πονηροῖς συγγίνεται, Καὶ οἱ ἰατροὶ, φησὶ, μῶν τῶν νοσούντων εἰσὶν; ἀλλ' ὑπερίστασιν· ἄτοπον ἔφη, τὸ μὲν σίτου αἵρας ἐκλέγειν, καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι· ἐρωτηθεὶς τί αὐτῷ προσγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν· εἰπόντος αὐτῷ τινος ὡς κακῶς πότον, ἆσον, Σύμοι, φησὶν, αὐλησον. Διογένει χιτῶνα αἰτοῦντι, πτύξαι προσέταξε θοιμάτιον· ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, Τὸ κακὰ ἀπομανθάνειν· παρεκελεύετό τε κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο· ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον· πομπῆς δὲ γινομένης ἵππον θεασάμενος φρυαττόμενον, φησὶ πρὸς τὸν Πλάτωνα· Ἔδοκεις μοι καὶ σὺ ἵππος οὐ εἶναι λαμπρυντής· τοῦτο δὲ, ἐπεὶ συνεχὲς ὁ Πλάτων ἵππον ἐπῄνει. καὶ ποτ' ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα, καὶ θεασάμενος λεκάνην, ἔνθα ὁ Πλάτων ἐμέμικει, Χολὴν μὲν, ἔφη, ὁρῶ ἐνταῦθα, τύφον δὲ οὐχ ὁρῶ. συνεβούλευεν Ἀθηναίοις,

τὰς

τὰς ὄνους ἵππους ψηφίσασθαι. ἄλογον δὲ ἡγεμόνων, Ἀλλὰ μὴν καὶ στρατηγοί, φησὶ, γίνονται παρ' ὑμῶν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες. πρὸς τὸν εἰπόντα; Πολλοί σε ἐπαινέσι, Τί γάρ, ἔφη, κακὸν πεποίηκα; στρέψαντος αὐτῷ τὸ διάρρημα τοῦ βίβλου εἰς τὸ προφανές, Σωκράτης ἰδὼν φησιν, Ὁρῶσι μὲν τοῦ βίβλου τὴν φιλοδοξίαν. ἐρωτηθεὶς ὑπό τινος (καθά φησι Φανίας ὁ τῶν περὶ τὸν Σωκρατικῶν) τί ποιῶν καλὸς καὶ ἀγαθὸς ἔσοιτο; ἔφη, Εἰ τὰ κακὰ ἃ ἔχεις, ὅτι φθονερά ὄζει μάθοις ἂν παρὰ τῶν εἰδότων. πρὸς τὸν ἐπαινέτην ξυφίου, Ἐχθρῶν παῖδες, ἔφη, ξυφίσειαν. πρὸς τὸ ἀδιαφθόρως μιμητίζον αὐτὸν τὸν πλάστην μειράκιον, Εἰπέ μοι, φησὶν, εἰ φωνὴν λάβοι ὁ χαλκὸς, ὅπι τίνι ἂν σεμνυνθείη; τὸ δ' εἰπόντος, Ἐπὶ κάλλει· Οὐκ αἰσχύνῃ ἔν, ἔφη, τὰ ὅμοια γεγηθὼς ἀψύχῳ; Ποντικὸν νεανίσκον πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τοῦ τείχους, λαβὼν αὐτὸν ὁ θύλακον κενὸν, πρὸς ἀλφιτοπώλην ἦκε, καὶ σαξάμενος ἀπῆει. τῆς δὲ αἰτήσης τὸ ἀφαίρουν, Ὁ νεανίσκος, ἔφη, δώσει ἐὰν τὸ πλοῖον αὐτοῦ τοῦ τείχους ἀφίκηται. αὐτὸς ὁ Ἄνυτος τῆς φυγῆς αἴτιος γενέσθαι δοκεῖ, ὁ Μελίτου τοῦ θανάτου. Ποντικοῖς γὰρ νεανίσκοις, κατὰ κλέος τοῦ Σωκράτους ἀφιγμένοις, συντυχὼν, ἀπήγαγε αὐτοὺς πρὸς τὸν Ἄνυτον, εἰπὼν ὡς ἦθει σοφώτερον εἶναι τὸν Σωκράτη· ἐφ' ᾧ ἐξαγανακτήσαντας τοὺς νεανίσκους ἐκδιδάξαι αὐτόν. εἰ δέ ποθι θεάσαιτο γυμνάσιον κεκοσμημένον, ἀπῆει ὅπι τινὸς οἰκίαν αὐτῆς, καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα· ὥστε εἰ μὴ ἔχοι ταῦτα, ἐᾶν ξυφᾶν· (ἀμύνεσθαι γὰρ πόνοις) εἰ δὲ μή, συλλαμβάνειν τὸν κόσμον.

Ἤρεσκον αὐτῷ καὶ πάδε. διδακτὸν ἀπεδείκνυε τὸν ἀρετὸν. καὶ τοὺς αὐτοὺς εὐγενεῖς τε καὶ ἐπαρέτους. αὐτάρκη γὰρ

γὰρ τὴν ἀρετὴν εἶναι πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην, ὅτι μὴ Σωκρατικῆς ἰσχύος. τήν τε ἀρετὴν τῷ ἔργων εἶναι, μήτε λόγων πλείστων δεομένην, μήτε μαθημάτων. αὐτάρκη τε εἶναι τὸν σοφόν. πάντα γὰρ αὐτῷ εἶναι τὰ τῶν ἄλλων. τήν τε εὐδοξίαν, ἀγαθὸν, καὶ ἴσον τῷ πόνῳ. καὶ τὸν σοφὸν ἐπὶ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. γαμήσειν τε τεκνοποιΐας χάριν, ταῖς εὐφυεστάταις συνιόντα γυναιξί. καὶ ἐρασθήσεσθαι δέ. μόνον γὰρ εἰδέναι τὸν σοφὸν, τίνων χρὴ ἐρᾶν. ἀναγράφει δ' αὐτῷ καὶ Διοκλῆς ταυτί. τῷ γὰρ σοφῷ ξυνὸν εἶδος, εὐδ' ἄπο. ἀξιέραστος ὁ ἀγαθός. οἱ αὐτοδαΐοι, φίλοι. συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους. ἀναφαίρετον ὅπλον, ἀρετή. κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι. προσέχειν δεῖν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. τὸν δίκαιον πλείονος ποιεῖσθαι τὴν συγγνώμης. ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. τἀγαθὰ, καλά· τὰ κακὰ, αἰσχρά· τὰ πονηρὰ πάντα, νόμιζε ξενικά. τεῖχος ἀσφαλέστατον, φρόνησιν· μήτε γὰρ καταρρεῖν, μήτε προδίδοσθαι. Τεῖχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς.

Διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἀπωθεν τῶν πυλῶν· ὅθεν τινὲς καὶ τοὺς Κυνικοὺς φασιν ἐντεῦθεν ὀνομασθῆναι. αὐτός τε ἐπεκαλεῖτο Ἀπλοκύων.

Καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, (καθάφησι Διοκλῆς) καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε ἀνέλαβε καὶ πήραν· πρῶτον δὲ καὶ Νεάνθης φησὶν διπλῶσαι θοιμάτιον· Σωσικράτης δ' ἐν τρίτῃ διαδοχῶν, Διόδωρον τὸν Ἀσπένδιον, καὶ πώγωνα καθεῖναι, καὶ βάκτρῳ καὶ πήρᾳ χρῆσθαι.

Τε-

Τοῦτον μόνον ἐκ πάντων Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ. καί φησι δεινόν τε εἶναι, καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι παν' ὁντινοῦν. δῆλον δ' ἐκ τῆς συγγραμμάτων, καὶ τοῦ Ξενοφῶντος συμποσίου. δοκεῖ δὲ καὶ τῆς ἀνδρωδεστάτης Στωϊκῆς κατάρξαι. ὅθεν καὶ Ἀθηναῖος ὁ ἐπιγραμματοποιός φησιν ἔπη περὶ αὐτῶν,

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ παράεισα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι,
Ταὶ ἀρεταὶ ψυχᾶς ἀγαθὸν μόνον. ἄδε γὰρ ἀνδρῶν
Μένα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
Ἡ' μία τοῦ Μνάμης ἄμυσε θυγατέρων.

ἔτος ἡγήσατο καὶ τῆς Διογένους ἀπαθείας, καὶ τῆς Κράτητος ἐγκρατείας, καὶ τῆς Ζηνώνος καρτερίας, αὐτὸς ὠνθεμίους τῇ πόλει τὰ θεμέλια. ὁ δὲ Ξενοφῶν ἥδιον μὲν εἶναι περὶ τὰς ὁμιλίας φησὶν αὐτὸν, ἐγκρατέστατον δὲ περὶ τἄλλα.

Φέρονται δ' αὐτοῦ συγγράμματα, τόμοι δέκα. πρῶτος, ἐν ᾧ Περὶ λέξεως, ἢ Περὶ χαρακτήρων. Αἴας, ἢ Αἴαντος λόγος. Ὀδυσεύς, ἢ Περὶ Ὀδυσέως. Ὀρέστε ἀπολογία, περὶ τοῦ δικογράφων. Γοργιὰ, ἢ Δεσίας ἢ Γοργίας, πρὸς τὸν Γοργίαν ἀμάρτυρον. τόμος δεύτερος, ἐν ᾧ Περὶ ζώων φύσεως, Περὶ παιδοποιΐας, ἢ Περὶ γάμου, ἐρωτικός. Περὶ τοῦ σοφιστῶν, φυσιογνωμονικός. Περὶ δικαιοσύνης καὶ ἀνδρείας, πρεσβευτικὸς, πρῶτος, δεύτερος, τρίτος. Περὶ Θεογνίδος, τέταρτος, πέμπτος. τόμος τρίτος, ἐν ᾧ Περὶ ἀγαθοῦ, Περὶ ἀνδρείας, Περὶ νόμου, ἢ Περὶ πολιτείας, Περὶ νόμου, ἢ περὶ καλοῦ καὶ δικαίου. Περὶ ἐλευθερίας καὶ δουλείας. Περὶ πίστεως. Περὶ ὄψεως, ἢ Περὶ τοῦ

πείθεσθαι. Περὶ νίκης, οἰκονομικός. τόμος δ', ἐν ᾧ Κῦρος, Ἡρακλῆς ὁ μείζων, ἢ Περὶ ἰσχύος. τόμος ε. ἐν ᾧ Κῦρος, ἢ Περὶ βασιλείας, Ἀσπασία. τόμος ς', ἐν ᾧ ἀλήθεια, Περὶ τοῦ διαλέγεσθαι, ἀντιλογικὸς, Σάθων, ᾧ περὶ τοῦ ἀντιλέγειν, α, β', γ'. Περὶ διαλέκτου. τόμος ζ', ἐν ᾧ Περὶ παιδείας ἢ ὀνομάτων, α, β, γ, δ', ε. Περὶ τοῦ ἀποθανεῖν. Περὶ ζωῆς καὶ θανάτου. Περὶ τοῦ ἐν ᾅδου. Περὶ ὀνομάτων χρήσεως, ἢ Ἐρετικός. Περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως. Περὶ δέξεως καὶ ὑπομνήμης, α, β, γ', δ'. Περὶ φύσεως, α, β. Ἐρώτημα περὶ φύσεως, β. Δόξαι, ἢ Ἐρετικός. Περὶ τοῦ μανθάνειν προβλήματα. τόμος ἑ, ἐν ᾧ Περὶ μουσικῆς. Περὶ ἐξηγητῶν. Περὶ Ὁμήρου. Περὶ ἀδικίας καὶ ἀσεβείας, Περὶ Κάλχαντος, Περὶ κατασκόπου. Περὶ ἡδονῆς. τόμος θ', ἐν ᾧ Περὶ Ὀδυσσείας. Περὶ τῆς ῥάβδου. Ἀθηνᾶ, ἢ Περὶ Τηλεμάχου, Περὶ Ἑλένης καὶ Πηνελόπης. Περὶ Πρωτέως. Κύκλωψ, ἢ Περὶ Ὀδυσσέως. Περὶ οἴνου χρήσεως, ἢ Περὶ μέθης, ἢ Περὶ τοῦ Κύκλωπος. Περὶ Κίρκης. Περὶ Ἀμφιαράου. Περὶ τοῦ Ὀδυσσέως καὶ Πηνελόπης, καὶ Περὶ τοῦ κυνός. τόμος ι, ἐν ᾧ Ἡρακλῆς ἢ Μίδας. Ἡρακλῆς, ἢ Περὶ φρονήσεως, ἢ ἰσχύος. Κύριος, ἢ ἐρώμενος. Κύριοι, ἢ κατάσκοποι, Μενέξενος, ἢ Περὶ τοῦ ἄρχειν, Ἀλκιβιάδης. Ἀρχέλαος, ἢ Περὶ βασιλείας. καὶ ταῦτα μὲν ὄγδοα συνέγραψεν. ὁ Τίμων δὲ διὰ τὸ πλῆθος ὀπτιμῶν αὐτῷ, παντοφυῆ φλέδονά φησιν αὐτόν.

Ἐτελεύτησε δὲ ἀῤῥωσίᾳ, ὅτε καὶ Διονυσίου εἰσιὼν πρὸς αὐτὸν, ἔφη, Μήτι χρεία φίλων; καί ποτε παρ' αὐτοῦ ξιφίδιον ἔχων εἰσῆλθε. τοῦ δ' εἰπόντος, Τίς σὲ ἀπολύσῃ με τῶν πόνων; δείξας τὸ ξιφίδιον ἔφη, Τοῦτο καὶ ὅς. Τῶν πόνων, εἶπον, ὑπὸ τοῦ ζῆν. ἐδόκει γάρ πως μα-

μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωΐας. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν ἔπος ἔχον,

Τὸν βίον ἤθα κύων Ἀντίσθενες, ὧδε πεφυκὼς
Ὥστε δακεῖν πραδίην ῥήμασιν ἐ σόμασιν.
Ἀλλ' ἔθανες φθισικός. τάχ' ἐρεῖ τις ἴσως, Τί δὲ τοῦτο;
Παύπως εἰς ᾅδην δεῖ τιν' ὁδηγὸν ἔχειν.

Γεγόνασι δὲ καὶ ἄλλοι Ἀντισθένεις, ξεῖς· Ἡρακλείτειος, εἷς· ἕτερος, Ἐφέσιος, καὶ Ῥόδιός τις ἰσοεικός.

Ἐπειδὴ δὲ τὰς ἀπ' Ἀρισίππου διεληλύθαμεν καὶ Φαίδωνος, νυνὶ ἐλκύσωμεν τὰς ἀπ' Ἀντισθένους Κωνικάς τε καὶ Σπωϊκάς. καὶ ἐχέτω ὧδε.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΔΙΟΓΕΝΗΣ.

Διοξύππος, Γνήσιος ξαπεζίτης, Σινωπεύς. φησὶ δὲ Διοκλῆς, δημοσίαν αὐτῷ τὴν ξάπεζαν ἔχοντος τοῦ παιδὸς, καὶ ψεύσαντος τὸ νόμισμα, φυγεῖν. Εὐβουλείδης δ' ἐν τῷ περὶ Διοξύππου, αὐτὸν Διογένη φησὶ τοῦτο πράξαι, καὶ συναλᾶσθαι τῷ παιδί. ὁ μὲν ἀλλὰ καὶ αὐτὸς περὶ αὐτοῦ φησιν ἐν τῷ Ποδάλῳ, ὡς ψεύσαιτο τὸ νόμισμα. ἔνιοι δ' ὑπομελητὴν γενόμενον ἀναπεισθῆναι ὑπὸ τῶν τεχνιτῶν, καὶ ἐλθόντα εἰς Δελφοὺς, ἢ εἰς τὸ Δήλιον, ἐν τῇ παιδὶ Ἀπόλλωνος πυθέσθαι, εἰ ταῦτα πράξει ἅπερ ἀναπείθεται. τὸ δὲ

συγχωρήσαντος, τὸ πολιτικὸν νόμισμα, ὑ σωνεὶς τὸ κέρμα, κιβδηλεύσας καὶ φωραθεὶς, ὡς μὲν τινες, ἐφυγαδεύθη· ὡς δέ τινες, ἑκὼν ὑπεξῆλθε, φοβηθείς. οἵτινες δέ φασι φωδεῖ τὸ παρὸς αὐτὸν λαβόντα τὸ νόμισμα, ἀφθεῖραι· καὶ τὸν μὲν, δεθέντα ἀποθανεῖν· τὸν δὲ, φυγεῖν, ἐλθεῖντε εἰς Δελφοὺς· καὶ πωθανόμενον ἐκ εἰ φθαραξαι, ἀλλά τι ποιήσας ἐνδοξότατος ἔσαι, ὅπω λαβεῖν τὸν χρησμὸν ὧν τον.

Γενόμενος δὲ, Ἀθήνησιν Ἀντισθένει παρέβαλε. τῶ δὲ διωθεμένῳ, διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προσεδρείᾳ. καί ποτε τὴν βακτηρίαν ἐπαπατεναμένῳ, αὐτῷ τὴν κεφαλὴν ἀποχῶν, Παῖε, εἶπεν, ἐ γὰρ ἐρήσεις ὅπω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις, ἕως ἂν τι φαίνῃ λέγων. τὐτεῦθεν δὴ ἤκουσεν αὐτῶ, καὶ, ἅτε φυγὰς ὢν, ὥρμησεν ἐπὶ τὸν ἀτελῆ βίον.

Μετὰ Θεασάμβρος διαλέγοντα (καθάφησι Θεόφραστος ἐν τῷ Μεγαρικῷ) καὶ μήτε κοίτην ἐπιζητοῦντα, μήτε σκόπος ἀλαβάμβων, ἢ ποθοῦντά τι τῶν δοκούντων ἀπολαυστῶν, πόρον ἐξεῦρε τῆς ἀθεσίας· βίβωνα διπλώσας πρῶτος, καταπίνας, διὰ τὸ ἀσάγκλιτον ἔχειν, καὶ ἐνδιδεῖν αὐτῷ. πάντε ἐνομίσατο, ἔνθα αὐτῷ τὰ σιτία ἦ. καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀριστῶν τε καὶ καθεύδων, καὶ διαλεγόμενος, ὅτε καὶ τὰς Ἀθηναίας ἔφασκε (δεικνὺς τὴν τῶ Διὸς στοὰν) καὶ πομπεῖον αὐτῷ κατασκευάσαι ἐνδιαιτᾶσθαι. βακτηρίᾳ δὲ ἐπιρείσαντο ἀθενήσας· ἔπειτα μή τι καὶ διὰπαντὸς ἐφόρει, ἢ μὴ ἐν ἄσει, ἀλλὰ κατ' ὁδὸν αὐτῆτε καὶ τῇ πήρᾳ, καθάφησιν Ὀλυμπιόδωρος ὁ Ἀθηναίων προστάτης, καὶ Πολύδικος ὁ ῥήτωρ, καὶ Λυσανίας ὁ Αἰχνεώτης. ἔπεισέ τις οἰκίδιον αὐτῷ κατασκευάσασθαι, καὶ βραδύνοντος, τὸν ἐν τῷ μητρῴῳ πίθον ἔχειν οἰκίαν, ὡς καὶ αὐτὸς

τὸς ἐν ταῖς ὑποσολαῖς ἀγωνιῶντας. καὶ ἄλλοτε μὲν ὑπὸ ψάμμε ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δὲ αὐδριάντας κεχιονισμένους περιελάμβανε, παντοχόθεν ἑαυτὸν συμπυκνῶν.

Δεινός τε ἦν καταφρονεῖσθαι τῶν ἄλλων. καὶ τὸν μὲν Εὐκλείδε χολὸν, ἔλεγε χολόν· τὸν δὲ Πλάτωνος ἀγαθυμίαν, καταθυμίαν· τὰς δὲ Διονυσιακὰς ἀγῶνας, μεγάλα θαύματα μωροῖς ἔλεγε· καὶ τὰς δημαγωγὰς, ὄχλε ἀγαθούς. ἔλεγε δὲ καὶ ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ, καὶ ἰατρὸς, καὶ φιλόσοφος, συνετώτατον τῶν ζώων εἶναι τὸν ἄνθρωπον. ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τὰς περιέχοντας τούτοις, ἢ τὰς ὑπὸ δόξης καὶ πλούτου πεφυσημένους, ἄδην ματαιότερον νομίζειν ἄνθρωπε. συνεχέστερον νομίζειν ἔλεγεν, εἰς τὸν βίον παρασκευάζεσθαι δεῖν λόγον ἢ βρόχον. καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἀφάμενον, Τί, φησὶν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν ξυπεζῶν τούτων χάριν, νῦν παρεικμένων ἐκ Λιπολαύεις; καὶ ὅς, Ἀλλὰ μὴ τὰς θεὰς, φησὶ, Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγχωμίαν. ὁ δὲ, Τί ἂν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ ἐκ ἔφερεν ἐλάας; Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν τοῦτο. καὶ ἄλλοτε ἰχάδας ἐσθίων ἀπλήστετο αὐτῷ, φησί τε, Ἔξεσί σοι μετασχεῖν· τὸν δὲ λαβόντος καὶ φαγόντος, ἔφη, Μετασχεῖν εἶπον, ἀ καταφαγεῖν. παῖδά ποτε ἐρώμενα κεκληκότος φίλης παρὰ Διονυσίῳ, ἔφη, Παιδὸς τοῦ Πλάτωνος κνησασθίαν. πρὸς ὃν ὁ Πλάτων, Ὅσον ὦ Διόγενες τὸ τύφος ἀφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. οἱ δὲ, φασὶ τὸν Διογένην εἰπεῖν, Παιδὸς τὸν Πλάτωνος τύφον· τὸν δὲ φάναι, Ἑτέρῳ γε τύφῳ, Διόγενες. Σωτίων δ' ἐν τῷ τετάρτῳ

φησὶ, τοῦτο πρὸς αὐτὸν εἰπεῖν τὸν Πλάτωνα τὸν κυνά. Διογένης οἶνον ποτὲ ᾔτησεν αὐτὸν, τότε δὲ κὴ ἰχάδας· ὁ δὲ, κεράμιον ὅλον ἔπεμψεν αὐτῷ· κὴ ὃς, Σὺ, φησὶν, εἰ ἐρωτηθῆς δύο κὴ δύο πόσα ἐστὶν, εἴκοσι ἀποκρινῇ; ἆπως ἂν πρὸς τὰ αἰτήματα δίδως, ἂν πρὸς τὰ ἐρωτήματα ἀποκρίνῃ. ἔσκωψε δὴ ὡς ἀπεραντολόγον. ἐρωτηθεὶς πᾶ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας; Ἄνδρας μὲν, εἶπεν, ἐδαμᾶ, παῖδας δὲ ἐν Λακεδαίμονι. ἀπεδαιολογημένῳ ποτὲ ὡς ἐδεὶς προσῄει, ἐπέβαλε περιτίζειν. ἀθροισθέντων δὲ, ὠνείδισεν, ὡς ὅτι μὲν τὰς φλυαφίας ἀφιεμένων ἀπεδαίως, ὅτι δὲ τὰ ἀπεδαῖα βραδυνόντων ὀλιγώρως. ἔλεγέ τε δεῖ μὲν τὰ παρορύττειν κὴ λακτίζειν, ἀγωνίζεσθαι τοὺς ἀνθρώπους, δεῖ δὲ καλοκἀγαθίας, ἐδενός. τοὺς τε γραμματικοὺς ἐθαύμαζε, τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας. κὴ μὴν κὴ τοὺς μουσικοὺς τοὺς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη. τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον κὴ τὸν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν. τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ ἐδαμῶς. ἀλλὰ μὴν κὴ τοὺς φιλαργύρους φέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. κατεγίνωσκε δὲ κὴ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπαίοντες εἰσὶν, ζηλούντων δὲ τοὺς πολυχρημάτους. ἐκίνει δ' αὐτὸν κὴ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κὴ τῆς ὑγιείας δειπνεῖν. ἄγαθαι δὲ κὴ τοὺς ἁλόντας, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐθιομένων. ἐκίνει τοὺς μέλλοντας γαμεῖν, κὴ μὴ γαμεῖν. κὴ τοὺς μέλλοντας καταπλεῖν, κὴ μὴ καταπλεῖν· κὴ τοὺς μέλλοντας πολιτεύεσθαι, κὴ μὴ πολιτεύεσθαι· κὴ τοὺς παιδοτροφεῖν, κὴ μὴ παιδοτροφεῖν·

κὴ

καὶ τὰς φιλοσκωπτομένους συμβιῶναι τοῖς δικάσαις, καὶ μὴ προσιόντας. ἔλεγε δὲ καὶ δεῖν τὰς χεῖρας ὅπως τοὺς φίλους ἐκτείνειν μὴ συγκεκαμμένους τοῖς δακτύλοις. φησὶ δὲ Μοίριππος ἐν τῇ Διογένους πράσει, ὡς ἄλλος καὶ πολέμιος ἠρωτήθη τί οἶδε ποιεῖν; ἀπεκρίνατο, Ἀνδρῶν ἄρχειν. καὶ πρὸς τὸν κήρυκα, Κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι. κωλυθεὶς καθίζεσθαι, Οὐδέν, ἔφη, διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι. θαυμάζειν τε ἔφη εἰ χύτραι μὲν καὶ λοπάδια ὠνέμενοι σκοπεῖμεν· ἀνθρώπου δὲ, μόνῃ τῇ ὄψει ἀρκεῖσθαι. ἔλεγε τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη. καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πειθοῦσθαι δεῖν αὐτῷ.

Εὔβουλος δέ φησιν ἐν τῷ ὑπογραφομένῳ Διογένους πράσει, ὅπως ἄγειν τοὺς παῖδας τῇ Ξενιάδῃ, μὴ τὰ λοιπὰ μαθήματα, ὥσε ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτὸς ἐρυθήματος χάριν καὶ ὀρέξεως. κατεῖχον δὲ οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων, καὶ τῶν αὐτῆς Διογένους. πᾶσάν τε ἔφοδον σωφρονικὴν, πρὸς τὸ ὑπομένειν τὸν, ἐπήσκει. ἐν οἴκῳ τε ἐδίδασκε δύνασθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας. ἐν χρῷ καθαρότητά τε καὶ ἀκαλλωπίστως εἰργάζετο, καὶ ἀχίτωνας, καὶ ἀυπόδητους, καὶ σιωπηλοὺς, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. ἔξηγε δ' αὐτοὺς καὶ ὅπως κοσμίως. οἱ δὲ, καὶ αὐτῆς Διογένους ὑπομένειν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον.

Οὗτος δ' αὐτὸς φησι τῷ Ξενιάδῃ καὶ γηράσαι αὐτὸν, καὶ θανόντα ταφῆναι πρὸς τῇ ὑῶν αὐτῆς. εἶθα καὶ πυνθανομένῳ τῷ Ξενιάδῃ πῶς αὐτὸν θάψειεν, ἔφη, Ἐπὶ πρόσωπον. τοῦ δὲ ἐρομένου, Διὰ τί; Ὅτι μετ'

ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι. τοῦτο δὲ ἀεὶ τὸ ὑπερατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. οἱ δὲ τοῦτο Ἀριστίππου φασί. φωνήσας ποτὲ, Ἰὼ ἄνθρωποι, συνελθόντων, καθήκατο τὴν βακτηρίαν, εἰπὼν, Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα, ὥς φησιν Ἑκάτων ἐν τῷ πρώτῳ τῶν χρειῶν. φασὶ δὲ καὶ Ἀλέξανδρον εἰπεῖν, ὡς εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι. ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ τοὺς μὴ ἔχοντας πόρον. εἰσελθών ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον (καθά φησι Μιξοκλῆς ἐν ταῖς χρείαις) πληγὰς ἔλαβε. μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν πληξάντων, ἐξῆλθεν ἐξημμένος· ὥστε αὐτὸς ὕβρει ἐξέθηκε, καταγνωσκομένους καὶ ὑπολιτομένους. ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινεμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι διὰ τὴν θήραν. πρὸς τὸν εἰπόντα, Πύθια νικῶ ἄνδρας, Ἐγὼ μὲν ἓν, εἶπεν, ἄνδρας, σὺ δὲ ἀνδράποδα. πρὸς τοὺς εἰπόντας, Γέρων εἶ, καὶ λοιπὸν ἄνες. Τί δὲ, ἔφη, εἰ δολιχὸν ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ὑπτεῖναι; κληθεὶς ὑπὸ δεῖπνον, οὐκ ἔφη παρέσεσθαι· μηδὲ γὰρ πρώην αὐτῷ χάριν ἐγνωκέναι. γυμνοῖς ποσὶ χιόνα ἐπάτει, καὶ τἆλλα ὅσα αὖ προείρηται. καὶ ὠμὰ δὲ κρέα ἐπεχείρησε φαγεῖν, ἀλλ' οὐ διώκησε. κατελάβετό ποτε Δημοσθένους τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα. τῷ δ' ὑποχωρήσαντος, Τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ. ξενών δέ ποτε θεάσασθαι θελόντων Δημοσθένους, τὸν μέσον δάκτυλον ἐκτείνας, Οὗτος ὑμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων

ναίων δημαγωγός. ἐκβαλόντος δὲ ἄρτον τινὸς καὶ αἰσχυνομένου ἀναλέσθαι, βαλόμενος αὐτὸν ἀπεθέσατο, κεράμου ξάχηλον δήσας, ἔσυρε διὰ τῆς Κεραμεικῆς. μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους. καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἀναδιδόναι, ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου. τοὺς πλείους ἔλεγε φιλοδάκτυλον μαίνεσθαι. ἐὰν ἔν τις τὸν μέσον προτείνας πορεύηται, δόξει μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανόν, οὐκέτι. τὰ πολλὰ ἄξια τοῦ μηδενὸς ἔλεγε πιπράσκεσθαι, καὶ ἔμπαλιν. ἀνδριάντα γοῦν τριχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων, δύο χαλκῶν. τῷ περιαμένῳ αὐτὸν Ξενιάδῃ φησί, Ἄγε ὅπως τὸ προσαττόμενον ποιήσῃς· τοῦ δ' εἰπόντος,

Ἄνω ποταμῶν χωροῦσι παγαί.

Εἰ δὲ ἰατρὸν, ἔφη, ἐπείρω τοσῶν, οὐκ ἂν αὐτῷ ἐπείθου; ἀλλ' εἶπες ἄν, ὡς ἄνω ποταμῶν χωροῦσι παγαί; ἤθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν. ὁ δὲ οἱ σαπέρδιον δὸς φέρειν, ἐποίησεν ἀπολεθεῖν· ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μὴ χρόιον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει, Τιὼ σιὼ καὶ ἐμιὼ φιλίαν σαπέρδης διέλυσε. Διοκλῆς δ' ὅπως ἀναγράφει. εἰπόντος τινὸς αὐτῷ, Ἐπίπαττε ἡμῖν Διόφρυες, ἀπαγαγὼν αὐτὸν ἡμιωβολίου τυρὸν ἐδίδου φέρειν. ἀρνησαμένου δὲ, Τιὼ σιὼ, ἔφη, καὶ ἐμιὼ φιλίαν ἡμιωβολίου τυρίου διαλέλυκε. θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πίνον, ἐξερρίφη τῆς πήρας τὸν κοτύλιον, εἰπών, Παιδίον με νενίκηκεν ἀτέλεια. ἐξέβαλε δὲ καὶ τὸ βυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ ἄρτῳ τὸ γομίον τιλιὼ φακιὼ ὑποδεχόμενον. συνελογίζετο δὲ καὶ ὅπως; Τῶν θεῶν ἔξι πάντα· φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν.

Θεα-

θεασάμβρός ποτε γυναῖκα ἀχημονέστερον τοῖς θεοῖς προσπίπτουσαν, βελόμβρος αὐτὴς φθονεῖν τῷ δεισιδαιμονίαν, καθά φησι Ζωίλος ὁ Περγαῖος) προσελθὼν εἶπεν, Οὐκ αἰσχύνῃ ὦ γύναι, μή ποτε θεῶ ὄπισθεν ἑστῶτος (πάντα γὰρ ὁρᾷ αὐτὸ πλήρη) ἀχημονήσης; τῷ Ἀσκληπιῷ ἀνέθηκε πλήκτιον, ὃς τὸν ὑπὸ νόμα πίπτοντας ὑπεδέχων συνέτειβεν. εἰώθει δὲ λέγειν τὰς ἑταιρικὰς ἀρὰς αὐτῷ συμβεβηκέναι. εἶναι γὰρ ἄπολις, ἄοικος, πατρίδος ἐστερημβρος, πτωχὸς, πλανήτης, βίον ἔχων τὴν ἡμέραν. ἔφασκε δὲ αὐτὸ τιθέναι τύχη μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον. ἐν τῷ Κρανείῳ ἡλιαμένῳ αὐτῷ Ἀλέξανδρος ὑπισάς φησιν, Αἴτησόν με ὃ θέλεις· ἐγὼ ὃς, Ἀποσκότησόν μοι, φησί. μακρά τινος ἀναγινώσκοντος, ἐγὼ πρὸς τῷ τέλει τὴν βιβλίον ἅρραφον ἐκδεξάμενος, Θαρρεῖτε, ἔφη, ἄνδρες· γλῶ ὁρῶ. πρὸς τὸν συλλογισάμβρον ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, Ἐγὼ μὲν, ἔφη, οὐχ ὁρῶ. ὁμοίως ἐγὼ πρὸς τὸν εἰπόντα, ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς ἐβάδιζε. πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, Ποσειδῶνος, ἔφη, πάρεστι ὑπὸ τοῦ ὑράνου; εὐνέχρι μοχθηροῦ ὑπογράψαντος ὑπὲρ τῆς οἰκίας, Μηδὲν εἰσίτω κακόν· Οὐκοῦν κύριος, ἔφη, τῆς οἰκίας πᾶς εἰσελθοι; τῷ μύρῳ τοὺς πόδας ἀλειφάμβρος ἔφη, ὑπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ὑπὸ δὲ τῶν ποδῶν, εἰς τὴν ὀσφρησιν. ἀξιούντων Ἀθηναίων μυηθῆναι αὐτὸν, ἐγὼ λεγόντων, ὡς ἐν ᾅδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι, Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν ἐγὼ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ κάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται. πρὸς τοὺς ἐρπίσαντας ὑπὸ τὴν τράπεζαν μῦς, Ἴδε, φησὶ, ἐγὼ Διογένης Σινωπεὺς τρέφει. Πλάτωνος εἰπόντος αὐτὸν κύνα,

Ναὶ,

Ναὶ, ἔφη, ἐγὼ γὰρ ἐπανῆλθον ὅτι τὰς πεφακότας. ἐκ τῶ βαλανείω ἐξιὼν, τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ὑρνήσατο· τῷ δ', εἰ πολὺς ὄχλος, ὡμολόγησε. Πλάτωνος ὁρισαμένε, Ἄνθρωπός ἐστι ζῶον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν εἰς τὴν σχολὴν αὐτῶ, καί φησιν, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. ὅθεν τῷ ὅρῳ προσετέθη Τὸ πλατυώνυχον. πρὸς τὸν πυθόμενον ποία ὥρα δεῖ ἀριστᾶν; Εἰ μὲν πλήσιος, ἔφη, ὅταν θέλῃ· εἰ δὲ πόνης, ὅταν ἔχῃ. ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τὰς δὲ παῖδας αὐτῶν γυμνὰς, ἔφη, Λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν. πρὸς τὸν ἐντινάξαντα αὐτῷ τὴν δοκὸν, εἶτα εἰπόντα, Φύλαξαι. Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις; ἔλεγε τὰς μὲν δημαγωγὰς, ὄχλε ἀγκῶνας· τὰς δὲ σεφάνας, δόξης ἐξανθήματα. λύχνον μεθ' ἡμέραν ἅψας, Ἄνθρωπον, φησὶ, ζητῶ. εἰσήκει ποτὲ κατακρινιζόμενος· τῶν δὲ θεσεσίων ἐλεόντων, παρὼν Πλάτων ἔφη, Εἰ βέλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε· συνδεικνύμενος φιλοδοξίαν αὐτῶ. συντρίψαντος αὐτῷ κόνδυλόν τινος, Ἡράκλεις, ἔφη, οἷόν με χρῆμα ἐλάνθανε, τὸ μὴ θεκεφαλαίας θεπατεῖν. ἀλλὰ καὶ Μειδίᾳ κονδυλίσαντος αὐτὸν, καὶ εἰπόντος, Τετρακισχίλιαί σοι κεῖνται ὅτι τῇ τραπέζῃ, τῇ ἐξῆς πυκτικὰς λαβὼν ἱμάντας, καὶ καταλούσας αὐτὸν, ἔφη, Τετρακισχίλιαί σοι κεῖνται ὅτι τῇ τραπέζῃ. Λυσίᾳ τῶ φαρμακοπώλῃ πυθομένῳ εἰ θεοὺς νομίζει; Πῶς δὲ, εἶπεν, ἂ νομίζω, ὅπως καί σε θεοῖς ἐχθρὸν ὑπολαμβάνω; οἱ δὲ, Θεόδωρον εἰπεῖν τοῦτο. ἰδών τινα θεῤῥαινόμενον, ἐπεῖπεν, Ὦ κακόδαιμον, καὶ ὅπως ἔσαι ὅτι ὥσπερ τῷ ἐν γραμματικῇ ἁμαρτημάτων θεῤῥαινόμενος καὶ ἂν ἀπαλλαγείης, οὕτως οὐδὲ τῶν ἐν τῷ βίῳ; ἐνεκάλει

τοῖς

πῖς ἀνθρώποις περὶ τῆς τύχης, αἰτεῖσθαι λέγων αὐτὰς ἀγαθὰ τὰ αὐτῖς δοκοῦντα, καὶ ὰ τὰ καὶ ἀληθειαν· πρὸς δὲ τὰς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγε, ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, ἐκ τούτων τρέφονται· ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν. Ὀλυμπιάσι τὸ κήρυκος ἀνειποντος, Νικᾷ Διώξιππος Ἄνδρας· Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας δὲ ἐγώ· ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων. μειρακίῳ γοῦν τὸν πίθον αὐτοῦ σωτεύσαντος, τῷ μὲν πληγὰς ἔδωσαν, ἐκείνῳ δὲ ἄλλον παρέσχον. φησὶ δὲ Διονύσιος ὁ Στωϊκὸς, ὡς μὴ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον. καὶ ἐρωτηθεὶς τίς εἴη, Κατάσκοπος, ἔφη, τῆς σῆς ἀπληςίας· ὅθεν θαυμασθεὶς ἀφείθη. Ἀλεξάνδρῳ ποτὲ πέμψαντος ὄψον πολυτελὲς πρὸς Ἀντίπατρον εἰς Ἀθήνας ἄκριτος Ἀθλία, παρὼν ἔφη, Ἀθλίας παρ' Ἀθλίου δι' Ἀθλίου πρὸς Ἄθλιον. Περδίκκα ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτὸν, κτανεῖν, ἔφη, Οὐδὲν μέγα· καὶ γὰρ καθαρος καὶ φαλάγγιον τοῦτ' ἂν πράξειεν· ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἐχρῆν, ὡς εἰ μὴ χαρίεις ἐμὲ ζῆσαι, δύσδαιμόνως ζήσοιτο. ἐβόα πολλάκις λέγων, τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτὸν ζητοῦντων μελίττης, καὶ μύρα, καὶ τὰ ἀδαπλήσια. ὅθεν πρὸς τὸν ὑπὸ τῶν οἰκείων ὑποδεμένον, Οὕτω, εἶπε, μακάριος εἶ, ἂν μή σε καὶ ἀποκύψῃ. τοῦτο δὲ ἔφασαν πηρωθέντι σοι τὰς χεῖρας. Θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν παιδίων τινὰ φιάλῃ ὑφηρημένον ἄγοντας, ἔφη, Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι. θεασάμενός ποτε μειράκιον λίθῳ βάλλον ἐπὶ σαυρὸν, Εὖγε, εἶπε· τεύξῃ γὰρ τοῦ σκοποῦ. πρὸς τὰ θρυλλούμενα μειράκια, καὶ εἰπόντα, Βλέπομέν μὴ δάκνῃς ἡμᾶς, Θαρρεῖτε, ἔφη, παιδία· νέων τοιαῦτα οὐκ ἐθίει.

πρὸς

πρὸς τὸν ὅτι τῇ λεοντῇ θρυπτόμενον, Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς γράμματα καταισχύνων. πρὸς τὸν μακαριζόμενον Καλλισθένη, καὶ λέγοντα, ὡς πολυτελῶν ἐδεῖτο Ἀλεξάνδρῳ μετέχει· Κακοδαίμων μὲν ἔν ὄχλῳ, εἶπεν, ὃς καὶ ἀεισᾷ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δόξῃ. χημάτων δεόμενος, ἀπαιτεῖν ἔλεγε τὰς φίλας, καὶ αἰτεῖν. ἐπ' ἀγορᾶς ποτε χειρεργῶν, Εἴθε, ἔφη, καὶ τὴν κοιλίαν ἐμοὶ παρεξέφυκε μὴ πεινῆν. μειράκιον θεασάμενος μὴ σαφρονῶν ὅπη δεῖπνον ἀπιόν, ἀποπασάσας ἀπήγαγε πρὸς τὰς οἰκείας, καὶ ἐκέλευε πρεῖν. πρὸς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι, ἔφη, ἃ πρότερον λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενος δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. πρὸς τὸ κοπταβίζον ἐν τῷ βαλανείῳ μειράκιον φησίν, Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον. ἐν δείπνῳ προσερρίπτων αὐτῷ τινὲς ὀστάρια ὡς κυνί· καὶ ὃς ἀπαλλαττόμενος προσύρησεν αὐτοῖς ὡς κύων. τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας, ἰσανθρώπας ἀπεκάλει, ἀντὶ τοῦ ἰσαθλίους. τὸν πλούσιον ἀμαθῆ, πρόβατον εἶπε χρυσόμαλλον. θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ὑπογεγραμμένον, Πράσιμος, Ἤδειν, εἶπεν, ὅτι ὕπνῳ κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὸν κεκτημένον. πρὸς τὸ καταστιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, Παῦσαι γάρ, ἔφη, καὶ σὺ τὰ δείγματα τοῦ παχυτέρου φέρων. πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, Οἱ ἐνθάδε, ἔφη, λουόμενοι, ποῦ λούονται; παχέος κισθαρῳδοῦ πρὸς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει. ἐρωτηθεὶς δέ τι; ἔφη, Ὅτι πλεῖστος ὢν κισθαρῳδεῖ, καὶ ἀκροᾶται. τὸν κισθαρῳδὸν ἀεὶ καταλειπόμενον τοῦ τῆς ἀκροατῶν πασάσατο, Χαῖρε ἀλέκτωρ. τοῦ δὲ εἰπόντος, Διά τί; Ὅτι, ἔφη, ᾄδων πάντας ἐγείρεις. μειράκιον ὑποδεικνυμένου πλησιάσας τὸ προκόλπιον θέρμων αὐτικρὺς ἐκάμπτε. τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορῶν-

ρῶντος, θαυμάζειν ἔφη, πῶς ἐκεῖνον ἀφέντες αὐτὸν ὁρῶσι. λέγοντος δὲ αὐτῷ τινος ἰχυρῶς δεισιδαίμονος, μιᾷ πληγῇ τὴν κεφαλὴν σε διαρρήξω, Ἐγὼ δέ γε, εἶπε, παρὼν ἐξ ἀριστερᾶς τρέμειν σε ποιήσω. Ἡγησίᾳ τῷ καλλύντῃ χρῆσάί τι αὐτῷ τῶν συγγραμμάτων, Μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν δὲ παιδῶν τὴν ἀληθινὴν, ὅτι τὴν γεγραμμένην ὁρμᾷς. πρός τε τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγὴν, Ἀλλὰ τέτυγε σύνεσκον, εἶπεν, ὦ κακόδαιμον, ἐφιλοσόφησα. καὶ πάλιν, εἰπόντος τινὸς, Σινωπεῖς σε φυγὴν κατέγνωσαν, Ἐγὼ δέ γε, εἶπεν, ἐκείνων μονήν. ἰδών ποτε Ὀλυμπιονίκην προβαίνοντα γέροντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα. ἐρωτηθεὶς διά τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν; ἔφη, Ὅτι πρέασιν ὑείοις καὶ βοείοις ἀνωκοδόμηνται. γήτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διά τί τοῦτο ποιεῖ; Μελετῶ, εἶπεν, ἀποτυγχάνειν. αἰτῶντινα (καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν) ἔφη, Εἰ μὴ κἄλλῳ δέδωκας, δός καμοί. εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι. ἐρωτηθείς ποτε ὑπὸ τοῦ τυράννου, ποῖος ἂν εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα; ἔφη, Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκοβάθησαν. ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις; ἔφη, Ὡς θυλάκοις· τοὺς μὲν πλήρεις κριμνῶν, τοὺς δὲ κενοὺς ῥίπτων. νεογάμου ἐπιγράψαντος ἐπὶ τῇ οἰκίᾳ, Ὃς τοῦ Διὸς παῖς Ἡρακλῆς Καλλίνικος ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακόν· ἐπέγραψε, Μετὰ τὸν πόλεμον ἡ συμμαχία. τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν. ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη, Εἰ ὤπως ἠείρας, οὐκ ἂν ὤπως ἐδείπνεις. τοὺς ἀγαθοὺς ἄνδρας θεῶν ἔλεγε εἰκόνας εἶναι. τὸν ἔρωτα,

χο-

χολαζόντων ἀχολίαν. ἐρωτηθεὶς, τί ἄθλιον ἐν βίῳ; ἔφη, Γέρων ἄπορος. ἐρωτηθεὶς, τί τῷ θηρίων κάκιστα δάκνει; ἔφη, Τῶν μὲν ἀγρίων, συκοφάντης· τῷ δὲ ἡμέρων, κόλαξ. ἰδών ποτε δύο κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη, Πότερος τῶν χείρων ὄζει; τὸν πρὸς χάριν λόγον, ἔφη μελιτίνιον ἀγχόνιόν εἶναι. τὸν γαστέρα, χάρυβδιν ἔλεγε τὸ βίον. ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ μοιχὸς συνελήφθη, Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι. ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν; ἔφη, Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας. ἰδών γυναῖκα ἐν φορείῳ, Οὐ κῦμα τὸ θηρίον, ἔφη, ἡ γαλεάγρα. ἰδών δραπέτην ἐπὶ φρέατι καθήμενον, ἔφη, Μειράκιον, βλέπε μὴ ἐμπέσῃς. ἰδών μειρακύλλιον ἱματιοκλέπτην ἐν τῷ βαλανείῳ, ἔφη, Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ἄλλο ἱμάτιον; ἰδών ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, Εἴθε γῦν, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἐφέρετο. ἰδών λωποδύτην, ἔφη,

- - - τίπτε σὺ ὧδε, φέριστε,
Ἦ τίνα συλήσων νεκύων κατατεθνηώτων;

ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι; ἔφη, Οὐ. τῷ δὲ εἰπόντος, Ἐὰν ἔν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη, Ὁ κήδων τῆς οἰκίας. μειράκιον εὔμορφον ἀφυλάκτως ἰδών κοιμώμενον, νύξας, Ἔπεγειραι, ἔφη,

Μή τις σοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.

πρὸς τὸν πολυτελῶς ὀφωνοῦντα,

Ὠκύμορος δή μοι τέκος ἔσεαι, οἷ' ἀγοράζεις.

Πλάτωνος τοῦ ἰδεῶν λαλοῦντος, καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, Ἐγώ, εἶπεν, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα δὲ καὶ κυαθό-

θότητα, ἐδαμῶς. καὶ ὃς, Κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμὸς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νῦν οὐκ ἔχεις. ἐρωτηθεὶς ὑπό τινος, Ποίός τις σοι, Διόφυες, δοκεῖ Σωκράτης; εἶπε, Μαινόμενος. ἐρωτηθεὶς ποίῳ καιρῷ δεῖ γαμεῖν; ἔφη, Τὰς μὲν νέας μηδέποτε, τὰς δὲ πρεσβυτέρας μηδὲ πώποτε. ἐρωτηθεὶς τί θέλοι κονδύλου λαβεῖν; Περικεφαλαίαν, ἔφη. μειράκιον ἰδὼν καλλωπιζόμενον, ἔφη, Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἰδών ποτε μειράκιον ἐρυθριῶν, Θάρρει, ἔφη, τοιοῦτον ὄζει τῆς ἀρετῆς τὸ χρῶμα. δυοῖν ποτε νομικοῖν ἀκούσας, τὼ δύο κατέκρινεν εἰπών, τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλεκέναι. ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει; ἔφη, Τὸν ἀλλότριον. πρὸς τὸν εἰπόντα, Πολλοί σε καταγελῶσιν, Ἀλλ' ἐγώ, ἔφη, οὐ καταγελῶμαι. πρὸς τὸν εἰπόντα, κακὸν εἶναι τὸ ζῆν, Οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. πρὸς τὰς συμβουλεύοντας τὸν ἀποδράντα αὐτῷ δοῦλον ζητεῖν, Γελοῖον, ἔφη, εἰ Μαίης μὲν χωρὶς Διοφύες ζῇ, Διοφύης δὲ χωρὶς Μαίης οὐ δύναται. ἀρισῶν ἐλαίας, πλακοῦντος εἰσενεχθέντος, ῥίψας, φησὶν,

Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίσασο.

καὶ ἄλλοτε,

Μάσιξον δ' ἐλαίαν.

ἐρωτηθεὶς ποταπὸς εἴη κύων; ἔφη, Πεινῶν, Μελιταῖος· χορταδεὶς δὲ, Μολυττικός. τῶν, ὃς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι δι' τὸν πόνον συμπεῖσαι αὐτοῖς ὅπη τιθῦ θήραν· ὅπως δὲ ἐμοὶ δύνασθε συμβιοῦν, δι' τὸν φόβον τῆς ἀλγηδόνων. ἐρωτηθεὶς εἰ σοφοὶ πλακοῦντα ἐσθίει.

θίσει; Παίτ', εἶπεν, ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι. ἐρωτηθεὶς δέ τί προσαίτας μὲν ἐπαιδεύσει, φιλοσόφους δὲ ἄ; ἔφη, Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ ὀφέλεσθαι ἐλπίζουσι· φιλοσοφῆσαι δὲ, οὐδέποτε. φιλάργυρον ἤτει· τὸν δὲ βραδύνοντος, Ἄνθρωπε, εἶπεν, εἰς ἔφοδόν σε αἰτῶ, οὐκ εἰς ταφήν. ὀνειδιζόμενός ποτε ὅτι τῷ ἀσελγαίνειν τὸ νόμισμα, ἔφη, Ἦν ποτε χρόνος ἐκεῖνος ὅτ' ἤμελλον ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ ἔσῃ οὐδέποτε. καὶ πρὸς ἄλλον ὅτι τῷ αὐτῷ ὀνειδίσαντα, Καὶ γὰρ ὀνεύρων θάττων, ἀλλὰ νῦν οὔ. εἰς Μύνδον ἐλθὼν, καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. θεασάμενός ποτε πορφυροκλέπτην περιφερόμενον, ἔφη,

Ἔλαβε πορφύρεος θανάτου καὶ μοῖρα κραταιή.

Κρατερὸν ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, Ἀλλὰ βέλομαι, ἔφη, ἐν Ἀθήναις ἄλας λείχειν, ἢ παρὰ Κρατερῷ τῆς πολυτελοῦς ἀπέχεσθαι ὀψοφαγίας. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός. καὶ γὰρ αὐτὸς κερδήσῃ, καὶ ἡμᾶς ὠφελήσεις. διαλεγομένῳ ποτὲ αὐτῷ, πάνυ πρωτεύοντας παρεῖπασε τοὺς ἀκροατάς. ἀγανακτοῦντος δὲ, Τῷ Ἀναξιμένει, ἔφη, διαλέγεσθαι ὀβολοῦ πάνυ διαλέγεται. ὀνειδιζόμενός ποτε ὅτι ἐν ἀγορᾷ ἔφαγε, Ἐν ἀγορᾷ γὰρ, ἔφη, καὶ ἐπείνησα. οἱ δέ τινες φασὶν εἶναι καὶ τοῦτο· ὅτι Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ, Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες· τὸν δὲ ὑποκρίνασθαι ὁμοίως ἡσυχῇ, Καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες. πρὸς τὸν εἰπόντα, Οἱ πλείους σε καταγελῶσι·

Κρίνειν τυχὸν, εἶπεν, οἱ ὄνοι. ἀλλ' ὅτ' ἐκεῖνοι τῷ ὄνων ὑπερέφοιτο, ὅτε ἐγὼ ἐκείνων. Θεασάμενος μειράκιον φιλοσοφοῦν, Εὖγε, εἶπεν, ὅτι τὸν τοῦ σώματος ἐρασὰς ὑπὸ τοῦ τῆς ψυχῆς κάλλους μεπάγεις. Θαυμάζοντός τινος τὰ ἐν Σαμοθράκῃ ἀναθήματα, ἔφη, Πολλῷ ἂν εἴη πλείω, εἰ μὴ οἱ μὴ σωθέντες ἀνετέθησαν. οἱ δὲ, τοῦτο Διαγόρᾳ φασὶ τῷ Μηλίῳ· δυμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον, ἔφη, χείρων ἐπανήξεις. τῷ δὲ ἐπανελθόντος τὴν ἑξῆς καὶ εἰπόντος, Καὶ ἀπῆλθον, καὶ χείρων ἐκ ἐβρόμιλλον· ἔφη, Χείρων μὲν ἄ, Εὐρυτίων δέ. δύσκολον ᾖτει. τῷ δ' εἰπόντι, Ἐάν με πείσῃς. ἔφη, Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισά σε ἂν ἀπάγξασθαι. ἐπανῆρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς ὃν τὸν πυθόμενον, Ποῖ, καὶ πόθεν; Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνίτιν. ἐπανῆει ὑπὸ Ὀλυμπίων· πρὸς ὃν τὸν πυθόμενον εἰ ὄχλος ἦν πολύς, Πολὺς μέν, εἶπεν, ὁ ὄχλος, ὀλίγοι δὲ ἄνθρωποι. τοὺς ἀσώτους εἶπε θαλαττίους εἶναι συκαῖς ὑπὸ κρημνῷ πεφυκυίας· ὧν τὰ καρπὰ μὲν ἄνθρωπος ἐκ ἀπογεύσεται, κόρακες δὲ καὶ γύπες ἐθίουσι. Φρυγὸς Ἀφροδίτῃ χρυσῆν ἀναθέσης ἐν Δελφοῖς, τοῦτον ὑπερέφαι, Τῆς ὑπὸ τῶν Ἑλλήνων ἀκρασίας. Ἀλέξανδρε ποτὲ ἐπιστάντος αὐτῷ, καὶ εἰπόντος, Ἐγώ εἰμι Ἀλέξανδρος, ὁ μέγας βασιλεύς· Κἀγὼ, φησὶ, Διογένης ὁ κύων. ἐρωτηθεὶς τί πεινῶν, κύων καλεῖται, ἔφη, Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. ὑπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος, Αὐτόθεν ὡρίων ἄνθρωπος ἀπήγξατο, Ἐγὼ ἔν, φησὶν, αὐτίῳ καθαρῷ. ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίρας πυκνότερον ἀτενίζοντα, Ἴδε, ἔφη, κριὸν ἀρειμάνιον, ὡς νῦν τοῦ τυχόντος κοράσιο ξαχνλίζεται· τὰς δ' ὠφελεῖς

ἑταί-

ἑταίρας ἔλεγε θαυμασίμῳ μελιπράτῳ ἀδμπλησίας εἶναι. ἀλεσῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ ἀλεσῶντες σωσεχὲς ἔλεγον, Κύον. ὁ δὲ, Τ' μεῖς, εἶπεν, ἐσὲ κυίες οἵ με ἀλεσῶντα ἀλεσήκατε. δύο μαλακῶν ἀμυρτωμύων αὐτὴν, ἔφη, Μὴ δ'λαβεῖδε, κύων τῦτλα ὐ ζώγει. ἀλ παιδὸς πεπορνδικότος ἐρωτηθεὶς πόθεν εἴη; Τεγεάτης, ἔφη. ἀφυῆ παλαισιὺ θεασάμβυος ἰαζδύοντα, ἔφη, Τί τῦτο, ἢ ἵνα τὺς ποτὲ σε νικήσαντας νῦ καταβάλῃς; θεασάμβυος ὑὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς. δείξαντος αὐτῷ παιδαρίῳ μάχαιραν, ἰὼ εἰλήφει ἀδὲ ἐραστά, Ἡ μὰ μάχαιρα, ἔφη, καλή· ἡ δὲ λαβὴ, αἰσχρά. ἐπαινένπων τινῶν τὸν ἐπιδόντα αὐτῷ, ἔφη, Ἐμὲ δ' ἐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; ἀπαιτήμβυος ὑπό τινος βίβωνα, ἔφη, Εἰ μὰ ἐχαείσω, ἔχω· εἰ δὲ ἔχησας, χώμαι. ὑποβολιμαίᾳ τινὸς εἰπόντος αὐτῷ, ὅτι χυσὸν ἔχει ἐν τῷ ἱματίῳ, Ναὶ, ἔφη, διὰ τῦτο αὐτὸ ὑποβεβλημβύος κοιμῶμαι. ἐρωτηθεὶς τί αὐτῷ ἀφελέγονεν ἐκ φιλοσοφίας, ἔφη, Καὶ εἰ μηδὲν ἄλλο, τὸ γε πρὸς πᾶσαν τύχλω παρεσκευάσθαι. ἐρωτηθεὶς πόθεν εἴη; Κοσμοπολίτης, ἔφη. θυόντων τινῶν τοῖς θεοῖς ὅτι τῷ ὑὸν θρεφθαι, ἔφη, Περὶ δὲ τῦ ποδαπὸς ἐκβῇ, ὐ θύετε; ἔρανόν ποτε αἰτήμβυος πρὸς τὸν ἐρανάρχλω ἔφη,

Τὺς ἄλλυς ἐνάειζ' ὑπὸ δ' Ἔπορος ἴχεο χείρας,

τὰς ἑταίρας, ἔφη, βασιλέων εἶναι βασιλίσσας. αἰτεῖν δὲ ὅ,τι ἂν δόξῃ αὐταῖς. ψηφισαμβύων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, Καμὲ, ἔφη, Σάραπιν ποιήσατε. πρὸς τὸν ἐνειδίζοντα ὡς εἰς τάφυς ἀκαθάρτυς εἰσίοι, Καὶ γὰ ὁ ἥλιος, ἔφη, εἰς τὺς ὑποπάτυς, ἀλλ' ὐ μιαίνεται. ἐν

ἱερῷ δειπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων ἐσθιόντων, ἄρας αὐτὸς ἔρριψεν, εἰπών, εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι. πρὸς τὸν εἰπόντα, Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη, Εἰ γὰ προσποιοῦμαι σοφίαν, γὰ τοῦτο φιλοσοφεῖν ἐστι. πρὸς τὸν σωφρονίσαντα παῖδα, γὰ λέγοντα ὡς δυφυέστατός ἐστι, γὰ τὰ ἤθη κράτιστος, Τί οὖν, εἶπεν, ἐμοὶ χρήζει; τοὺς λέγοντας μοι τὰ σπουδαῖα, μὴ ποιοῦντας δέ, ἔλεγε μηδὲν διαφέρειν κιθάρας· γὰ γὰ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. εἰς θέατρον εἰσῆλθε ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διὰ τί; Τοῦτο, ἔφη, παντὶ τῷ βίῳ ὑποπτεύω ποιεῖν. ἰδών ποτε νεανίσκον ἑαυτὸν θαυμάζοντα, Οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως περὶ σεαυτὸν βαλλόμενος; ἣ μοι γάρσε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι. ἰδών ἄφρονα ψαλτήριον ἁρμοζόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, τὰς μὲν φθόγγους τῷ ξύλῳ προσαρμόττων, τῶν δὲ ψυχῶν εἰς τὸν βίον μὴ ἁρμόττων; πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειος εἶμι πρὸς φιλοσοφίαν, Τί οὖν, ἔφη, ζῆς, εἰ τὸ καλῶς ζῆν μὴ μέλει σοι; πρὸς τὸν καταφρονοῦντα τὰ παιδία, Οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τούτων δι' ἃ μέγα φρονεῖς; ἰδών τινα προπετῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, Οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνης κολεᾶς μολιβδίνην ἕλκων μάχαιραν; ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, Καὶ ἐν κυρείῳ, φησί, κείρομαι. ὀνειδιζόμενος ὅτι σπὸς Ἀντιπάτρα ξιβάνιον ἔλαβεν, ἔφη,

Οὔ τοι ὑπόβλητ' ἐστὶ θεῶν ἐπικουδέα δῶρα.

πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκόν, εἶπε εἰπόντα, Φύλαξαι. πλήξας αὐτὸν τῇ βακτηρίᾳ, εἶπε, Φύλαξαι. πρὸς τὸν λιπαροῦντα τὴν ἑταίρᾳ, Τί θέλεις, ἔφη, τυχεῖν, ὦ παλαίπωρε, ἢ τὸ ἀποτυχεῖν ἄμεινόν ἐστι; πρὸς τὸν μυει-

μυριζόμενον, Βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σε δι' ὠδία δυσωδίαν σε τῷ βίῳ παράσχῃ. τὰς μὲν οἰκέτας ἔφη δεσπότας, τὰς δὲ φαύλας ἐπιθυμίας δεδιέναι. ἐρωτηθεὶς διὰ τί ἀνδράποδα ἐκλήθη, Ὅτι, φησὶ, τὰς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ νῦν ὁ ὀξεπάζων. ἄσωτον ἤτει μνᾶν· πυθομένου δέ διὰ τί τὰς μὲν ἄλλας ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν; Ὅτι, εἶπε, παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν· παρὰ δὲ σοῦ, θεῶν ἐν γόνασι κεῖται, εἰ πάλιν λήψομαι. ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, Καὶ κεῖνος, εἶπεν, αἰτεῖ· ἀλλ'

Ἄγχι χὼν κεφαλῆι, ἵνα μὴ πολυθρύλητοι ἄλλοι.

ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών, Ἵνα μὴ πληγῶ. τὰς ἐρώντας ἔφη πρὸς ἡδονὴν αὐτυχεῖν. ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος; Πῶς, εἶπε, κακὸς, ὃ παρόντος οὐκ αἰσθανόμεθα; πρὸς Ἀλέξανδρον ἀπαντῶντα, καὶ εἰπόντα, Οὐ φοβῇ με; Τί γὰρ, εἶπεν, εἰ ἀγαθὸν, ἢ κακόν; τὸ δὲ εἰπόντος. Ἀγαθόν· Τίς ἂν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται; τὴν παιδείαν εἶπε, τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. πρὸς Διδύμωνα τὸν μοιχὸν ἰδόντα ποτὲ πόρνης ὀφθαλμὸν, Ὅρα, φησὶ, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἐξέλῃς, καὶ κόρην φθείρῃς. εἰπόντος τινὸς ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, Καὶ τί δεῖ πράττειν, ἔφη, εἰ δείσει τοὺς φίλους καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι; ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις; ἔφη, Παρρησία. εἰσελθὼν εἰς διδασκάλου, καὶ μέσας μὲν ἰδὼν παιδὰς, μαθητὰς δὲ ὀλίγους, Σοὶ θεοῖς, ἔφη, διδάσκαλε πολλὰς

μαθητὰς ἔχεις. εἰώθει δὲ πάντα ποιεῖν ἐν τῷ μέσῳ, καὶ τὰ Δήμητρος καὶ τὰ Ἀφροδίτης. καὶ τοιούτους τινὰς ἠρώτα λόγους, Εἰ τὸ ἁρπάζειν μηδὲν εἴη ἄτοπον, οὐδ' ἐν ἀγορᾷ ἔξεστιν ἄτοπον. οὐκ ἔστι δὲ ἄτοπον τὸ ἁρπάζειν· οὐδ' ἄρα ἐν ἀγορᾷ ἔξεστιν ἄτοπον. χειρουργῶν τε ἐν τῷ μέσῳ συνεχὲς, Εἴθε μοι, ἔλεγε, καὶ τοῦ κοιλίαν ἀφαιρεῖν φάρμακον τὴν λιμὸν παύσασθαι. ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐτὸν, ἃ μακρὸν ἂν εἴη καταλέγειν, πολλὰ ὄντα. διττὴν δὲ ἔλεγεν εἶναι τὴν ἄσκησιν· τὴν μὲν, ψυχικὴν· τὴν δὲ, σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖς γινόμεναι φαντασίαι, εὐλυσίαν πρὸς τὰ τῆς ἀρετῆς ἔργα παρέχονται. εἶναι δὲ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας, οὐδὲν ἧττον δ' ἕξιας καὶ ἰσχύος ἐν τοῖς προσήκουσι γιγνομένης, ὡς περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. παρετίθετο δὲ τεκμήρια τὸ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ παραγίνεσθαι. ὁρᾶν τε γὰρ ἐπὶ τε ταῖς τέχναις ταῖς βαναύσοις καὶ ταῖς ἄλλαις, διὰ τὴν τυχοῦσαν ὀξυχειρίαν τοὺς τεχίτας ἀπὸ τῆς μελέτης πεποιημένους. τούς τε αὐλητὰς καὶ τοὺς ἀθλητὰς, ὅσον ὑπερφέρουσιν ἑκάτεροι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ. καὶ ὡς ὅτι, εἰ μετήνεγκαν τὴν ἄσκησιν καὶ ὅπη τὴν ψυχὴν, οὐκ ἂν ἀνωφελῶς καὶ ἀτελῶς ἐμόχθουν. ὡδί γε μὴν ἔλεγε τοὺς ἁπάντων ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὸν δὲ πάντα πᾶσι ἐκπονῆσαι. δίον ὖν, αὐτὶ τῆς ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους, ζῆν δ' εὐδαιμόνως, οὐδὲ τὴν ἀδοίαν κακοδαιμονοῦσι. καὶ δὴ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυπάτη προμελετηθεῖσα. καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ὅταν τἀναντίον μετίασιν· ἅπερ οἱ τἀναντίον ἀσκηθέντες, ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντος νόμισμα χαράττειν, μηδὲν ἅπερ τοῖς κατὰ νόμον ὡς τοῖς κατὰ φύσιν δι-

διδάς· τὸν αὐτὸν χαρακτῆρα τῷ βίῳ λέγων διεξάγειν ὃν περ καὶ Ἡρακλῆς, μηδενὸς ἐλευθερίας προκείνων. πάντα τῆς σοφῶν εἶναι λέγων, καὶ τοιούτους λόγους ἐρωτᾷν οἵους αὖθις προειρήκαμεν· Πάντα τῆς θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν. τῷ τε τὸ νόμιμον, ὅτι χωρὶς αὐτοῦ οὐκ οἰόν τε πολιτεύεσθαι· Οὐ γὰρ, φησὶν, ἄνευ πόλεως ὄφελός τι εἶναι ἀσκεῖν· ἀσκητὸν δὲ ἡ πόλις· νόμος δὲ ἄνευ, πόλεως οὐδὲν ὄφελος· ἀσκητὸν ἄρα ὁ νόμος. διαφυείας δὲ καὶ δόξας, καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, φροσκομίματα κακίας εἶναι λέγων· μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ. ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας· γάμον μηδένα νομίζων, ἀλλὰ τὸν πείσαντα τὴν πεισάσῃ συνεῖναι. κοινὰς δὲ καὶ τὰς τέκνας. μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν, ἢ τῶν ζώων τινὸς γεύσασθαι. μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοδαπῶν ἐθνῶν. καὶ τῷδε ὀρθῷ λόγῳ πάντα ἐν πᾶσιν εἶναι, καὶ διὰ πάντων ἰέναι λέγων. καὶ ἐν τῷ ἄρτῳ κρέας εἶναι, καὶ ἐν τῷ λαχανώῳ ἄρτον. καὶ ὅτι τῶν σωμάτων τῶν λοιπῶν, ἐν πᾶσι διά τινων ἀδήλων πόρων ὄγκων εἰσκεινομένων καὶ συναπτιζομένων.

Ὡς δῆλον ἐν τῇ Θυέστῃ ποιεῖ. εἴγε αὐτοῦ αἱ Τραγῳδίαι, καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου ἐκείνου γνώσιμοι, ἢ Πασιφῶντος τοῦ Λεκιανοῦ, ὃν φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, μηδενὸς αὐτοῦ συγγράψαι.

Μουσικῆς τε καὶ γεωμετρικῆς, καὶ ἀστρολογίας, καὶ τῶν τοιούτων ἀμελεῖν, ὡς ἀχρήστων καὶ ἀνωφελῶν. δύσοχώστατος δὲ ἐφαίνετο ἐν ταῖς ἀπαντήσεσι τῶν λόγων, ὡς δῆλον ἐξ ὧν προειρήκαμεν.

Καὶ φασὶν ἰδεγκε ἡμερώτατα. πλέων δὲ εἰς Αἴ-

γιναν, καὶ πειραταῖς ἁλοὺς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτλω ἀπαχθεὶς ἐπράσκετο. καὶ τῷ κήρυκος ἐρωτῶντος τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον Ξενιάδλω, ἔφη· Τούτῳ με πώλει· ἔτος δεσπότης χρήζει. ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης· καὶ ἀπαγαγὼν εἰς τλὼ Κόρινθον, ἐπέτρεψε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. ὁ δὲ ὅπως αὐτλὼ ἐν πᾶσι διατίθει, ὥστε ἐκεῖνος φοβεῖσθαι, Ἀγαθὸς, ἔλεγε, δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γινομένους λυσιτελεῖσθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. δοῦλον γὰρ τὸ φοβεῖσθαι. τὰ δὲ θηρία, φοβερὰ τοῖς ἀνθρώποις εἶναι.

Θαυμασὴ δέ τις λω περὶ τὸν ἄνδρα πεπόηται, ὥστε παντὸς ὄντινοῦν ῥᾳδίως αἱρεῖν τοὺς λόγους. λέγεται γὰρ Ὀνησικρίτου τινὰ Αἰγινήτλω πέμψαι εἰς Ἀθλώας δυοῖν ὄντοιν υἱοῖν τὸν ἕτερον Ἀνδροθοίλω· ὃν ἀκούσαντα τοῦ Διογλύους, αὐτόθι προσμεῖναι· τὸν δ' ἐπ' αὐτὸν καὶ τὸν ἕτερον δυσεῖλαι τὸν πρεσβύτερον, Φιλίσκον τὸν προειρημένον. ὁμοίως δὲ καὶ τὸν Φιλίσκον καταχεθλῶαι. τὸ ξύλον αὐτὸν ἀφικόμενον, μηδὲν ἧττον σωθῆναι τοῖς παισὶ φιλοσοφοῦντα. τοιαύτης προσλω ἔτυχε Διογλύους τοῖς λόγοις. ἤκουσε δὲ αὐτοῦ καὶ Φωκίων ὁ στρατλω χρηστὸς, καὶ Στίλπων ὁ Μεγαρεὺς, καὶ ἄλλοι πλείους ἄνδρες πολιτικοί.

Λέγεται δὲ πρὸς τὰ συνεγνωκότα ἔτι βιοὺς τελευτῆσαι. περὶ δὲ τοῦ θανάτου διάφοροι λέγονται λόγοι. οἱ μὲν γὰρ βοὸς πόδα φαγόντα ὠμὸν, χολερικῶς ληφθλῶαι, καὶ οὕτω τελευτῆσαι. οἱ δὲ, τὸ πνεῦμα συγκρατήσαντα· ὃν ἔξω

καὶ

καὶ Κερκίδας ὁ Μεγαλοπολίτης, ἢ Κρὴς, λέγων ἐν τοῖς μελιάμβοις ἔπως,

Οὐ μὰν ὁ πάρος γ' ἔα Σινωπεὺς τλῶος
Ὁ βαλβοφόρας, διπλοείματος, αἰθερεμβάσκας,
Ἀλλ' αὐέβα χεῖλος ποτ' ὀδόντας ἐρείσας,
Καὶ τὸ πνεῦμα σωδακών. ἰὼ ἰὼ ἀληθέως
Διογμὸς Ζανὸς γόνος, ὐραμίδς τε κύων.

ἄλλοι φασὶ πολύπαιν κυσὶ συμμεμίσαθαι βελόμενον, ἔπειτα δηχθῆναι τὴν ποδὸς τὸν τένοντα, καὶ καταστρέψαι. οἱ μέντοι γνώριμοι αὐτῦ (καθάφησιν Ἀντισθένης ἐν Διαδοχαῖς) ἔκαιον τλῶ τὸ πνεύματος ἐγκράτησιν. ἐτύγχανε μὲν ὢν ἐν τῷ Κρανείῳ τῷ πρὸ τῆς Κορίνθυ γυμνασίῳ. καὶ δὲ τὸ ἔθος, ἦκον οἱ γνώριμοι· καὶ αὐτὸν καταλαμβάνουσιν ἐγκεκαλυμμένον, καὶ εἴκασαν αὐτὸν κοιμᾶσθαι. καὶ γὰρ ἦν τις νυκτερὶς καὶ ὑπνηλός. ὅθεν δὴ ἀποπειράσαντες τὸν ῥίβωνα, ἔκπνουν αὐτὸν καταλαμβάνουσι. καὶ ὑπέλαβον τὸ τοῦτο πρᾶξαι, βελόμενον λοιπὸν ὑπεξελθεῖν τὸ βίυ. ὅθα καὶ φασίς, ὡς φασιν, ἐγένετο τῶν γνωρίμων, τίνες αὐτὸν θάψωσιν. ἀλλὰ καὶ μέχρι χειρῶν ἦλθον. ἀφικομένων δὲ τῶν πατέρων καὶ τῶν ὑπερεχόντων, ὑπὸ τούτοις ταφῆναι τὸν ἄνδρα, πρὸς τῇ πύλῃ τῇ φερούσῃ εἰς Γθμόν. ἐπέστησαν τε αὐτῷ κίονα, καὶ ἐπ' αὐτῷ λίθυ Παρίυ κυνα. ὕστερον δὲ καὶ οἱ πολῖται αὐτὸν χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν, καὶ ἐπέγραψαν ἔπος,

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνυ. ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰὼν, Διόγμες, καθελεῖ.
Μόνος ἐπεὶ βιοτᾶς αὐτάρκεια δόξαν ἔδειξας
Θνατοῖς, καὶ ζωῆς οἶμον ἐλαφροπάταν.

ἔστι καὶ ἡμῶν ἐν τῷ προκελευσματικῷ μέτρῳ,

Διό-

Διόγενες ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος
Εἰς ἄϊδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

οἱ δέ φασι τελευτῶντα αὐτὸν, καὶ ἐντείλασθαι ἄταφον ῥίψαι, ὡς παῦ θηρίον αὐτῷ μεταχοι· ἢ εἰς γε βόθρον σωῶσαι, καὶ ὀλίγου κόνιν ἐπαμῆσαι. οἱ δὲ, εἰς τὸν Ἑλισσὸν ἐμβαλεῖν, ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται. Δημήτριος δὲ ἐν τοῖς ὁμωνύμοις φησὶ, τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένη δ' ἐν Κορίνθῳ τελευτῆσαι. ἦν δὲ γέρων καὶ τὸν ἕβδομον καὶ δεκάτον καὶ ἑκατοστὸν Ὀλυμπιάδα.

Φέρεται δ' αὐτοῦ βιβλία τάδε. Διάλογοι· Κεφαλίων, Γοργίας, Κολοιός, Πάρδαλις, Δῆμος Ἀθηναίων, Πολιτεία, Τέχνη ῥητορική, Περὶ πλούτου, Ἐρωτικός, Θεόδωρος, Γοργίας, Ἀρίσταρχος, Περὶ θανάτου, Ἐπιστολαί. Τραγῳδίαι ἑπτά, Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσιππος, Οἰδίπους. Σωσικράτης δ' ἐν τῷ πρώτῳ τῆς διαδοχῆς, καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τοῦ βίου, ἑδὼν εἶναι Διογένους φασί. τά τε τραγῳδάρια φησὶν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Αἰγινήτου, γνωρίμου τοῦ Διογένους. Σωτίων δ' ἐν τῷ ἑβδόμῳ ταῦτα μόνα φησὶ Διογένους εἶναι· Περὶ ἀρετῆς, Περὶ ἀγαθοῦ, Ἐρωτικόν, Πτωχόν, Τολμῶν, Πάρδαλιν, Κάσανδρον, Κεφαλίωνα, Φιλίσκον, Ἀρίσταρχον, Σίσυφον, Γαυμήδην, Χρείας, Ἐπιστολάς.

Γεγόνασι δὲ Διογένεις πλείους· ῥήτωρ, Ἀπολλωνιάτης, φυσικός. ἀρχὴ δ' αὐτῷ τοῦ συγγράμματος ἥδε, Λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι. δεύτερος, Σικυώνιος, ὁ γράψας τὰ περὶ Πελοποννήσου. τρίτος, αὐτὸς οὗτος. τέταρτος, Σπαρτιάτης, γένους Σελευκίδου, καλούμενος δὲ Βαβυλώνιος,

νιος, διὰ τὴν γειτονίαν. πέμπτος, Ταρσεὺς, γεγραφὼς περὶ ποιητικῶν ζητημάτων, ἃ λύειν ἐπιχειρεῖ.

Τὸν δὲ φιλόσοφον Ἀθηνόδωρος φησὶν ἐν ὁδῷ πεζεύων ἀεὶ σιλπνὸν φαίνεσθαι διὰ τὸ ἀλείφεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΜΟΝΙΜΟΣ.

Μόνιμος, Συρακούσιος, μαθητὴς μὲν Διογένους, οἰκέτης δέ τινος ζαπεζίτου Κορινθίου, καθά φησι Σωσικράτης. φησὶ τοίνυν συνεχὲς ἀφικνούμενος ὁ Ξενιάδης ὁ τὸν Διογένην ὠνησάμενος, τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν ἔργων καὶ τῶν λόγων διηγούμενος, εἰς ἔρωτα τοσοῦτον ἐνέβαλε τὸν Μόνιμον. αὐτίκα γὰρ ἐκεῖνος μανίαν προσποιηθεὶς, τό τε κέρμα διερρίπτει, καὶ παῖ τὸ ὅπλον τῆς ζαπέζης ἀργύριον, ἕως αὐτὸν ὁ δεσπότης παρητήσατο. καὶ ὃς δὴ θέως Διογένους ἦν. παρηκολούθησε δὲ καὶ Κράντι τῷ κυνικῷ συχνὰ, καὶ τῶν ὁμοίων εἴχετο, ὅτε καὶ μᾶλλον ὁρῶν αὐτὸν ὁ δεσπότης ἐδόκει μαίνεσθαι.

Ἐγένετο δὲ ἀνὴρ ἐλλόγιμος, ὡς καὶ Μενάνδρου αὐτὸν τὸν κωμικὸν μεμνῆσθαι. ἔν τινι γὰρ τῶν δραμάτων ἐν τῷ Ἱπποκόμῳ εἶπεν οὕτως,

Μόνιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφὸς,
Ἀδοξότερος, μικρὰν δὲ πήραν ἦν ἔχων.
Φιλ. Πήρας μὲν ἔν ξεῖς. Μεν. ἀλλὰ καὶ εἰκότος ῥῆμα
Ἐφθέγξαν', εἶδον ἐμφρές· μὰ τὸν Δία,

Τῷ

Τῷ γνῶθι σαυτὸν, ἀδὲ τοῖς βωμοῖς
Τέτοις· ὑπὲρ δὲ παῦθ', ὁ προσαιτῶν καὶ ῥυπῶν.
Τὸ γὰρ ὑπολιφθὲν τῦφον εἶναι πᾶν ἔφη.

ἔτος μὲν ἐμβιωθέσατος ἐγένετο, ὥστε δόξης μὲν καταφρονεῖν, πρὸς δὲ ἀλήθειαν παρορμᾶν.

Γέγραφε δὲ παίγνια σπουδῆ λεληθυῖα μεμιγμένα, καὶ Περὶ ὁρμῶν δύο, καὶ Προτρεπτικόν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΟΝΗΣΙΚΡΙΤΟΣ.

Ὀνησίκριτος. τοῦτον οἱ μὲν, Αἰγινήτην, Δημήτριος δὲ ὁ Μάγνης Ἀσυπαλαιᾶ φησί. καὶ ἔτος τῶν ἐλλογίμων Διογένους μαθητῶν.

Ἔοικε δέ τι ὅμοιον πεπονθέναι πρὸς Ξενοφῶντα. ἐκεῖνος μὲν γὰρ Κύρῳ συνεστράτευσεν, ἔτος δὲ Ἀλεξάνδρῳ. κἀκεῖνος μὲν, Παιδείαν Κύρου· ὁ δὲ, Πῶς Ἀλέξανδρος ἤχθη, γέγραφε. καὶ ὁ μὲν, ἐγκώμιον Κύρου· ὁ δὲ, Ἀλεξάνδρου πεποίηκε. καὶ τῇ ἑρμηνείᾳ δὲ παραπλήσιος, πλὴν ὅτι ὡς ὑπογραφὸς ἐξ ἀρχετύπου διατρέχει.

Γέγονε καὶ Μόλωνδρος Διογένους μαθητὴς ὁ ἐπικαλούμενος Δρυμὸς, θαυμασὴς Ὁμήρου· καὶ Ἡγησαῖος Σινωπεὺς, ὁ Κλειὸς ἐπίκλην. καὶ Φιλίσκος ὁ Αἰγινήτης, ὡς προειρήκαμεν.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΚΡΑΤΗΣ.

ΚΡάτης Α'σκώνδε, Θηβαῖος, καὶ ὅτος τῆ ἐλλογίμων τῶ Κυνὸς μαθητῶν. Ἱππόβοτος δέ φησιν ἀ Διογένες αὐτὸν μαθητὴν γενέσθαι, ἀλλὰ Βρύσωνος τῶ Ἀχαιῶ.

Τέτε παίγνια φέρεται τάδε,

Πόρνης πόλις ἔξι μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
Καλὴ κὴ πίειρα, ῥεῖῤῥυτος, ὑδρὴ ἔχεσα,
Εἰς ἣν ὅτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς βδάσιτος,
Οὔτε λίχνος, πόρνης ἐπαγλαόμβυος πυγῆσιν·
Ἀλλὰ θύμον καὶ σκόρδα φέρει, καὶ σῦκα, καὶ ἄρτες,
Ἐξ ὧν ἀ πολεμῶσι πρὸς ἀλλήλες· περὶ τέτων
Οὐχ ὅπλα κίνηται, περὶ κέρματος, ἀ περὶ δόξης.

ἔξι καὶ ἐφημερὶς ἡ Θρυλλεμβώ, ὅπως ἔχεσα·

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰκτῷ δραχμίω·
Κόλακι τάλαντα πρίτε, συμβόλῳ καπνόν·
Πόρνῃ τάλαντον, φιλοσόφῳ βιώβολον.

ἐκαλεῖτο δὲ κὴ Θυρεπανοίκτης, διὰ τὸ εἰς πᾶσαν εἰσιέναι οἰκίαν, κὴ νεθετεῖν. ἔσιν αὐτῆ κὴ τόδε,

Ταῦτ' ἔχω, ὅσ' ἔμαθον καὶ ἐφρόντισα, καὶ ξυνετὰ Μεσῶν

Σέμν'

Σέμν' ἐδάλω· τὰ δὲ πολλὰ καὶ ὄλβια τύφος ἔμαρ-
ψε.

καὶ ὅτι ἐκ φιλοσοφίας αὐτῷ προηγγέλετο,

Θέρμων τε χόνιξ, καὶ τὸ μηδενὸς μέλειν.

φέρεται δ' αὐτοῦ καὶ ἄλλο,

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.
Εἰ δὲ τούτοις μὴ δοκῇ χρῆσθαι, βρόχος.

Ἤκμαζε δὲ κατὰ τὴν ξ΄ τὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

Τοῦτόν φησιν Ἀντισθένης ἐν διαδοχαῖς θεασάμενον τινι ξαγωδίᾳ Τήλεφον ἀπυρίδιον ἔχοντα, καὶ πάλαι λυπούμενον, αἴξαι ὅτι τὴν Κυνικὴν φιλοσοφίαν. ἐξαργυρισάμενόν τε τὴν οὐσίαν (καὶ γὰρ ἦν πλούσιος) ἀθροίσαντα πρὸς τὰ ἑκατὸν ἀργύρια τάλαντα, τοῖς πολίταις δοῦναι ταῦτα. αὐτὸν δὲ καρτερῶς ἔτι φιλοσοφεῖν, ὥστε καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι· φησὶ γάρ,

Καὶ τῷ θέρει μὲν εἶχεν ἱμάτιον δασύ,
Ἵν' ἐγκρατὴς ᾖ, τῷ δὲ χειμῶνος ῥάκος.

φησὶ δὲ Διοκλῆς πεῖσαι αὐτὸν Διογένη τὴν οὐσίαν μηλόβοτον αὐτοῦ εἶναι, καὶ εἴ τι ἀργύριον εἴη, εἰς θάλατταν βαλεῖν. καὶ Κράτητος μέν, φησίν, ὁ οἶκος ὢν Ἀλεξάνδρου, Ἱππαρχίας δὲ τοῦ Φιλίππου. πολλάκις τε τὴν βακτηρίαν τοῦ συγχωρῶν τινὰς προσιόντας καὶ λοιδοροῦντας ἐδίωκε. καὶ ὢν γενναῖος.

Φησὶ δὲ Δημήτριος ὁ Μάγνης, ξαπεζίτην τινὶ παρα-

ραπατίσθαι τὸ ἀργύριον, σωθέμενον, εἰ μὴ οἱ παῖδες ἰδιῶται γενήσεσθαι, αὐτοῖς ἀποδῶναι· εἰ δὲ φιλόσοφοι, τῷ δήμῳ χαρίσασθαι. μηδενὸς γὰρ ἐκείνες δεήσεσθαι φιλοσοφοῦντας. Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππάρχου, περὶ οὗ λέξομεν, γενομένου παιδὸς αὐτῷ ὄνομα Πασικλέους; ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης· καὶ φάναι τοῦτον αὐτῷ παρῆσον εἶναι τὸν γάμον. τὰς δὲ τῶν μοιχευόντων ἁγνικὰς, φυγὰς καὶ φόνους ἔχειν ἔπαθλον, τάς τε τῶν ἑταίρας φοσιούντων, κωμικάς. καὶ ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι.

Τούτου γέγονε Πασικλῆς ἀδελφὸς, μαθητὴς Εὐκλείδου.

Χάριν δ' αὐτῷ Φαβωρῖνος ἐν δευτέρῳ τῶν ἀπομνημονευμάτων φέρει. φησὶ γὰρ, Παρακαλῶν ποτέ τὸν γυμνασίαρχον, τῶν ἰχθύων αὐτῷ ἅπτετο. ἀγανακτοῦντος δὲ, ἔφη, Τί γὰρ ἔχει καὶ ταῦτα σάρξι, καθάπερ καὶ τὰ γόνατα; ἔλεγέ τε ἀδύνατον εἶναι ἀψηφητον οὐρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾷ, καὶ σαφρόντινα κόκκον εἶναι. Νικόδρομον ἐξεπαίδευσας τὸν κιθαρῳδὸν ὑπωπιάδη· προσδεὶς ἐν πιττακίῳ τῷ μετώπῳ, ἐπέγραφε, Νικόδρομος ἐποίει. τὰς πόρνας βδελυττόμενος ἐλοιδόρει, συγγυμνάζων ἑαυτὸν πρὸς τὰς βλασφημίας. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον, ὠνείδισεν, εἰπών, Εἰ δὲ γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον. δῆλον ἦν ὡς ὕδωρ ἔπινεν. ὑπὸ τῶν Ἀθηνήσιν ἀσυνόμων βδελυχθεὶς ὅτι σινδόνα ἠμφίεσο, ἔφη, Καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον. ἀπιόντων δὲ, ἀπήγαγεν βδελυρὸν, καὶ ἔδειξε κειρόμενον. ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθεὶς (οἱ δὲ ἐν Κορίνθῳ ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τὸν πόδα, ἐπέλιπεν ἀφροντιστῶν,

Εἰλ-

Εἶλκε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο.

Διοκλῆς δέ φησιν ἐλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρετρικοῦ. ἐπειδὴ γὰρ δύσρεπὴς ἦν καὶ ἐδόκει χρηματίζειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀφάμματος αὐτῷ τῶν μυρῶν ὁ Κράτης, ἔφη, Ἔνδον Ἀσκληπιάδης· ἐφ' ᾧ δυσχεράναντα τὸν Μενέδημον, ἕλκειν αὐτόν· τὸν δέ, τοῦτο ἐπιλέγειν.

Ζήνων δ' αὖθ' ὁ Κιττιεὺς ἐν ταῖς χρείαις, καὶ κώδιον αὐτὸν φησί ποτε προσράψαι τῷ ῥίβωνι ἀνεπιζητοῦντα. ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρὸς, καὶ γυμναζόμενος ἐγελᾶτο. εἰώθει δὲ λέγειν, ἐπαίρων τὰς χεῖρας, Θάρρει Κράτης ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ λοιποῦ σώματος.

Τύτιας δὲ ὄφει τοὺς καταγελῶντας ἤδη καὶ σωφρονισμένους ὑπὸ νόσου, καί σε μακαρίζοντας, αὐτὸς δὲ καταμεμφομένους ὅτι τῇ ἀργίᾳ. ἔλεγε δὲ, μέχρι τοῦ δεῖν φιλοσοφεῖν, μέχρις ἂν δόξωσιν οἱ σοφοὶ εἶναι ὀνηλάται. ἐρήμους ἔλεγε τοὺς μὴ κολάκων ὄντας, ὥσπερ τοὺς μόχθους ἐπειδὰν μετὰ λύκων ὦσιν· ὅτε γὰρ ἐκείνοις τοὺς προσήκοντας, ὅτε τούτοις σωθῆναι, ἀλλὰ τοὺς ὑπεβαλλόντας.

Σωκαιθαιόμβους ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων,

- - - σείχεις δὴ φίλε κύρτων,
Βαίνεις τ' εἰς ἀΐδαο δόμους, κυφὸς καὶ γῆρας.

ἦν γὰρ κυφὸς ὑπὸ χρόνου.

Πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτῷ τινὰ παρίδαι διορθωθῆναι; ἔφη, Καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὸν κατασκάψει.

Ἔχειν

Ἔχειν δὲ παῖδα τὴν ἀδοξίαν,
Καὶ τὴν πενίαν δ' αὖ, ἀνάλωτον τῇ τύχῃ.

Καὶ,

Διοφάνης
Εἶναι πολίτης, ἀνεπιβούλευτον φθόνῳ.

Μέμνηται αὐτῆς καὶ Μένανδρος ἐν διδύμοις ἔπους,

Συμφιλοπαίσεις δὴ ξύμβιον ἔχουσ' ἐμοί,
Ὥσπερ Κράτητι τῷ κυνικῷ ποθ' ἡ γυνή.

Καὶ θυγατέρα ἐξέδωκε μαθηταῖς αὐτῆς,

Κείνοις ὅτι πείρᾳ δὲς ξυήκουσ' ἡμέρας.

ὡς αὐτὸς ἔφη.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

ΜΗΤΡΟΚΛΗΣ.

ΜΑθητὴς αὐτῆς Μητροκλῆς, ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφράστου τοῦ περιπατητικοῦ, ποσῶς διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ὑποπαρδών, ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ὑποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν θυμικλυθείς, καὶ θέρμας ὑπτίους βεβρωκώς. ἔπειθε μὴν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο. τέλος δὲ καὶ ὑποπαρ-

παρδὼν αὐτὸν ἀπέρρωσεν, ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. πεντεῦθεν ἤκουσεν αὐτῦ, καὶ ἐγένετο ἀνὴρ ἱκανὸς ἐν φιλοσοφίᾳ.

Οὗτος τὰ ἑαυτῦ συγγράμματα κατακαών, ὥς φησιν Ἑκάτων ἐν πρώτῳ χρειῶν, ἐπέλεγε,

Τάδ' ἔς' ὀνείρων νεκτέρων φαντάσματα,
Οἷον λῆρος.

Οἱ δ', ὅτι τὰς Θεοφράστε ἀκροάσεις καταφλέγων, ἐπέλεγε,

Ἤφαιστε πρόμολ' ὧδε, Θέτις νύτι σοῖο χατίζει.

Οὗτος ἔλεγε τῶν πραγμάτων τὰ μὲν, ἀργυρίῳ ὠνητὰ εἶναι, οἷον οἰκίαν· τὰ δὲ, χρόνῳ καὶ ἐπιμελείας, ὡς παιδείαν. τὸν πλοῦτον, βλαβερόν, εἰ μή τις ἀξίως αὐτῷ χρῷτο.

Ἐτελεύτα δὲ ὑπὸ γήρως ἑαυτὸν πνίξας.

Μαθηταὶ δ' αὐτῦ Θεόμβροτος καὶ Κλεομήδης. Θεομβρότε, Δημήτριος ὁ Ἀλεξανδρεύς· Κλεομήδες, Τίμαρχος Ἀλεξανδρεύς, καὶ Ἐχεκλῆς Ἐφέσιος. ὃ μὲν ἀλλὰ καὶ Ἐχεκλῆς Θεομβρότε δόγμασιν, ὃ Μενέδημος, ᾧπερ ἐγὼ λέξομεν. ἐγένετο καὶ Μύιππος Σινωπεὺς ἐν αὐτοῖς ἐπιφανής.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΙΠΠΑΡΧΙΑ.

Ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τῦ Μητροκλέους, Ἵππαρχία. Μαρωνῖται δ' ἦσαν ἀμφότεροι. Καὶ

Καὶ ἦρα τῷ Κράτητος καὶ τῇ λόγων ἢ τῷ βίῳ, ὑ-
δενὸς τῇ μηνδομένων ὑπερφορμῇ, ἢ πλάτει, ἢ ἀ-
ῤῥυείᾳ, ἢ κάλλει· ἀλλὰ παύτει ἰῶ Κράτης αὐτῇ. καὶ
δὴ ἢ ἠπείλει τοῖς γονεῦσιν αἱρήσειν αὐτὴν, εἰ μὴ
τύτῳ δοθείη. Κράτης μὲν ἓν παρακαλύμμος ὑπὸ τῇ
γονέων αὐτῆς ἀποδέδωκε τὴν παῖδα, παύτα ἐποίει. ἢ
τέλος μὴ πείθων, ἀνασὰς καὶ ἀποθέμμος τὴν ἑαυτῦ
σκευὴν ἀντικρυς αὐτῆς, ἔφη, Ὁ μὲν γυμφίος, ὗτος· ἡ
δὲ ὑπῆσις, αὕτη· φρὸς παῦτα βελεύε. οὐδὲ γὰρ ἔσεσθαι
κοινωνὸς, εἰ μὴ ἢ τῇ αὐτῇ ὑπομνδμάτων γρυθείης.
εἵλετο ἡ παῖς, ἢ παύτων ἀναλαβῦσα χῆμα συμπερι-
έει πάνδει; ἢ ἐν τῷ φανερῷ σιωεγίνετο; ἢ ὅπ τὰ δεῖπνα
ἀπήει.

Ὅτε ἢ φρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον ἦλθεν.
ἔνθα Θεόδωρον τὸν ὑπίκλιν Ἄθεον ἐπήλεγξε, σόφισμα
φροτείνασα πιῦτον, Ὅ ποιῶν Θεόδωρος, ἢκ ἂν ἀδικεῖν
λέγοιτο, εἰ δ' Ἱππαρχία ποιῦσα τῦτο, ἀδικεῖν λέγοιτ'
ἄν. Θεόδωρος δὲ τύπτων ἑαυτὸν, ἢκ ἀδικεῖ· εἰ δ' ἄρα
Ἱππαρχία Θεόδωρον τύπτυσα, ἀδικεῖ: ὁ δὲ φρὸς μὲν
τὸ λεχθὲν εἶδεν ἀπιλύπησεν, αὐέσυρε δ' αὐτῆς ἱματί-
ον. ἀλλ' ὅτε κατεπλάγη Ἱππαρχία, ὅτε διεταράχθη
ὡς γυνή. ἀλλὰ ἢ εἰπόντος αὐτῇ αὐτῇ;

Τίς τὰς παρ' ἰσοῖς ἐκλιπῦσα κερκίδας;

Ἐγὼ, φησὶν, εἰμὶ, Θεόδωρε. ἀλλὰ μὴ κακῶς σοι δο-
κῶ βεβυλεῦθαι φερὶ ἐμαυτῆς, εἰ τὸν χρόνον ὃν ἔμελ-
λον ἰσοῖς φροσαναλώσειν, τῦτον εἰς παιδείαν κατεχρησά-
μιλω; καὶ ταῦτα μὲν καὶ ἄλλα μυρία τῆς φιλοσόφυ.

Φέρεται δὲ τῦ Κράτητος βιβλίον Ἐπιςολαὶ, ἐν αἷς
ἄριςα φιλοσοφεῖ, τὴν λέξιν ἔσιν ὅτε φθαπλησίως Πλά-

των. γέγραφε καὶ τραγῳδίας, ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα. οἷον ὅτι κἀκεῖνο,

Οὐχ εἷς πάτροις μοι πύργος, ἀ μία στέγη,
Πάσης δὲ χέρσος καὶ πόλισμα καὶ δόμος
Ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

ἐτελεύτησε δὲ γηραιός, καὶ ἐτάφη ἐν Βοιωτίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΜΕΝΙΠΠΟΣ.

Μένιππος, καὶ οὗτος Κυνικὸς, τὸ αὐέναθεν μὲν Φοίνιξ, δοῦλος, ὥς φησιν Ἀριστοκλῆς ἐν ἠθικοῖς. Διοκλῆς δέ, καὶ τὸν διασυρτὴν αὐτὸν Ποντικὸν εἶναι, καὶ Βάττωνα καλεῖσθαι. ἀπορήσαντα δὲ αἰτῶν διὰ φιλαργυρίαν, ἔχρυσε θησαυρὸν γενέσθαι.

Φέρεται μὲν ἓν σπουδαῖον ἐκεῖνο. τὰ δὲ βιβλία αὐτοῦ πολλοῦ καταγέλωτος γέμει, καί τι ἴσον τοῖς Μελεάγρου τοῦ κατ' αὐτὸν γενομένου. φησὶ δ' Ἕρμιππος ἡμεροδανειστὴν αὐτὸν γεγονέναι καὶ καλεῖσθαι. καὶ γὰρ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐξισχυριάζειν· ὥστε πάμπλειστα χρήματα ἀθροίζειν.

Τέλος δὲ ἐπιβουλευθέντα, παύσασθαι, καὶ ὑπ' ἀθυμίας βρόχῳ τὸν βίον μεταλλάξαι. καὶ ἡμεῖς ἐπαίξαμεν εἰς αὐτὸν,

Φοίνικα τὸ γένος, ἀλλὰ Κρητικὸν κυνὸς ἡμεροδανειστήν,

(Τὸν

(Τοῦτο γὰρ ἐπεκλήζετο) οἶδα Μένιππον ἴσως, Θήβησιν
Οὗτος ὡς διωρύχει ποτὲ, καὶ πάντ' ἀπέβαλεν.
Εἰ δ' ὀνόει φύσιν κυνὸς, αὑτὸν ἂν ἐκρέμασεν;

Ἔνιοι δὲ τὰ βιβλία αὐτῦ, οὐκ αὐτῦ εἶναι, ἀλλὰ Διονυσίου καὶ Ζωπύρου τῶν Κολοφωνίων, οἱ τὰ παίζειν ἕνεκα συγγράφοντες, ἐδίδοσαν αὐτῷ ὡς εὖ δυναμένῳ χαθέδαι.

Γεγόνασι δὲ Μένιπποι ἕξ. πρῶτος, ὁ γράψας τὰ περὶ Λυδῶν, καὶ Ξάνθον διπεμόμενος. δεύτερος, αὐτὸς οὗτος. τρίτος, Στρατονικεὺς σοφιστὴς, Καρ τὸ αὐτόχθον. τέταρτος, ἀνδριαντοποιός. πέμπτος καὶ ἕκτος, ζωγράφοι· μέμνηται δ' ἀμφοτέρων Ἀπολλόδωρος.

Τάδ' ἐν τῷ Κυνικῷ βιβλία ὀκτὼ δεκαξία, Νεκυία, Διαθῆκαι, Ἐπιστολαὶ κεκομψευμέναι ἀπὸ τῶν τῆς θεῶν προσώπων, Πρὸς τὰς φυσικὰς καὶ μαθηματικὰς καὶ γραμματικὰς καὶ γοητας Ἐπικούρου, καὶ τὰς θρησκευομένας ὑπ' αὐτῆς εἰκάδας, καὶ πάλλα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΜΕΝΕΔΗΜΟΣ.

ΜΕνέδημος, Κωλώτῃ τῷ Λαμψακηνῷ μαθητής.

Οὗτος (καθάφησιν Ἱππόβοτος) εἰς πόστον περατείας ἦλασεν, ὥστε ἐμνήσθη ἀλαλαβὼν χῆμα πεχήσει,

λέγων ἐπίσκοπος ἀφῖχθαι ἐξ ᾅδου τῶν ἁμαρτανομένων, ὅπως πάλιν κατιὼν ταῦτα ἀπαγγέλοι τοῖς ἐκεῖ δαίμοσιν. Ἦν δὲ αὐτῷ ἡ ἐσθὴς αὐστηρὸν χιτὼν φαιὸς ποδήρης, ᾧ ἐπὶ αὐτῷ ζώνη φοινικῆ. πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς, ἔχων συνφασμένα τὰ δώδεκα στοιχεῖα. ἐμβάται βαυκοὶ, πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μηλίνη.

Καὶ ὅτι μὲν οἱ βίοι τῶν Κυνικῶν ἑκάστου προσυπογράφομεν δὲ καὶ τὰ κοινῇ ἀρέσκοντα αὐτοῖς, αἵρεσιν κατ' ταύτην εἶναι ἐγκρίνοντες τὴν φιλοσοφίαν, καθάφασί τινες, οὖσαν βίου. ἀρέσκει δὲν αὐτοῖς τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον ἀφαιρεῖν, ἐμφερῶς Ἀντίσθενει τῷ Χίῳ· μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ, καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους, τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τὸν φάσκων λέγειν, Δεῖ ζητεῖν,

Ὅ, τι τοι ἐν μεγάροισι κακὸν τ' ἀγαθόν τε τέτυκται.

παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα. γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης τοὺς σώφρονας χρωμένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλλοτρίοις. περιαιροῦσι δὲ καὶ γεωμετρίαν, καὶ μουσικὴν, καὶ πάντα τὰ τοιαῦτα. ὁ γοῦν Διογένης πρὸς τὸν ἐπιδεικνύμενον αὐτῷ ὡροσκόπιον, Χρήσιμον, ἔφη, τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δεῖπνου. πρὸς τὸν ἐπιδεικνύμενον αὐτῷ μουσικὴν, ἔφη,

Γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος, εὖ θαλαμοῖσι καὶ τερετίσμασιν.

ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν, (ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ) ὁμοίως τοῖς Στωϊ-

Στωϊκοῖς· ἐπεὶ καὶ κοινωνία τις ταῖς δυσὶ ταύταις αἱρέσεσίν ἐστιν. ὅθεν καὶ τὸν κωνισμὸν εἰρήκασι συντομον ἐπ' ἀρετὴν ὁδόν. καὶ ἔτως ἐβίω καὶ Ζήνων ὁ Κιττιεύς. ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιῶν, αὐτάρκεσι χρωμένους σιτίοις, καὶ ἱβίβωσι μόνοις, πλέτε καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν. εἶναί τε γὰρ καὶ βοτάνας, καὶ παντάπασιν ὕδατι χρῶνται ψυχῷ, σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις. καθάπερ Διογένης, ὃς ἔφασκε θεῶν μὲν ἴδιον εἶναι, μηδενὸς δεῖσθαι. τῷ δὲ θεοῖς ὁμοίων, τὸ ὀλίγων χρῄζειν. ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθάφησιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ, καὶ ἀναπόβλητον ὑπάρχειν, ἀξιερασόντε τὸν σοφὸν, καὶ ἀναμάρτητον, καὶ φίλον τῷ ὁμοίῳ, τύχηγε μηδὲν ὑποπτεύειν. τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας, ἀδιάφορα λέγουσιν, ὁμοίως Ἀρίστωνι τῷ Χίῳ. καὶ ἔτοι μὲν οἱ κυνικοί. μετιτέον δὲ ἐπὶ τὰς Στωϊκὰς, ὧν ἦρξε Ζήνων, μαθητὴς γενόμενος Κράητος.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΖΗΝΩΝ.

Ζήνων, Μνασέα ἢ Δημέα, Κιττιεὺς, ἀπὸ Κύπρου πολίσματος Ἑλληνικοῦ, Φοίνικας ἐποίκους ἐχόντος.

Τὸν ῥάχηλον ὅπη θάτερα νοσηλικῶς ἴει, ὡς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ βίων. καὶ Ἀπολλώνιος δέ φησιν ὁ Τύριος, ὅτι ἰσχνὸς ἦν, ὑωμήκης, μελάγχρως, (ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα, καθά φησι Χρύσιππος ἐν πρώτῳ παροιμιῶν) παχύκνημός τε, καὶ ἀπαγὴς, καὶ ἀθενής· διὸ καί φησι Περσαῖος ἐν ὑωμνήμασι συμποτικοῖς, πὰ πλεῖσα αὐτὸν δεῖπνα παραιτεῖσθαι. ἔχαιρε δὲ, φασὶ, σύκοις χλωροῖς, καὶ ἡλιοκαΐαις.

Διήκουσε δὲ, καθάπερ προείρηται, Κράτητος· εἶτα καὶ Στίλπωνος ἀκέσαι φασὶν αὐτὸν καὶ Ξενοκράτους ἔτη δέκα, ὡς Τιμοκράτης ἐν τῷ Δίωνι, ἀλλὰ καὶ Πολέμωνος. Ἑκάτων δέ φησι, καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν πρώτῳ περὶ Ζήνωνος, χρησμολαζομένῳ αὐτῷ τί πράττων ἄ-

εισα

εἰσὰ βιώσεται, ἀποκείνασθαι τὸν θεὸν, εἰ συγχωτίζοιτο τοῖς νεκροῖς. ὅθεν ξυνεὶς τὰ τῷ ἀρχαίων ἀναγινώσκειν· τῷ γὲν Κράτητι παρέβαλε τὸν τρόπον. πορφύραν ἐμπεποδισμένος ὑπὸ τῆς Φοινίκης, πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν. ἀφελθὼν δὲ εἰς τὰς Ἀθήνας ἤδη τελακοντούτης, ἐκάθιζε πρός τινα βιβλιοπώλιον. ἀναγινώσκοντος δὲ ἐκείνου τὸ δεύτερον τῷ Ξενοφῶντος ἀπομνημονευμάτων, ἡδεὶς ἐπύθετο πῦ μαθείησιν οἱ τοιοῦτοι ἄνδρες. διαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης δείξας αὐτὸν, φησὶ, Τούτῳ ἀκολούθησον. ἐντεῦθεν ἤκουε τὸ Κράτητος, ἄλλως μὲν εὐτόνως πρὸς φιλοσοφίαν, αἰδήμων δὲ ὡς πρὸς τὸν Κυνικὸν ἀναισχυντίαν. ὅθεν ὁ Κράτης, βουλόμενος αὐτῷ καὶ τοῦτο θεραπεῦσαι, δίδωσι χύτραν φακῆς ἀπὸ τοῦ Κεραμεικοῦ φέρειν. ἐπεὶ δὲ εἶδεν αὐτὸν αἰδούμενον καὶ ὑπὸ καλύπτοντα, παίσας τῇ βακτηρίᾳ καταῤῥήγνυσι τὸν χύτραν. φεύγοντος δὲ αὐτοῦ, καὶ τῆς φακῆς καὶ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης, Τί φεύγεις φοινικίδιον; οὐδὲν δεινὸν πέποιθας. ἕως μὲν ἔν τινος ἤκουε τοῦ Κράτητος.

Ὅτε καὶ τὴν πολιτείαν αὐτοῦ γράψαντος, τινὲς ἔλεγον παίζοντες, ὅτι τῆς τοῦ κυνὸς ἀρᾶς αὐτὴν γεγραφέναι. γέγραφε δὲ πρὸς τῇ πολιτείᾳ καὶ τάδε· Περὶ τοῦ κατὰ φύσιν βίου, Περὶ ὁρμῆς, ἢ Περὶ ἀνθρώπου φύσεως, Περὶ παθῶν. Περὶ τοῦ καθήκοντος. Περὶ νόμου, Περὶ τῆς Ἑλληνικῆς παιδείας, Περὶ ὄψεως, Περὶ τοῦ ὅλου, Περὶ σημείων, Πυθαγορικά, Καθολικά, Περὶ λέξεων, Προβλημάτων Ὁμηρικῶν πρῶτα, Περὶ ποιητικῆς ἀκροάσεως. ἔστι δ' αὐτοῦ καὶ Τεχνικαὶ λύσεις, καὶ Ἔλεγχοι δύο, Ἀπομνημονεύματα, Κράτητος ἠθικά. καὶ τάδε μὲν τὰ βιβλία.

Τελευταῖον δὲ ἀπέθανε. καὶ τῷ προειρημένων ἤκουσε

ἕως

ἕως ἐτῶν ἐννέα καὶ εἴκοσιν· ἵνα καὶ φασὶν αὐτὸν εἰπεῖν, Νῦν δ' ἐπλέοντα, ὅτε ναυαγοῦντα. οἱ δὲ ὅτι τὰ Κράτητος τοῦτ' αὐτὸν εἰπεῖν. ἄλλοι δέ, διατρίβοντα ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τοῦ ναυαγίου, καὶ εἰπεῖν, Εὖγε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ. ἔνιοι δέ, διαθέμενον Ἀθήνησι τὰ φορτία, ἔπειτα ἁπλοῦσαι πρὸς φιλοσοφίαν.

Ἀνακάμπτων δὲ ἐν τῇ ποικίλῃ στοᾷ τῇ καὶ Πεισιανακτείῳ καλουμένῃ, ὑπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου, ποικίλῃ, διέθετο τοὺς λόγους, βουλόμενος καὶ τοῦτο χωρίον ἀνθρώπινον ποιῆσαι. ὅτι δὲ τῶν διακοσίων, τῶν πολιτῶν πρὸς τοὺς χιλίους τεθρακοσίους ἀνήρητο ἐν αὐτῷ.

Προσῆσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ, καὶ διὰ τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι, καθάφησι καὶ Ἐπίκουρος ἐν ὑπομνήμασι. καὶ πρότερόν γε Στωϊκοὶ ἐκαλοῦντο οἱ διατρίβοντες ἐν αὐτῇ ποικίλῃ, καθάφησι καὶ Ἐρατοσθένης ἐν ὀγδόῃ περὶ τῆς ἀρχαίας κωμῳδίας· οἳ καὶ τὸν λόγον ὅτι πλεῖον ηὔξησαν. ἐτίμων δὲ ἐν Ἀθήναις σφόδρα τὸν Ζήνωνα ἔπος, ὥστε καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι, καὶ χρυσῷ στεφάνῳ τιμῆσαι, καὶ χαλκῇ εἰκόνι. τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγεμόνας τὴν πατρῴαν εἰκόνα. ἀνεποιοῦντο δ' αὐτὸν καὶ οἱ ἐν Σιδῶνι Κιτιεῖς.

Ἀπεδέχετο αὐτὸν καὶ Ἀντίγονος, καὶ ἔποτε Ἀθήναζε ἦκοι, ἥκιστα αὐτοῦ· πολλάκις παρεκάλει ἀφικέσθαι ὡς αὐτόν. ὁ δὲ τοῦτο μὲν παρητήσατο, Περσαῖον δὲ σὺν τοῖς γνωρίμοις ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ τὸ γένος, καὶ ἦκμαζε κατὰ τὴν διακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος. ἣ δὲ ὑπόληψις τοῦ Ἀντιγόνου πρὸς τὸν εἶχε τὸν τρόπον, καθὰ καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν τοῖς περὶ Ζήνωνός φησι.

Βα-

Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν.

Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τὸν σὸν βίον, λόγων δὲ καὶ παιδείας καθυστερεῖν, καὶ τῆς τελείας εὐδαιμονίας, ἣν σὺ κέκτησαι. διόπερ ἔκεινα προσφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμὲ, πεπεισμένος σε μὴ ἀπερεῖν πρὸς τὸ ἀξιούμενον. σὺ δὲν πειράθητι ἐκ παντὸς τρόπου συμμίξαι μοι, διειληφὼς τοῦτο, διότι ἐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. ὁ γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ καλὰ καὶ ἀρετὴν, φανερός ἐστι καὶ τοὺς ὑποτεταγμένους παρασκευάζων πρὸς εὐπείθειαν. οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ πολὺ γίγνεσθαι καὶ τοὺς ὑποτεταγμένους.

Καὶ ὁ Ζήνων ἀντιγράφει ὧδε.

Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν.

Ἀποδέχομαί σε τὴν φιλομάθειαν, καθόσον τῆς ἀληθινῆς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ' ἐχὶ τῆς δημώδους καὶ εἰς δόξαν φερούσης ἠθῶν, αἰτέχῃ παιδείας. ὁ γὰρ φιλοσοφίας ὀρεγόμενος, ἐκκλίνων δὲ τὴν πολυθρύλλητον ἡδονὴν, ἢ τινῶν θηλύνει νέων ψυχὰς, φανερὸς εἰ ἐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων, ἀλλὰ καὶ προαιρέσει. φύσις δὲ εὐγενὴς μερίαν ἄσκησιν προσλαβοῦσα, ἔτι τε τὸν ἀφθόνως διδάξοντα, ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀπάλλαξιν τῆς ἀρετῆς. ἐγὼ δὲ σωέχομαι σώματι ἀδενεῖ καὶ γήρᾳ. ἐτῶν γὰρ εἰμὶ ὀγδοήκοντα, διόπερ ἐ δύναμαί σοι συμμίξαι. ὑποστέλλω δέ σοι τινὰς τῶν ἐμαυτοῦ συχολασῶν, οἳ τοῖς μὲν καὶ ψυχὴν ἐκ-

ὑπο-

ἀπολείπονται ἐμοῦ· τοῖς δὲ κατὰ σῶμα, προτερῶσιν. οἷς σωωὼν, εὐδενὸς καθυστερήσεις τῆς πρὸς τὴν τελείαν εὐδαιμονίαν ἥκόντων.

Ἀπέστειλε δὲ Περσαῖον καὶ Φιλωνίδην τὸν Θηβαῖον, ὧν ἀμφοτέρων Ἐπίκουρος μνημονεύει, ὡς σωωόντων Ἀντιγόνῳ, ἐν τῇ πρὸς Ἀριστόβουλον τὸν ἀδελφὸν ἐπιστολῇ.

Ἔδοξε δέ μοι καὶ τὸ ψήφισμα τὸ περὶ αὐτοῦ τῆς Ἀθηναίων ὑπογράψαι. καὶ ἔχει ὧδε.

Ψήφισμα.

Ἐπ' Ἀρρενίδου ἄρχοντος, ἐπὶ τῆς Ἀκαμαντίδος, πέμπτης πρυτανείας, Μαιμακτηριῶνος δεκάτῃ ὑστέρᾳ, ἕκτῃ καὶ εἰκοστῇ τῆς πρυτανείας, ἐκκλησία κυρία τῆς προέδρων ἐπεψήφισεν, Ἵππων Κρατισοτέλους, Ξυμπετέων, καὶ οἱ συμπρόεδροι, Θράσων Θρασωνίδης Ἀνακαιεύς εἶπεν· Ἐπειδὴ Ζήνων Μνασέου, Κιττιεὺς, ἔτη πολλὰ καὶ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος, καὶ τοῖς λοιποῖς ἀνὴρ ἀγαθὸς ὢν διατελεσε, καὶ τοὺς εἰς σύστασιν αὐτῷ τῆς νέων παρορμοῦσι παρακαλῶν, ἐπ' ἀρετὴν καὶ σωφροσύνην παρόρμα, πρὸς τὰ βέλτιστα παράδειγμα τὸν ἴδιον βίον ἐπιδεὶς ἅπασιν, ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετο· τύχῃ τῇ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Ζήνωνα Μνασέου Κιττιέα, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον, ἀρετῆς ἕνεκα καὶ σωφροσύνης. οἰκοδομῆσαι δὲ αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ. τῆς δὲ ποιήσεως τοῦ στεφάνου, καὶ τῆς οἰκοδομῆς τοῦ τάφου, χειροτονῆσαι τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἀνδρας ἐξ Ἀθηναίων. ἐγγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τοῦ δήμου, ἐν στήλαις δυσί.

σί. καὶ ἐξεῖναι αὐτῷ θεῖναι τίμιον, ἐν Ἀκαδημίᾳ· τίμιον δέ, ἐν Λυκείῳ. τὸ δ' ἀνάλωμα τὸ εἰς τὰς σήλας γινόμενον μερίσαι τὸν ἐπὶ τῆς διοικήσεως· ὅπως ἅπαντες ἴδωσιν ὅτι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τοὺς ἀγαθοὺς, καὶ ζῶντας τιμᾷ καὶ τελευτήσαντας. ἐπὶ δὲ τοῦ οἰκοδομήν κεχειροτόνηται Θράσων Ἀνακαιεὺς, Φιλοκλῆς, Πειραιεὺς, Φαῖδρος Ἀναφλύστιος, Μίδων Ἀχαρνεὺς, Μίκυθος Συμπαλληνεὺς, Δίων Παιανιεύς. καὶ τὸ ψήφισμα μὲν ὧδε ἔχει.

Φησὶ δ' Ἀντίγονος ὁ Καρύστιος ἐκ ἀρνεῖσθαι αὐτὸν εἶναι Κιττιέα. τῶν γὰρ εἰς τὴν ἐπισκευὴν τοῦ λεχώνος συμβαλλομένων εἷς ὢν, καὶ ἀναγραφόμενος ἐν τῇ σήλῃ, Ζήνωνος τοῦ φιλοσόφου, ἠξίωσε καὶ τὸ Κιττιεὺς προσθεῖναι.

Ποιήσας δέ ποτε κοῖλον ἐπίθημα τῇ λικύθῳ ἐφέρετο, νόμισμα, λῦσιν ἑτοίμου τῶν ἀναγκαίων ἵν' ἔχοι Κράτης ὁ διδάσκαλος. φασὶ δ' αὐτὸν ὑπὲρ χίλια τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα, καὶ ταῦτα δανείζειν ναυτικῶς.

Ἤθει δὲ ἀρτίδειπνος, καὶ μέλι, καὶ ὀλίγον εὐώδες οἰναρίου ἔπινε.

Παιδαρίοις τε ἐχρῆτο σπανίως, ἅπαξ ἢ δίς που παιδισκαρίῳ τινὶ, ἵνα μὴ δοκοίη μισογύνης εἶναι. σωΐ τε Περσαίῳ τῶν αὐτῶν οἰκίαν ὤκει. καὶ αὐτῷ αὐλητρίδιον εἰσαγαγόντος πρὸς αὐτὸν, ἀποπαίσας πρὸς τὸν Περσαῖον αὐτὸ ἀπήγαγεν.

Ἦν τε, φασὶν, εὐσύμβολος, ὡς πολλάκις Ἀντίγονον τὸν βασιλέα ἐπικωμάσαι αὐτῷ, καὶ πρὸς Ἀρισοκλέα τὸν κιθαρῳδὸν ἅμα αὐτῷ ἐλθεῖν ἐπὶ κῶμον, εἶτα μετ' οὐ πολὺ ἀναδῦναι.

Ἐξέκλινε δέ φασι καὶ τὸ πολυδημῶδες, ὡς ἐπ' ἄκρα κα-

καθίζεσθαι τὰ βάθρα, κερδαίνοντα τὸ γᾶν ἕτερον μέρος τῆς ἐνοχλήσεως. ὁ μὲν ὧδε μὴ πλειόνων δύο ἢ τριῶν θεραπάτει· ἐνίες δὲ καὶ χαλκὸν εἰσέπραττε τὰς θεραπαίνας τὸ διδόναι μὴ ἐνοχλεῖν, καθάφησι Κλεανθης ἐν τῷ περὶ χάλκου. πλειόνων τε θεραπαινῶν αὐτὸν, δείξας ἐν τῇ σοᾷ κατ' ἄκρα τὸ ξύλινον περιρρὲς τὰ βωμὰ, ἔφη, Τοῦτο ποτὲ ἐν μέσῳ ἔκειτο. ἤρξε δὲ τὸ ἐμποδίζειν, ἰδίᾳ ἐτέθη. καὶ ὑμεῖς μὴν ἐκ τῶν μέσων βαδίσαντες αὐτὰς, ἧττον ἡμῖν ἐνοχλήσετε.

Δημοχάρης δὲ τὸ Λάχητος ἀπαναζομένου αὐτὸν, καὶ φάσκοντος λέγειν καὶ γράφειν ὧν αὐ χρείαν ἔχῃ πρὸς Ἀντίγονον, ὡς ἐκεῖνα πάντα παρέξοντος, ἀκούσας ἐκέτευσε αὐτῷ συμβιβάσαι. λέγεται δὲ καὶ μὴ τὸν τελευτῶντα τὸν Ζηνώνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἶη θεάτρου ἀποδωδεκώς. ὅθεν καὶ ὁ Θράσωνος περιβλεπτὸν αὐτὸν τοῦ Ἀθηναίοις ἦπισεν αὐτῷ τοῦ ἐν Κεραμεικῷ παφλύου· ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν; Ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διαμαρτόντων ὑπ' ἐμοῦ, οὐδέποτε ἐχαυνώθη, οὐδὲ ταπεινὸς ὤφθη.

Ἦν δὲ καὶ ζητητικὸς, καὶ περὶ παντῶν ἀκριβολογούμενος. ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις φησὶν οὕτω,

Καὶ Φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
Πάντων ἱμείρουσαν, ὁ δ' ἔρρει γύργαθος αὐτῆς;
Μικρὸς ἐών, νᾶν δ' εἶχεν ἐλάσσονα σκινδαλοῖο.

Ἐπιμελῶς δὲ καὶ πρὸς Φίλωνα τὸν διαλεκτικὸν διεκείνετο, καὶ συνεσχόλαζεν αὐτῷ. ὅθεν καὶ θαυμασθῆναι ὑπὸ Ζηνώνος τοῦ νεωτέρου, ἔχ ἧττον Διοδώρου τοῦ διδασκάλου αὐτοῦ.

Ἦσαν δὲ περὶ αὐτὸν καὶ γυμνορρύπαροι τινες, ὥς φησι καὶ ὁ Τίμων,

Ὄφρα

Ὅρα πανεσάων σώαγον νέφος, οἳ περὶ παίπων
Πωχόπατοί τ' ἦσαν καὶ κυφόπατοι βροτοὶ ἀρῶν.

αὐτὸν δὲ συγγόντε εἶναι καὶ πικρὸν, καὶ τὸ πρόσωπον σωσεσασμένον. ἰδὲ δ' τελής τε σφόδρα, καὶ βαρβαρικῆς ἐχόμενος μικρολογίας, προχήματι οἰκονομίας.

Εἰ δέ τινα ὑπισκώπτει, περιεσαλμένως, καὶ οὐκ ἀδίως, ἀλλὰ πόρρωθεν. λέγω δὲ οἷον ὅτι τὸ καλλωπιζομένῳ ποτὲ ἔφη. ὀχετίον γάρτι οἰκείρως αὐτῷ ὑπερβαίνοντος, Δικαίως, εἶπεν, ὑφορᾷ τὸν πηλόν· ἐν γὰρ ἔξιν ἐν αὐτῷ καταπτείσασθαι· ὡς δὲ Κυνικός τις ἐφήσας ἔλαιον ἔχειν ἐν τῇ ληκύθῳ, προσήπησεν αὐτὸν, ἵνα ἔφη δώσειν. ἀπελθόντα μέντοι ἐκέλευε σπέφασθαι, ὁπότερος εἴη ἀναιδέστερος· ἐρωτικῶς δὲ διακειμένου Χρεμωνίδι, προσκαθιζόντων αὐτῷ τε καὶ Κλεάνθους, αὐέσει· θαυμάζοντος δὲ τὸ Κλεάνθους, ἔφη, Καὶ τῷ ἰατρῶν ἀκέω τῷ ἀγαθῶν, πρατίσον εἶναι φάρμακον πρὸς τὰ φλεγμαίνοντα, ἡσυχίαν. δυοῖν δ' ὑπεραπειμένοιν ἐν ποτῷ, καὶ τὸ ὑπὲρ αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδὶ, αὐτὸς ἐπεῖνον τῷ γόνατι. ὑπισραφέντος δέ, Τί ἂν οἴει τὸν ὑποπάτασε πάχειν ὑπὸ σέ; πρὸς δὲ τὸν φιλόπαιδα, Οὔτε τὰς διδασκάλους, ἔφη, φρενὰς ἔχειν, ἀεὶ διαβιβόντας ἐν παιδαρίοις, ἔτε ἐκείνους· ἔφασκε δὲ τὰς μὲν τῆς ἀσολοίκων λόγους, καὶ ἀπηρτισμένους· ὁμοίους εἶναι ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ· διοφθάλμους μὲν καὶ περιγεγραμμένους, καθὰ καὶ τὸ νόμισμα, ὄδε δὲ διὰ ταῦτα βελτίονας. τὰς δὲ τἀναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένους, καὶ σολοίκους, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις. Ἀείσωνος δὲ τὰ μαθητὰ πολλὰ διαλεγομένου καὶ διφυῶς, εἶπε δὲ καὶ τροπικῶς καὶ θρασέως, Ἀδυνάτην,

του, εἶπεν, εἰ μή σε ὁ πατὴρ μεθύων ἐχρύνησεν. ὅθεν αὐτὸν καὶ λάλον ἀπεκάλει, βραχυλόγος ὤν· πρὸς δὲ τὸν ὀψοφάγον, μηδὲν τοῖς συμβιωταῖς καταλιπόντα, ἀγκιθώντος ποτὲ μεγάλης ἰχθύος, ἆρας οἷος τ' ἦν κατεσθίειν. ἐμβλέψαντι δὲ, Τί ἔν, ἔφη, τοὺς συμβιώτας οἴει πάσχειν καθ' ἡμέραν, εἰ σὺ μὴ δυνάσαι μίαν ἡμέραν ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν; μειρακίῳ δὲ περιεργοτέρῳ πρὸς τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά τι, προσήγαγε πρὸς κάτοπτρον, καὶ ἐκέλευσεν ἐμβλέψαι. ἔπειτ' ἠρώτησεν εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ ζητήματα. πρὸς δὲ τὸν φάσκοντα ὡς ταπολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκει, χρείαν Σοφοκλέους προσενεγκάμενος, ἠρώτησεν εἴ τινα καλὰ ἔχειν αὐτῷ δοκεῖ. τοῦ δ' οὐκ εἰδέναι φήσαντος, Εἶτ' οὐκ αἰσχύνῃ, ἔφη, εἰ μή τι καλὸν ᾖ εἰρημένον ὑπ' Ἀντισθένους, τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύων· εἰ δέ τι καλόν, οὐδ' ἐπιβαλλόμενος κατέχειν; εἰπόντος δέ τινος ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, Λέγεις, εἶπε, ταλήθη· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν βραχείας εἶναι, εἰ δυνατόν. λέγοντος δέ τινος αὐτῷ περὶ Πολέμωνος, ὡς ἄλλα προθέμενος, ἄλλα λέγει, σκυθρωπάσας ἔφη, Πόσα γὰρ ἠγάπας τὰ διδόμενα; δεῖν δὲ ἔφη τὸν ἐκλεγόμενον, ὥσπερ τοὺς ὑποκριτὰς, τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν· τὸ μέντοι σῶμα μὴ διέλκειν. ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδυνατοῦντα δέ. τοῖς εὖ λεγομένοις οὐκ ἔφη δεῖν καταλείπεσθαι τόπον, ὥσπερ τοῖς ἀγαθοῖς τεχνίταις εἰς τὸ θεάσασθαι· τοὐναντίον δὲ τὸν ἀκούοντα ὕπνῳ πρὸς τοῖς λεγομένοις γίνεσθαι, ὥστε μὴ λαμβάνειν χρόνον εἰς τὴν ὑπομνημείωσιν. νεανίσκου πολλὰ λαλοῦντος, ἔφη, Τὰ ὦτά σε εἰς τὴν γλῶτταν συνερρύηκε. πρὸς τὸν καλὸν, εἰπόντα ὅτι οὐ δοκεῖ αὐτῷ ἐραστὴς εἶναι ὁ σορὸς, Οὐδὲν, ἔφη,

ἔφη, ὑμῶν ἀθλιώτερον ἔσεσθαι τῷ καλῶν. ἔλεγε δὲ κὴ τῷ φιλοσόφων τὰς πλείσας, τὰ μὲν πολλὰ ἀσόφως εἶναι, τὰ δὲ μικρὰ κὴ τυχηρὰ, ἀμαθεῖς. κὴ προεφέρετο τὰ τῦ Καφησίε· ὃς, ὑπιβαλλομένε τινὸς τῷ μαθητῶν μεγάλα φυσᾶν, παπάξας, εἶπεν, ὡς κὰν ἐν τῷ μεγάλῳ, τὸ εὖ κείμενον εἴη· ἀλλ' ἐν τῷ εὖ, τὸ μέγα. νεανίσκε δέ τινος θρασύτερον διαλεγομένε, Οὐκ ἂν εἴποιμι, ἔφη, μειράκιον, ἃ ἐπέρχεταί μοι. Ῥοδίε δέ τινος καλῦ κὴ πλησίε, ἄλλως δὲ μηδενὸ, προσκειμένε αὐτῷ, μὴ βελόμενος ἀνέχεσθαι, πρῶτον μὲν ὅτι τὰ κεκονιμένα τῷ βάθρων ἐκάθιζεν αὐτὸν, ἵνα μολυνθῇ τὴν χλανίδα· ἔπειτα εἰς τὸν τῷ πτωχῶν τόπον, ὥστε σωσανδρίζεσθαι τοῖς ῥάκεσιν αὐτῶν. κὴ τέλος ἀπῆλθεν ὁ νεανίσκος. πάντων ἔλεγεν ἀπρεπέστερον εἶναι τὸν τῦφον, κὴ μάλιστα ἐπὶ τῷ νέων. μὴ τὰς φωνὰς κὴ τὰς λέξεις δεῖν ἀτομνημονεύειν, ἀλλὰ περὶ τὴν διάθεσιν τῆς χρείας τὸν νῦν ἀσχολεῖσθαι, μὴ ὥσπερ ἔνιοί τινα, ἢ σκυβασίαν ἀναλαμβάνοντας. δεῖν τε ἔλεγε τὸς νέος πάσῃ κοσμιότητι χρῆσθαι, κὴ πορείᾳ, κὴ σχήματι, κὴ ῥιπῇ. σωνεχέστε προεφέρετο τὸς ὑπὸ τῦ Καπανέως Εὐριπίδε στίχος, ὅτι

Βίος μὲν ἦν αὐτῷ, ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν,
Φρόνημα δ' ἦν μεῖζον εἶχεν ἢ πενὴς ἀνήρ.

ἔλεγε δὲ μηδὲν εἶναι τῆς οἰήσεως ἀλλοτριώτερον πρὸς καταλῆψιν τῷ ὑπειλημμένων· μηδενός τε ἡμᾶς ἧττον εἶναι ἐνδεεῖς ὡς χρόνε. ἐρωτηθεὶς τίς ἐστι φίλος; Ἄλλος, ἔφη, ἐγώ. δεῖλον ὅτι κλοπῇ, φασὶν, ἐμαχέγε· τὰ δ' εἰπόντος, Εἴμαρτό μοι κλέψαι· Καὶ δαρῆναι, ἔφη. τὸ κάλλος εἶπε τῆς φωνῆς ἄνθος εἶναι. οἱ δὲ, τὰ κάλλη τὴν φωνὴν. τῷ γνωρίμων τινὸς παιδάριον μεμωλωπισμένον θεασάμενος, πρὸς αὐτὸν, Ὁρῶ σε, ἔφη, τὰ θυμὰ τὰ

χνη. πρὸς τὸν κεχρισμένον τῷ μύρῳ, Τίς ὄζει, ἔφη, ὁ γυναικὸς ὄζων; Διονυσίᾳ δὲ τῷ Μεταθεμμένῳ εἰπόντος αὐτῷ, ἦ τί αὐτὸν μόνον σ' διορθοῖ; ἔφη, Οὐ γάρ σοι πιστεύω. πρὸς τὸ φλυαρεῖν μειράκιον, Διὰ τοῦτο, εἶπε, δύο ὦτα ἔχομεν, στόμα δὲ εἷς, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν. ἐν συμποσίῳ κατακείμενος σιγῇ, τιὼ αἰτίαν ἠρωτήθη. ἔφη ἐν τῷ ἐγκαλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα, ὅτι παρ' ἐμοῦ τις σιωπᾷν ἐπισάμενος. ἦσαν δὲ οἱ ἐρωτήσαντες αὐτὸν Πτολεμαίου μὲν πρέσβεις ἀφικόμενοι, ἐμὲ δὲ βουλόμενοι μαθεῖν, τί εἴποιεν περὶ αὐτοῦ πρὸς τὸν βασιλέα. ἐρωτηθεὶς πῶς ἔχει πρὸς λοιδορίαν, Καθάπερ, εἶπεν, εἰ πρεσβύτης ἀλεκτρυὼν ἐπεγείροιτο. φησὶ δ' Ἀπολλώνιος ὁ Τύριος, ἕλκοντος αὐτὸν Κράτητος τῷ ἱματίῳ ὑπὸ Στίλπωνος, εἰπεῖν, Ὦ Κράτης, λαβὲ φιλοσόφων ὀξὺν ὑπηδέξιος ἢ μᾶλλον ὤπων· πείσας ἂν, ἕλκε τοῦτον. εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα σοὶ ἕψει, ἡ δὲ ψυχὴ σοφὸς Στίλπωνι.

Σωσιθέμιδι δὲ ἐμὲ Διοδώρῳ, καθά φησιν Ἱππόβοτος· παρ' ᾧ καὶ τὰ διαλεκτικὰ ἐξεπόνησεν. ἤδη δὲ προκόπτων εἰσῆλθε καὶ πρὸς Πολέμωνα ὑπ' ἀτυφίας. ὥστε φασὶ λέγειν ἐκεῖνον, Οὐ λανθάνεις, ὦ Ζηνών, ταῖς κρηπῖσι παρεισρέων θύραις, καὶ τὰ δόγματα κλέπτων φοινικικῶς μεταμφιεννύς. καὶ πρὸς τὸν δείξαντα δὲ αὐτῷ διαλεκτικὸν ἐν τῷ θερίζοντι λόγῳ ἑπτὰ διαλεκτικὰς ἰδίας, πυθέσθαι πόσας εἰσπράττεται μισθὸν· ἀκούσαντα δὲ ἑκατόν, διακοσίας αὐτῷ δοῦναι. τοσοῦτον ἦσκει φιλομάθειαν.

Φασὶ δὲ καὶ πρῶτον καθῆκον ὠνομακέναι, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι. τούς τε Ἡσιόδου στίχους μεταγράφειν ἔπω,

Κεῖνος μὲν παναρίστος ὃς αὐτὸς πάντα νοήσῃ.

Ἔθλος

Ἐθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτὸς πάντα νοήσει.

κρεῖττονα δὲ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον καὶ χρῆσθαι αὐτῷ, τῷ δι' αὐτῶν τὸ παῦ συννοήσαντος. τῷ μὲν δὲ εἶναι μόνον τὸ συνιέναι· τῷ δ' εὖ πειθομένῳ προσιέναι καὶ τῷ πράξειν.

Ἐρωτηθεὶς, φησὶ, διὰ τί αὐστηρὸς ὢν, ἐν τῷ πότῳ διάκειται; ἔφη, Καὶ οἱ θέρμοι πικροὶ ὄντες, βρεχόμενοι γλυκαίνονται. φησὶ δὲ καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ τῶν χρειῶν, αἱρεῖσθαι αὐτὸν ἐν ταῖς τοιαύταις κοινωνίαις. ἐλεγέ τε κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ. τὸ εὖ, γίνεσθαι μὴ πολὺ μικρὸν, ἢ μὴ μικρὸν εἶναι. οἱ δὲ, Σωκράτες τοῦτο εἶναι.

Ἦν δὲ παρτερικώτατος καὶ λιπώτατος, ἀπύρῳ βοφῇ χρώμενος, καὶ βίβωνι λεπτῷ. ὥστε λέγεσθαι ἐπ' αὐτῷ,

Τὸν δ' ὅτ' ἂρ χειμὼν κρυόεις, ἐπὶ ὄμβρος ἀπείρων,
Οὐ φλοῒ ἠελίοιο δαμάζεται, ἠὲ νόσος αἰνὴ,
Οὐχ ὡς τὶς δήμου ἐναείσιμος, ἀλλ' ὅγ' ἀτειρὴς
Ἀμφὶ διδασκαλίῃ πέπαται νύκτάς τε καὶ ἦμαρ.

Οἵγε μὴν Κωμικοὶ ἐλάθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων. ἵνα καὶ Φιλήμων φησὶν ὅπως ἐν δράματι Φιλοσόφοις,

Εἰς ἄρτον ὄψον ἰχθὺς, ὄπτιεῖν ὕδωρ.
Φιλοσοφίαν καινὴν δὲ τὸς φιλοσοφεῖ,
Πεινῆν διδάσκει, καὶ μαθητὰς λαμβάνει.

οἱ δὲ, Ποσειδίππου. ἤδη δὲ καὶ εἰς παροιμίαν ἡδὺν ἐχώρησεν. ἐλέγετο γοῦν ἐπ' αὐτῷ, Τὸ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος. ἀλλὰ καὶ Ποσειδίππος μεταφερομένοις,

ὡς ἐν ἡμέραις δέκα
Εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον.

Τῷ γὰρ ὄντι πάντας ὑπερέβαλλετο τῷ τε εἴδει τότῳ, καὶ τῇ σεμνότητι, καὶ δὴ καὶ Δία καὶ μακροβιότητι. ὀκτὼ γὰρ πρὸς τοῖς ἐνενήκοντα βιὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας. Περσαῖος δέ φησιν ἐν ταῖς ἠθικαῖς σχολαῖς, δύο καὶ ἑβδομήκοντα ἐτῶν τελευτῆσαι αὐτόν. ἐλθεῖν δὲ Ἀθήναζε δύο καὶ εἴκοσι ἐτῶν. ὁ δ' Ἀπολλώνιός φησιν ἀφηγήσασθαι τῆς σχολῆς αὐτὸν ἔτη δυοῖν δέοντα ἑξήκοντα.

Ἐτελεύτα δὴ ὅπως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε, καὶ τὸν δάκτυλον προὔρρηξε. παίσας δὲ τῇ χειρὶ τὴν γῆν, φησὶ τὸ ἐκ τῆς Νιόβης,

Ἔρχομαι, τί μ' αὔεις;

καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν. Ἀθηναῖοι δ' ἔθαψαν αὐτὸν ἐν τῷ Κεραμεικῷ, καὶ ψηφίσματι τοῖς προειρημένοις ἐτίμησαν, τὴν ἀρετὴν αὐτῷ προσμαρτυρήσαντες. καὶ Ἀντίπατρος ὁ Σιδώνιος ἐποίησεν ὅπως·

Τῆσος ὅδε Ζήνων Κιτίῳ φίλος, ὃς πότ' Ὄλυμπον
Ἔδραμε, καὶ Οἴτην Πήλιον εὐθέμενος.
Οὐδ' ἄρεθ' Ἡρακλῆος ἀέθλια· τὰν δὲ πότ' ἄτρα
Ἀσκητὸν μύνας εὗρε σαοφροσύνας.

καὶ ἄλλο Ζηνάδοτος ὁ Στωϊκὸς, Διογένους μαθητής.

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον,
Ζήνων, σὺν πολιῷ σεμνὸς ὑπηκοντίῳ.
Ἄρσενα δὲ λόγον εὗρες, ἀναθλήσω δὲ προνοίᾳ
Αἵρεσιν, ἀξέσω πατρὶ ἐλευθερίας.

Εἰ

Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἰῶ καὶ ὁ Κάδμος
Κεῖνος, ἀφ' ἑ γραπταὶ Ἑλλάς ἔχει σελίδα.

καὶ κοινῇ δὲ καὶ πάντων τῶν Στωϊκῶν Ἀθηνόδοτος ὁ ἐπιγραμματοποιός φησιν ὅπως·

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ παράειρα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι·
Τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἄδε γὰρ ἀνδρῶν
Μάνα καὶ βιοτᾶν ῥύσατο καὶ πόλιος,
Σαρκὸς δ' ἡδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
Ἢ μία τῶν Μνήμης ἰῶυσε θυγατέρων.

εἰπομὲν ὡς ἐτελεύτα ὁ Ζηνών, καὶ ἡμεῖς ἐν τῷ παμμέτρῳ τέτον τὸν τρόπον·

Τὸν Κιτιᾶ Ζηνῶνα θανεῖν λόγος, ὡς ὑπὸ γήρως
Πολλὰ καμὼν λύθη· οἱ δέ, μύθων ἄσιτος·
Οἱ δ', ὅτι προσκόψας ποτ' ἔφη, χθεὶ γαῖαν ἀλοίσας,
Ἔρχομαι αὐτόματος δή· τί καλεῖς με μολέ;

οἱ δὲ καὶ τέτον τὸν τρόπον τελευτῆσαι φασὶν αὐτόν. καὶ τὰ μὲν περὶ τῆς τελευτῆς ταῦτα.

Φησὶ δὲ Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις, τὸν πατέρα αὐτῦ Μνασέαν πολλάκις, ἅτε ἔμπορον, Ἀθήναζε παραγίνεσθαι, καὶ πολλὰ τῶν Σωκρατικῶν βιβλίων ἀποφέρειν ἔτι παιδίον ὄντι τῷ Ζηνῶνι· ὅθεν καὶ ἐν τῇ πατρίδι συγκεκροτῆσθαι. καὶ ἔπως ἐλθόντα εἰς Ἀθήνας, Κράτητι παραβαλεῖν. δοκεῖ δὲ (φησὶ) καὶ τὸ τέλος αὐτὸς ὁρίσαι τῶν πλανωμένων περὶ τὰς ἀποφάσεις. ὤμνυε δὲ (φασὶ) κατὰ πάππαζιν, καθάπερ Σωκράτης τὸν κύνα.

Ε᾽νιοι μέντοι (ἐξ ὧν εἰσιν οἱ περὶ Κάσιον τὸν Σκεπτικὸν) ἐν πολλοῖς κατηγορεῖντες τῦ Ζηνώνος, πρῶτον μὲν τὴν ἐγκύκλιον παιδείαν ἄχρηστον ἀποφαίνειν, λέγοντα ἐν ἀρχῇ τῆς πολιτείας· δεύτερον, ἐχθρὰς, καὶ πολεμίας, καὶ βλακας, καὶ ἀλλοτρίας, λέγειν αὐτὸν ἀλλήλων εἶναι πάντας τὰς μὴ σπουδαίας, καὶ γονεῖς τέκνων, καὶ ἀδελφὰς ἀδελφῶν, οἰκείας οἰκείων. πάλιν ἐν τῇ πολιτείᾳ, παραινέσαντα πολίτας, καὶ φίλους, καὶ οἰκείους, καὶ ἐλευθέρους τὰς σπουδαίας μόνον. ὥστε τοὺς Στωϊκοὺς οἱ γονεῖς καὶ τὰ τέκνα ἐχθροί· ἃ γάρ εἰσι σοφοί. κοινάς τε τὰς γυναῖκας δογματίζειν, ὁμοίως Πλάτωνι ἐν τῇ πολιτείᾳ. καὶ μὴ τοὺς οἴκους, μήτε ἱερὰ, μήτε δικαστήρια, μήτε γυμνάσια δεῖν ταῖς πόλεσιν οἰκοδομεῖσθαι. μήτε νομίσματος ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν, ἤτε ἀποδημίας ἕνεκεν. καὶ ἐθνῆτι δὲ τῇ αὐτῇ κελεύει χρῆσθαι ἄνδρας καὶ γυναῖκας, καὶ μηθενὶ μέρει ἀποκεκρύφθαι.

Ὅτι δ᾽ αὐτῷ ἐστιν ἡ Πολιτεία, καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας φησί. περί τε ἐρωτικῶν διήλεκται, καὶ τὴν ἀρχὴν τῆς ἐπιγραφομένης Ἐρωτικῆς τέχνης. ἀλλὰ καὶ ἐν ταῖς ἐξηβιβαῖς τὰ ἀδιάφορα γράφει. τοιαῦτα δέ τινά ἐστι τὰ πρὸς τὸν Κάσιον, ἀλλὰ καὶ Γνίσιδώρῳ τῷ Περγαμηνῷ φέρει· ὃς καὶ ἐκτεθεῖσθαι φησὶν ἐν τῷ βιβλίῳ τὰ κακῶς λεγόμενα πρὸς τῶν Στωϊκῶν ὑπ᾽ Ἀθηνοδώρου τοῦ Στωϊκοῦ, πεισθέντος τοῦ ἐν Περγάμῳ βιβλιοθήκου· εἶτα μετατεθεῖσθαι αὐτὰ, φωραθέντος τοῦ Ἀθηνοδώρου, καὶ κινδυνεύσαντος. καὶ τοσαῦτα μὲν περὶ τῶν ἀθετουμένων αὐτῷ.

Γεγόνασι δὲ Ζηνώνες ἑπτά· πρῶτος, ὁ Ἐλεάτης, περὶ οὗ λέξομεν· δεύτερος, αὐτὸς οὗτος· τρίτος, Ῥόδιος, τὸν ἐπίκλην γεγραφὼς ἱστορίαν ἐπιπαίαν· τέταρτος, ἱστο-

ρικὸς,

εικὸς, τὸν Πύρρα γεγραφὼς ἱστορίαν εἰς Ἰταλίαν καὶ Σικελίαν, ἀλλὰ καὶ ἐπιτομὴν τῶν πεπραγμένων Ῥωμαίοις τε καὶ Καρχηδονίοις· πέμπτος, Χρυσίππου μαθητὴς, βιβλία μὲν ὀλίγα γεγραφὼς, μαθητὰς δὲ πλείστους καταλελοιπώς· ἕκτος, ἰατρὸς Ἡροφίλειος, νοῆσαι μὲν ἱκανὸς, γράψαι δὲ ἄτονος· ἕβδομος, γραμματικὸς, ἔτι τοῖς ἄλλοις καὶ ἐπιγράμματα φέρεται. ὄγδοος, Σιδώνιος τὸ γένος, φιλόσοφος Ἐπικούρειος, καὶ νοῆσαι καὶ ἑρμηνεῦσαι σαφής.

Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, εὐδοξοι δὲ, Περσαῖος Δημητρίου Κιτιεὺς, ὃν οἱ μέν, γνώριμον αὐτόν· οἱ δὲ, οἰκέτην σφᾶ τῷ εἰς βιβλιογραφίαν πεμπομένων αὐτῷ πρὸς Ἀντίγονον, ἔτι καὶ ζοφιὴς ὢν τὸν παιδὸς Ἀλκυονέως. ἀπειραν δή ποτε βουληθεὶς λαβεῖν αὐτὸν ὁ Ἀντίγονος, ἐποίησεν αὐτῷ πλασῶς ἀγγελθῆναι, ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῷ πολεμίων ἀφορμήν· καὶ συνθρωπάσαντος, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον; βιβλία δὲ αὐτοῦ φέρεται τάδε· Περὶ βασιλείας. Πολιτεία Λακωνική. Περὶ γάμου. Περὶ ἀσεβείας. Θυέστης. Περὶ ἐρώτων. Προτρεπτικοί. Διατριβῶν, Χρειῶν τέσσαρα. Ἀπομνημονεύματα. Πρὸς τὰς Πλάτωνος νόμους, ἑπτά. Ἀρίστων Μιλτιάδης, Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος. Ἥρυλλος Καρχηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών. Διονύσιος, ὁ μεταθέμενος εἰς τὴν ἡδονήν. διὰ γὰρ σφοδρὰν ὀφθαλμίαν ὤκνησεν ἔτι λέγειν τὸν πόνον ἀδιάφορον· ἕτος ὢν Ἡρακλείτης. Σφαῖρος Βοσπορηνός. Κλεάνθης Φανίου Ἄσσιος, ὁ διδεξάμενος τὴν σχολήν· ὃν καὶ ἀφωμοίουν ταῖς σκληροκήροις δέλτοις, αἱ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. διήκουσε δ' ὁ Σφαῖρος καὶ Κλεάνθους μετὰ τὴν Ζήνωνος τελευτήν. καὶ λέγομεν περὶ αὐτοῦ

ἐν τῷ περὶ Κλεάνθους. ἦσαν δὲ Ζήνωνος μαθηταὶ καὶ οἵδε, (καθά φησιν Ἱππόβοτος) Ἀθηνόδωρος Σολεύς· Φιλωνίδης Θηβαῖος· Κάλλιππος Κορίνθιος· Ποσειδώνιος Ἀλεξανδρεύς· Ζήνων Σιδώνιος.

Καινὴ δὲ περὶ πάντων τῆς Στωϊκῶν δογμάτων ἔδοξέ μοι ἐν τῷ Ζήνωνος εἰπεῖν βίῳ, ἀφ' οὗ τὸ τέλος κτίζειν ἤρξατο τῆς αἱρέσεως. ἔστι μὲν ἔν αὐτῇ καὶ τὰ προσγεγραμμένα βιβλία πολλά, ἐν οἷς ἐλάλησεν ὡς ἔδει τῆς Στωϊκῶν. τὰ δὲ δόγματα κοινῶς ὧδε πάσι. λελέχθω δ' ὅτι κεφαλαίων, ὥσπερ καὶ ὅτι τῆς ἄλλων ποιεῖν εὐώδους.

Τριμερῆ φασὶν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον. εἶναι γὰρ αὐτοῦ τὸ μέν τι, φυσικόν· τὸ δέ, ἠθικόν· τὸ δέ, λογικόν. οὕτω δὲ πρῶτος διεῖλε Ζήνων ὁ Κιττιεὺς ἐν τῷ Περὶ λόγου, καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ λόγου, καὶ ἐν τῇ πρώτῃ τῆς φυσικῶν, καὶ Ἀπολλόδωρος ὁ Ἐπικούρειος ἐν τῷ πρώτῳ τῆς εἰς τὰ δόγματα εἰσαγωγῆς, καὶ Εὔδρομος ἐν τῇ ἠθικῇ στοιχειώσει, καὶ Διογένης ὁ Βαβυλώνιος, καὶ Ποσειδώνιος. ταῦτα δὲ τὰ μέρη ὁ μὲν Ἀπολλόδωρος τόπους καλεῖ· ὁ δὲ Χρύσιππος καὶ Εὔδρομος, εἴδη· ἄλλοι, γένη. Εἰκάζουσι δὲ ζῴῳ τὴν φιλοσοφίαν, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογικὸν προσομοιοῦντες· τοῖς δὲ σαρκώδεσι, τὸ ἠθικόν· τῇ δὲ ψυχῇ, τὸ φυσικόν· ἢ πάλιν ᾠῷ· τὰ μὲν γὰρ ἐκτός, εἶναι τὸ λογικόν· τὰ δὲ μετὰ ταῦτα, τὸ ἠθικόν· τὰ δ' ἐσωτάτω, τὸ φυσικόν. ἢ ἀγρῷ παμφόρῳ· ἕ τὸν μὲν περιβεβλημένον φραγμόν, εἶναι τὸ λογικόν. τὸν δὲ καρπόν, τὸ ἠθικόν· τὴν δὲ γῆν, ἢ τὰ δένδρα, τὸ φυσικόν. ἢ πόλει καλῶς τετειχισμένῃ, καὶ κατὰ λόγον διοικουμένῃ. καὶ ἔστιν μέρος τὸ ἕτερα προκεῖσθαι, (καθά τινες αὐτῆς φασιν) ἀλλὰ μεμίχθαι αὐτά. καὶ τὴν ᾠδὴν δέ σιν μιχ-

μιπτέον ἐποίουν. ἄλλοι δὲ πρῶτον μὲν τὸ λογικὸν τάττουσι· δεύτερον δὲ, τὸ φυσικόν· καὶ τρίτον, τὸ ἠθικόν. ὧν ἔστι Ζήνων ἐν τῷ Περὶ λόγου, καὶ Χρύσιππος, καὶ Ἀρχέδημος, καὶ Εὔδημος· ὁ γὰρ Πτολεμαὶς Διογένης ἀπὸ τοῦ ἠθικοῦ ἄρχεται· ὁ δ' Ἀπολλόδωρος, δεύτερα τὰ ἠθικά· Παναίτιος δὲ καὶ Ποσειδώνιος, ἀπὸ τοῦ Φυσικοῦ ἄρχονται, καθάφησι Φανίας ὁ Ποσειδωνίου γνώριμος, ἐν τῷ πρώτῳ τῶν Ποσειδωνείων σχολῶν. ὁ δὲ Κλεάνθης ἓξ μέρη φησί· διαλεκτικὸν, ῥητορικὸν, ἠθικὸν, πολιτικὸν, φυσικὸν, θεολογικόν. ἄλλοι δὲ ὁ τὸ λόγου τοῦτα μέρη φασὶν, ἀλλ' αὐτῆς τῆς φιλοσοφίας· ὡς Ζήνων ὁ Ταρσεύς.

Τὸ δὲ λογικὸν μέρος φασίν ἔνιοι εἰς δύο διαιρεῖσθαι τόπους, εἰς ῥητορικὸν, καὶ εἰς διαλεκτικόν. τινὲς δὲ καὶ εἰς τὸ ὁρικὸν εἶδος, τὸ περὶ κανόνων καὶ κριτηρίων. οἱ δὲ τὸ ὁρικὸν προδιαιροῦσι. τὸ μὲν γὰρ περὶ κανόνων καὶ κριτηρίων προλαμβάνουσι πρὸς τὸ τοῦ ἀληθοῦς εὑρεῖν· (ἐν αὐτῷ γὰρ τὰς τῶν φαντασιῶν διαφορὰς ἀποδιδόασι) καὶ τὸ ὁρικὸν δὲ ὁμοίως πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. διὰ γὰρ τῶν ἐννοιῶν τὰ πράγματα λαμβάνεται. τούτου τε ῥητορικοῦ ἐπισήμου ὄντος, τὸ εὖ λέγειν περὶ τῶν ἐν διεξόδῳ λόγων, καὶ τοῦ διαλεκτικοῦ τὸ ὀρθῶς διαλέγεσθαι περὶ τῶν ἐρωτήσει καὶ ἀποκρίσει λόγων. ὅθεν καὶ ὅπως αὐτοῦ δεῖζονται, ἐπισήμου ἀληθῶν καὶ ψευδῶν καὶ ἀδιαφόρων. καὶ τοῦ μὲν ῥητορικοῦ αὐτοῦ εἶναι λέγουσι τελικόν· τὸ μὲν γὰρ αὐτῆς, εἶναι συμβουλευτικόν· τὸ δὲ, δικανικόν· τὸ δὲ, ἐγκωμιαστικόν. εἶναι δ' αὐτῆς τοῦ διαίρεσιν, εἴς τε τοῦ εὕρεσιν, καὶ εἰς τοῦ φράσιν, καὶ εἰς τοῦ τάξιν, καὶ εἰς τοῦ ὑπόκρισιν. τὸν δὲ ῥητορικὸν λόγον, εἴς τε τὸ προοίμιον, καὶ εἰς τὴν διήγησιν, καὶ τὰ πρὸς τὰς ἀντιδίκους, καὶ τὸν ἐπίλογον.

Τὴν

Τῶν διαλεκτικὴν διαιρεῖσθαι, εἴς τε τὸν περὶ τῆς σημαινομένων καὶ τῆς φωνῆς τόπον. καὶ τὸν μὲν τῶν σημαινομένων, εἴς τε τὸν περὶ τῶν φαντασιῶν τόπον, καὶ τῶν ἐκ τούτων ὑφισαμένων λεκτῶν, ἀξιωμάτων, καὶ αὐτοτελῶν, καὶ κατηγορημάτων. καὶ τῶν ὁμοίων ὀρθῶν καὶ ὑπτίων, καὶ ἡρῶν καὶ εἰδῶν· ὁμοίως δὲ καὶ λόγων καὶ τρόπων καὶ συλλογισμῶν, καὶ τῶν περὶ τῶν φωνῶν καὶ τὰ πράγματα σοφισμάτων. ὧν εἶναι ψευδομένους λόγους, καὶ ἀληθεύοντας, καὶ ἀποφάσκοντας, σωρείτας τε καὶ τοὺς ὁμοίους τούτους, ἐλλιπεῖς καὶ ἀπόρους, καὶ περαίνοντας, καὶ ἐγκαλυμμένους, κερατίδας τε καὶ ἀτίδας καὶ θερίζοντας. εἶναι δὲ τῆς διαλεκτικῆς ἴδιον τόπον καὶ τὸν προειρημένον περὶ αὐτῆς τῆς φωνῆς, ἐν ᾧ δείκνυται ἡ ἐγγράμματος φωνὴ, καὶ τίνα τὰ τοῦ λόγου μέρη· καὶ περὶ σολοικισμοῦ, καὶ βαρβαρισμοῦ, καὶ ποιημάτων, καὶ ἀμφιβολιῶν, καὶ περὶ ἐμμελοῦς φωνῆς, καὶ περὶ μουσικῆς, καὶ περὶ ὅρων (καθά τινας) καὶ διαιρέσεων, καὶ λέξεων. εὐχρηστάτην δέ φασιν εἶναι τὴν περὶ τῶν συλλογισμῶν θεωρίαν· τὸ γὰρ ἀποδεικτικὸν ἐμφαίνειν, ὅπερ συμβάλλεσθαι πολὺ πρὸς διόρθωσιν τῶν δογμάτων· καὶ τάξιν καὶ μνήμην τὸ ὀπισατικὸν καταλημμα ἐμφαίνειν. εἶναι δὲ τὸν λόγον αὐτὸν συνημμάτων καὶ ἀποφάσεων· τὸν δὲ συλλογισμὸν, λόγον συλλογιστικὸν ἐκ τούτων. τὴν δὲ ἀπόδειξιν, λόγον, δι' ὧν μᾶλλον καταλαμβανομένων, τὸ ἧττον καταλαμβανόμενον περὶ παντῶν. τὴν δὲ φαντασίαν, εἶναι τύπωσιν ἐν ψυχῇ, τὸ ὄνομα οἰκείως μετενηνεγμένον ἀπὸ τῶν τύπων ἐν τῷ κηρῷ ἀπὸ τοῦ δακτυλίου γινομένων. τῆς δὲ φαντασίας, τὴν μὲν, καταληπτικὴν· τὴν δὲ, ἀκαταλήπτου. καταληπτικὴν μὲν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασὶ, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον, ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγ-

μένην

μένων. ἀκατάληπτον δὲ, τῶν μὴ ἀπὸ ὑπάρχοντος· ἢ ἀπὸ ὑπάρχοντος μὲν, μὴ κατ' αὐτὸ δὲ τὸ ὑπάρχον τὴν μίξιν ἔχοντα, μηδὲ ἔκτυπον. αὐτῶν δὲ τὴν διαλεκτικὴν ἀναγκαίαν εἶναι, καὶ ἀρετὴν ἐν εἴδει τῶν περὶ λόγους ἀρετῶν· τήν τε ἀφορμητικὴν, ἐπιστήμην τοῦ πότε δεῖ συγκατατίθεσθαι, καὶ μή· τὴν δὲ ἀνεικαιότητα, ἰσχυρὸν λόγον πρὸς τὸ εἰκὸς, ὥστε μὴ ἐνδιδόναι αὐτῷ. τὴν δὲ ἀνελεγξίαν, ἰσχὺν ἐν λόγῳ, ὥστε μὴ ἀπάγεσθαι ὑπ' αὐτοῦ εἰς τὸ ἀντικείμενον. τὴν δὲ ἀμαθαιότητα, ἕξιν ἀναφέρουσαν τὰς φαντασίας ἐπὶ τὸν ὀρθὸν λόγον. αὐτήν τε τῶν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ, ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει, ἀμετάπτωτον ὑπὸ λόγου. καὶ ἀρχὴν δὲ τῆς διαλεκτικῆς θεωρίας τὸν σοφὸν ἄπτωτον ἔσεσθαι ἐν λόγῳ· τό, τε ὂν ἀληθὲς καὶ τὸ ψεῦδος διαγινώσκεσθαι ὑπ' αὐτῆς, καὶ τὸ πιθανὸν, τό, τε ἀμφιβόλως λεγόμενον διδυκρινεῖσθαι. χωρίς τε αὐτῆς, οὐκ εἶναι ὁδῷ ἐρωτᾶν καὶ ἀποκρίνασθαι. διατείνειν δὲ τῶν ἐν ταῖς ἀποφάσεσι προπέτειαν καὶ ὅπῃ τὰ γινόμενα, ὥστε εἰς ἀκοσμίαν καὶ εἰκαιότητα βέπεσθαι τὰς ἀγυμνάστως ἐχοντας τὰς φαντασίας. οὐκ ἄλλως τε ὀξὺν, καὶ ἀγχίνουν, καὶ τὸ ὅλον δεινὸν ἐν λόγοις φαντάσεσθαι τὸν σοφόν· τὰ γὰρ αὐτῆς εἶναι ὀρθῶς διαλέγεσθαι καὶ διαλογίζεσθαι, καὶ τὰ αὐτὰ πρός τε τὰ προκείμενα διαλεχθῆναι, καὶ πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι, ἅπερ ἐμπείρου διαλεκτικῆς ἀνδρὸς εἶναι. ἐν οἷς λογικοῖς ταῦτά τε αὐτοῖς δοκεῖν κεφαλαιωδῶς.

Καὶ, ἵνα καὶ κατ' μέρος εἰποιμι καὶ πάθε, ἅπερ αὐτῶν εἰς τὴν εἰσαγωγικὴν τείνει τέχνην, καὶ αὐτὰ ὅπῃ λέξεως τίθησι Διοκλῆς ὁ Μάγνης ἐν τῇ ἐπιδρομῇ τῶν φιλοσόφων, λέγων ὅτως· Ἀρέσκει τοῖς Στωϊκοῖς τὸν περὶ φαντασίας καὶ αἰσθήσεως προπάττειν λόγον, καθότι

πρῶ

τὸ κριτήριον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, καὶ φησὶν φαντασία ἕξις, καὶ καθότι ὁ Ζήνων συγκαταθέσεως, καὶ ὁ Κλεάνθης καταλήψεως καὶ νοήσεως λόγος προάγων τῶν ἄλλων, ἐκ ταύτης φαντασίας συνίσταται. προηγεῖται γὰρ ἡ φαντασία, εἶθ' ἡ διάνοια, ἐκλαλητικὴ ὑπάρχουσα, ἃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λόγῳ. ἐκφέρει δὲ φαντασία καὶ φάντασμα. φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἷα γίνεται καὶ τοῖς ὕπνοις· φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ, τουτέστιν, ἀλλοίωσις, ὡς ὁ Χρύσιππος ἐν τῇ δυωδεκάτῃ Περὶ ψυχῆς ὑφίσαται. οὐδὲ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος· ἐπεὶ ἀνάγκη τύπους καὶ τὸ αὐτὸ πολλοῖς καὶ τὸ αὐτὸ ἅμα γίνεσθαι· νοεῖται δὲ ἡ φαντασία ἡ ἀπὸ ὑπάρχοντος καὶ τὸ ὑπάρχον ἐναπομεμαγμένη, καὶ ἐναποτετυπωμένη, καὶ ἐναπεσφραγισμένη, οἷα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. τῶν δὲ φαντασιῶν, κατ' αὐτούς, αἱ μέν εἰσιν αἰσθητικαί· αἱ δ', οὔ. αἰσθητικαὶ μέν, αἱ διὰ αἰσθητηρίων ἢ αἰσθητηρίου λαμβανόμεναι· οὐκ αἰσθητικαὶ δέ, αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων, καὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων. τῶν δὲ αἰσθητικῶν ἀπὸ ὑπαρχόντων μὲν ἕξεως καὶ συγκαταθέσεως γίνονται. εἰσὶ δὲ τῶν φαντασιῶν καὶ ἐμφάσεις, αἳ ὡς αἱ ἀπὸ ὑπαρχόντων γινόμεναι. ἔτι τῶν φαντασιῶν αἱ μέν, εἰσὶ λογικαί· αἱ δέ, ἄλογοι. λογικαὶ μέν, αἱ τῶν λογικῶν ζώων· ἄλογοι δέ, αἱ τῶν ἀλόγων. αἱ μέν οὖν λογικαί, νοήσεις εἰσίν. αἱ δ' ἄλογοι, ἃ τετυχήκασιν ὀνόματος. καὶ αἱ μέν εἰσι τεχνικαί· αἱ δέ, ἄτεχνοι. ἄλλως γοῦν θεωρεῖται ὑπὸ τεχνίτου εἰκών, καὶ ἄλλως ὑπὸ ἀτέχνου. αἴσθησις δὲ λέγεται καὶ τὸ Σπουσικὸν, τό, τε ἀφ' ἡγεμονικοῦ πνεῦμα, καὶ ὅτι τὰς αἰσθήσεις δίηκον, καὶ ἡ δι' αὐτῶν καταληψις, καὶ ἡ τῶν αἰσθητηρίων κατασκευὴ,

καθ'

καθ' ἥν τινες πηροὶ γίνονται. καὶ ἡ ἐνέργεια δὲ αἴσθησις καλεῖται. ἡ δὲ καταληψις γίνεται κατ' αὐτὰς αἰσθήσει μὲν, ὡς λευκῶν καὶ μελάνων, καὶ ξαχέων καὶ λείων· λόγῳ δὲ τῷ δι' ὑποδείξεως συναγομένων, ὥσπερ τὸ τὰς θεὰς εἶναι καὶ προνοεῖν τούτας. τῷ γὰρ νοεμένων, τὰ μὲν καὶ προλήπτων ἐνοήθη· τὰ δὲ, καθ' ὁμοιότητα· τὰ δὲ, κατ' ἀναλογίαν· τὰ δὲ, καὶ μεταθέσιν· τὰ δὲ, καὶ συνθέσιν· τὰ δὲ, κατ' ἐναντίωσιν. καὶ προλήπτων μὲν ἂν ἐνοήθη τὰ αἰσθητά· καθ' ὁμοιότητα δὲ, τὰ ὑπό τινος προδηκεμένα, ὡς Σωκράτης ὑπὸ τῆς εἰκόνος· καὶ ἀναλογίαν δὲ, αὐξητικῶς μὲν ὡς ὁ Τιτυὸς καὶ Κύκλωψ, μειωτικῶς δὲ, ὡς ὁ Πυγμαῖος. καὶ τὸ κοῖλον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη, ὑπὸ τῶν μικροτέρων σφαιρῶν. καὶ μεταθέσιν δὲ, οἷον ὀφθαλμοὶ ὑπὸ τὰ σήθεα. καὶ συνθέσιν δὲ ἐνοήθη Ἱππόκενταυρος· καὶ κατ' ἐναντίωσιν, θανάτου. νοεῖται δὲ καὶ μεταβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος· φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν· καὶ καὶ στέρησιν, οἷον ἄχειρ. τισὰ δὲ τινὰ καὶ περὶ φαντασίας καὶ αἰσθήσεως καὶ νοήσεως δογματίζουσι.

Κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τινές, τὴν ὑπάρχοντος, καθά φησιν Χρύσιππος ἐν τῇ δωδεκάτῃ τῶν φυσικῶν, καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. ὁ μὲν γὰρ Βοηθὸς κριτήρια πλείονα ὑπολείπει, νοῦν καὶ αἴσθησιν, καὶ ὄρεξιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ Περὶ λόγου, κριτήρια φησὶν εἶναι αἴσθησιν καὶ πρόληψιν. ἔστι δ' ἡ πρόληψις, ἔννοια φυσικὴ τῶν καθόλου. ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ὑπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ περὶ κριτηρίου φησί.

Τῆς

Τῆς δὲ διαλεκτικῆς θεωρίας συμφώνως δοκεῖ τοῖς πλείοσι ἀπὸ τοῦ περὶ φωνῆς ἀνάρχεσθαι τόπου. ἔστι δὲ φωνὴ, ἀὴρ πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς, ὡς φησι Διογένης ὁ Βαβυλώνιος ἐν τῇ Περὶ φωνῆς τέχνῃ. ζώου μὲν ὄντι φωνὴ, ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος· ἀνθρώπου δὲ, ἔστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν· ἥτις ἀπὸ δεκατεσσάρων ἐπῶν τελεῖται· καὶ σῶμα δ' ἐστὶν ἡ φωνὴ, κατὰ τοὺς Στωϊκούς, ὡς φησιν Ἀρχέδημός τε ἐν τῇ Περὶ φωνῆς, καὶ Διογένης, καὶ Ἀντίπατρος, καὶ Χρύσιππος ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν. πᾶν γὰρ τὸ ποιοῦν, σῶμά ἐστι· ποιεῖ δὲ ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούσιν ἀπὸ τοῦ φωνοῦντος. λέξις δέ ἐστι, κατὰ τοὺς Στωϊκούς, (ὡς φησιν ὁ Διογένης) φωνὴ ἐγγράμματος· οἷον, ἡμέρα ἐστί. λόγος δέ ἐστι φωνὴ σημαντικὴ, ἀπὸ διανοίας ἐκπεμπομένη. διάλεκτος δὲ, ἐστὶ λέξις κεχαραγμένη ἐθνικῶς τε καὶ Ἑλληνικῶς· ἡ λέξις ποταπὴ, τετέσι, ποιά, κατὰ διάλεκτον· οἷον, κατὰ μὲν τὴν Ἀττίδα, θάλαττα· κατὰ δὲ τὴν Ἰάδα, ἡμέρη. τῆς δὲ λέξεως στοιχεῖά ἐστι τὰ εἴκοσι τέσσαρα γράμματα. στοιχεῖον δὲ λέγεται τὸ γράμμα· τό, τε στοιχεῖον, ὅ, τε χαρακτὴρ τῷ στοιχείῳ, καὶ τὸ ὄνομα, οἷον, ἄλφα. φωνήεντα δέ ἐστι τῶν στοιχείων ἑπτὰ, α, ε, η, ι, ο, υ, ω, ἄφωνα δὲ, ἕξ· β, γ, δ, κ, π, τ. διαφέρει δὲ φωνὴ καὶ λέξις, ὅτι φωνὴ μὲν καὶ ὁ ἦχός ἐστι· λέξις δὲ, τὸ ἔναρθρον μόνον. λέξις δὲ λόγου διαφέρει, ὅτι λόγος ἀεὶ σημαντικός ἐστι· λέξις δὲ καὶ ἀσήμαντος, ὡς ἡ Βλίτυρι· λόγος δὲ, οὐδαμῶς. διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναὶ, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει.

Τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε, ὡς φησι Διογένης τε ἐν τῷ

τῷ Περὶ φωνῆς, καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον· (ὁ δὲ Ἀντίπατρος καὶ τὴν μεσότητα τίθησιν ἐν τοῖς Περὶ λέξεων καὶ τῷ λεγομένων.) ἔστι δὲ προσηγορία μὲν, καθ' ὃν Διογένης, μέρος λόγου σημαῖνον κοινὴν ποιότητα· οἷον, ἄνθρωπος, ἵππος. ὄνομα δέ ἐστι μέρος λόγου δηλοῦν ἰδίαν ποιότητα· οἷον, Διογένης, Σωκράτης. ῥῆμα δέ ἐστι μέρος λόγου σημαῖνον ἀσύνθετον κατηγόρημα, ὡς ὁ Διογένης, ἢ, ὡς τινες, στοιχεῖον λόγου ἄπτωτον, σημαῖνον τι συντακτὸν πρός τινος ἢ τινῶν, οἷον Γράφω, Λέγω. σύνδεσμός δέ ἐστι μέρος λόγου ἄπτωτον, συνδοῦν τὰ μέρη τοῦ λόγου. ἄρθρον δέ ἐστι στοιχεῖον λόγου πτωτικὸν, διορίζον τὰ γένη τῶν ὀνομάτων, καὶ τοὺς ἀριθμούς, οἷον, ὁ, ἡ, τὸ, οἱ, αἱ, τά.

Ἀρεταὶ δὲ λόγου εἰσὶ πέντε, Ἑλληνισμὸς, σαφήνεια, συντομία, πρέπον, κατασκευή. Ἑλληνισμός μέν ἐστι φράσις ἀδιάπτωτος, ἐν τῇ τεχνικῇ καὶ μὴ ἰδιαζούσῃ συνηθείᾳ. σαφήνεια δέ ἐστι λέξις γνωρίμως παριστῶσα τὸ νοούμενον. συντομία δέ ἐστι λέξις αὐτὰ τὰ ἀναγκαῖα περιέχουσα πρὸς δήλωσιν τοῦ πράγματος. πρέπον δέ ἐστι λέξις, οἰκεία τῷ πράγματι. κατασκευὴ δέ ἐστι λέξις, ἐκπεφευγυῖα τὸν ἰδιωτισμόν. ὁ δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις ἐστὶ φθορὰ τοῦ ἔθους τῶν δοκίμων Ἑλλήνων. σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος.

Ποίημα δέ ἐστιν (ὡς ὁ Ποσειδώνιός φησιν ἐν τῇ Περὶ λέξεως εἰσαγωγῇ) λέξις ἔμμετρος ἢ εὔρυθμος μετὰ σκοπῆς, τὸ λογοειδὲς ἐμβεβηκυῖα, τὸ εὔρυθμον δέ εἶναι τὸ Γαῖα μιγίσιν, καὶ Διὸς αἰθήρ. ποίησις δέ ἐστι σημαντικὸν ποίημα, μίμησιν περιέχον θείων καὶ ἀνθρωπείων.

Ὅρος δέ ἐστιν (ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ

Περὶ

Περὶ ὅρων) λόγος καὶ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος. ἢ (ὡς ὁ Χρύσιππος ἐν τῷ Περὶ ὅρων) καὶ ἡ ὑπόδοσις. ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούστερον τῷ τὸ ὅρῳ δυνάμιν προσενδιωγμένος. γένος δέ ἐστι πλειόνων καὶ ἀναφαιρέτων ἐννοημάτων σύλληψις, οἷον Ζῶον· τοῦτο γὰρ συνείληφε τὰ καθ' μέρος ζῶα. ἐννόημα δέ ἐστι φαντασμα διανοίας, ἔστι τι ὄν, ἔστε ποιόν· ὡσανεὶ δέ τι ὄν, καὶ ὡσανεὶ ποιόν, οἷον γίνεται ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος. εἶδος δέ ἐστι τὸ ὑπὸ γένους περιεχόμενον, ὡς ὑπὸ τὸ ζῶον ὁ ἄνθρωπος περιέχεται. ἄτομον δέ ἐστιν, ὃ, γένος ὄν, γένος οὐκ ἔχει, οἷον, τὸ ὄν. εἰδικώτατον δέ ἐστιν, ὃ, εἶδος ὄν, εἶδος οὐκ ἔχει, ὥσπερ ὁ Σωκράτης.

Διαίρεσις δέ ἐστι γένους, ἢ εἰς τὰ προσεχῆ εἴδη τομή· οἷον, τῶν ζώων τὰ μέν, ἐστὶ λογικά· τὰ δέ, ἄλογα. ἀντιδιαίρεσις δέ ἐστι, γένους εἰς εἴδος τομὴ καὶ τὰ ναντίον, ὡς ἂν καὶ ἀποφασιν· οἷον, τῶν ὄντων, τὰ μέν ἐστιν ἀγαθά· τὰ δ' οὐκ ἀγαθά. ὑποδιαίρεσις δέ ἐστι διαίρεσις ὅτι διαιρήσει· οἷον, τῶν ὄντων, τὰ μέν ἐστιν ἀγαθά· τὰ δ' οὐκ ἀγαθά. καὶ τῶν οὐκ ἀγαθῶν, τὰ μέν ἐστι κακά· τὰ δὲ ἀδιάφορα. μερισμός δέ ἐστι, γένους εἰς τόπους κατάταξις, (ὡς ὁ Κείνις) οἷον, τῶν ἀγαθῶν τὰ μέν ἐστι περὶ ψυχήν· τὰ δὲ περὶ σῶμα.

Ἀμφιβολία δέ ἐστι λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, καὶ καθ' τὸ αὐτὸ ἔθνος· ὥσθ' ἅμα τὰ πλείονα ἐκλέξασθαι καθ' ταύτην τὴν λέξιν· οἷον, Αὐλητρὶς πέπωκε. δηλοῦται γὰρ δι' αὐτῆς, τὸ μέν, ποιητόν, Οἰκία ξὶς πέπωκε· τὸ δέ, ποιητόν, Αὐλήτρια πέπωκε.

Διαλεκτικὴ δέ ἐστιν (ὡς φησι Ποσειδώνιος) ἐπιστήμη ἀλη-

ἀληθῶν καὶ ψευδῶν καὶ ἀδετέρων. τυγχάνει δ' αὐτὴ (ὡς ὁ Χρύσιππός φησι) περὶ σημαίνοντα καὶ σημαινόμενα. ἐν μὲν οὖν τῇ περὶ φωνῆς θεωρίᾳ τοιαῦτα λέγεται τοῖς Στωϊκοῖς.

Ἐν δὲ τῇ περὶ τῶν πραγμάτων καὶ τῶν σημαινομένων τόπῳ τέτακται ὁ περὶ λεκτῶν καὶ αὐτοτελῶν, καὶ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν τε καὶ κατηγορημάτων, καὶ ὀρθῶν καὶ ὑπτίων.

Φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, τὰ δ' ἐλλιπῆ. ἐλλιπῆ μὲν ἔνεστι τὰ ἀπαρτίσιον ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει, ἐπιζητῶμεν γάρ, Τίς; αὐτοτελῆ δ' ἐστὶ, τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει Σωκράτης. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα· ἐν δὲ τοῖς αὐτοτελέσι, τὰ ἀξιώματα, καὶ οἱ συλλογισμοί, καὶ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα. ἔστι δὲ τὸ κατηγόρημα, τὸ κατά τινος ἀγορευόμενον, ἢ πρᾶγμα συμπτὸν περί τινος ἢ τινῶν (ὡς οἱ περὶ Ἀπολλόδωρόν φασιν) ἢ λεκτὸν ἐλλιπές, συμπτωτὸν ὀρθῇ πτώσει πρὸς ἀξιώματος γένεσιν. τῶν δὲ κατηγορημάτων τὰ μέν ἐστι συμβάματα, οἷον τὸ ἔχειν πέδας πλεῖν. καὶ τὰ μέν ἐστι τῶν κατηγορημάτων ὀρθὰ, ἃ δ' ὕπτια, ἃ δ' ἑτέρα. ὀρθὰ μὲν ἔνεστι, τὰ συμπτώματα μιᾷ τῶν πλαγίων πτώσεων, πρὸς κατηγορήματος γένεσιν· οἷον, Ἀκύει, Ὁρᾷ, Διαλέγεται. ὕπτια δέ ἐστι τὰ συμπτώματα τῇ παθητικῇ μοίρᾳ· οἷον, Ἀκούομαι, Ὁρῶμαι. ἑτέρα δ' ἐστὶ, τὰ μηδ' ἑτέρως ἔχοντα· οἷον, Φρονεῖν, Περιπατεῖν. ἀντιπεπονθότα δέ ἐστιν ἐν τοῖς ὑπτίοις, ἀνύπτια ὄντα. ἐνέργήματα δέ ἐστιν, οἷον Κείρεται· ἐμφερὲς γὰρ

γὰρ ἑαυτὸν ὁ κειρόμενος. πλάγιαι δὲ πτώσεις εἰσὶ, γενικὴ, καὶ δοτικὴ, καὶ αἰτιατική.

Ἀξίωμα δέ ἐστιν, ὃ ἐστιν ἀληθὲς ἢ ψεῦδος, ἢ πρᾶγμα αὐτοτελὲς, ὑποφαντὸν ὅσον ἐφ' ἑαυτῷ· ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς διαλεκτικοῖς ὅροις. ἀξίωμά ἐστι, τὸ ὑποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ· οἷον, Ἡμέρα ἐστὶ, Δίων περιπατεῖ· ὠνόμασαι δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀξιοῦν ἀληθεύειν· ὁ γὰρ λέγων Ἡμέρα ἐστὶν, ἀξιοῖ δοκεῖ τὸ ἡμέραν εἶναι. ὅτις μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ ὄντος δὲ, ψεῦδος. διαφέρει δὲ ἀξίωμα, καὶ ἐρώτημα, καὶ πύσμα, προσακτικὸν, καὶ ὁρκικὸν, καὶ ἀρατικὸν, καὶ ὑποθετικὸν, καὶ προσαγορευτικὸν, καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. ἀξίωμα μὲν γάρ ἐστιν, ὃ λέγοντες ὑποφαινόμεθα ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μὲν, ὡς καὶ τὸ ἀξίωμα· αἰτητικὸν δὲ ὑποκείσεως· οἷον, Ἀρά γε ἡμέρα ἐστί; τοῦτο δὲ ὅτε ἀληθές ἐστιν, ὅτε ψεῦδος· ὥστε τὸ μὲν, Ἡμέρα ἐστὶν, ἀξίωμά ἐστι· τὸ δὲ, Ἀρά γε ἡμέρα ἐστίν; ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς ἔκ ἔστιν ὑποκείνεσθαι, ὡς ὅπι τὰ ἐρωτήματος, ναί· ἀλλὰ εἰπεῖν, Οἰκεῖ ἐν τῷδε τόπῳ. προσακτικὸν δέ ἐστι πρᾶγμα ὃ λέγοντες προσάσομεν· οἷον,

Σὺ μὲν βάδιζε πὰς ἐπ' Ἰνάχου ῥοάς.

προσαγορευτικὸν δέ ἐστι πρᾶγμα, ὃ εἰ λέγοι τις, προσαγορεύοι ἄν, οἷον,

Ἀχιλλεῦ, κύδιστε υἱὲ Πηλέως Ἀχαιῶν.

ὅμοιον δέ ἐστιν ἀξιώματι, ὃ τινὶ εἰσφορὰν ἔχον ἀξιωματικὴν ἢ πάθος τινός μορίου πλεονασμὸν ἢ πάθος, ἔξω πίπτει τῆς ἰδέας τῶν ἀξιωμάτων· οἷον,

Κα-

Καλός γ' ὁ παρθενών.
Ὡς Πειραμίδησιν ἐμφερὴς ὁ βακόλος.

ἔστι δὲ καὶ ἐπαπορητικόν τι πρᾶγμα, διευλωχὸς ἀξιώματος, ὃ εἰ λέγοι τις ἀποροίη ἄν. Ἆρ' ὄζει συγχρείς τι λύπη καὶ βίος; ἔστε δὲ ἀληθῆ ὄζειν, ἔστε ψευδῆ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα, καὶ τὰ τέτοις παραπλήσια, τῷ ἀξιωμάτων ἢ ἀληθέων ἢ ψευδῶν ὄντων. τῷ ἀξιωμάτων τὰ μὲν ὄζειν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ, ὥς φασιν οἱ περὶ Χρύσιππον, ἢ Ἀρχέδημον, καὶ Ἀθηνόδωρον, καὶ Ἀντίπατρον, καὶ Κρίνιν. ἁπλᾶ μὲν ἔν ὄζει τὰ συνεστῶτα ἐξ ἀξιώματος μὴ διαφορημένε, ἢ ἐξ ἀξιωμάτων· οἷον τὸ Ἡμέρα ἐστίν. οὐχ ἁπλᾶ δέ ὄζει, τὰ συνεστῶτα ἐξ ἀξιώματος διαφορημένε, ἢ ἐξ ἀξιωμάτων. ἐξ ἀξιώματος μὲν διαφορημένε, οἷον, Εἰ ἡμέρα ἐστίν· ἐξ ἀξιωμάτων δὲ, οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ὄζειν. ἐν δὲ τοῖς ἁπλοῖς ἀξιώμασίν ὄζει τὸ ἀποφατικὸν, καὶ τὸ ἀρνητικόν· καὶ τὸ στερητικὸν, καὶ τὸ κατηγορικόν· καὶ τὸ καταγορευτικὸν, καὶ τὸ ἀόριστον. ἐν δὲ τοῖς οὐχ ἁπλοῖς τὸ συνημμένον, καὶ τὸ διαπεπλεγμένον· καὶ τὸ συμπεπλεγμένον, καὶ τὸ διεζευγμένον, καὶ τὸ αἰτιῶδες, καὶ τὸ ἐναντίον τὸ μᾶλλον, καὶ τὸ ἐναντίον τὸ ἧττον. καὶ ἀξιώματος καὶ ἀποφατικὸν μὲν, οἷον, Οὐχὶ ἡμέρα ἐστίν. εἶδος δὲ τέτε τὸ ὑπεραποφατικόν. ὑπεραποφατικὸν δέ ὄζειν ἀποφατικὸν ἀποφατικῆ· οἷον, Οὐχὶ ἡμέρα ὄζει. τίθησι δὲ τὸ Ἡμέρα ἐστίν. ἀρνητικὸν δέ ἐστι, τὸ συνεστὸς ἐξ ἀρνητικῆ μορίε καὶ κατηγορήματος· οἷον, Οὐδεὶς περιπατεῖ. στερητικὸν δέ ἐστι, τὸ συνεστὸς ἐκ στερητικῆ μορίε καὶ ἀξιώματος κατὰ δύναμιν. οἷον, Ἀφιλάνθρωπός ἐστιν ἔτος. κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος· οἷον, Δίων περιπατεῖ. καταγορευτικὸν δέ ἐστι, τὸ συνε-

σὸς ἐπ πώσεως ὀρθῆς δεικτικῆς ϗ κατηγορήματος· οἷον, Οὗτος περιπατεῖ. ἀόριστον δέ ἐστι, τὸ συνεζευγμένον ἐξ ἀορίστου μορίου, ἢ ἀορίστων μορίων· οἷον, Τὶς περιπατεῖ, Ἐκεῖνος κινεῖται. τῶν δ' οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστιν, (ὡς ὁ Χρύσιππος ἐν ταῖς διαλεκτικαῖς φησι, ϗ Διοφάνης ἐν τῇ διαλεκτικῇ τέχνῃ,) τὸ συνεζευγμένον διὰ τοῦ Εἰ συναπτικοῦ συνδέσμου. ἐπαγγέλλεται δὲ ὁ συνδεσμος ἕπεσθαι τὸ δεύτερον τῷ πρώτῳ· οἷον, Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι. παρημμένον δέ ἐστιν (ὡς ὁ Κείνις φησὶν ἐν τῇ διαλεκτικῇ τέχνῃ) ἀξίωμα ὃ ὑπὸ τοῦ Ἐπεὶ συνδέσμου περιέχεται, ἀρχόμενον ἀπ' ἀξιώματος ϗ λῆγον εἰς ἀξίωμα· οἷον, Ἐπεὶ ἡμέρα ἐστὶ, φῶς ἐστιν. ἐπαγγέλλεται δὲ ὁ συνδεσμος, ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, ϗ τὸ πρῶτον ὑφεστάναι. συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα, ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκται· οἷον, Καὶ ἡμέρα ἐστὶ, ϗ φῶς ἐστι. διεζευγμένον δέ ἐστιν, ὃ ὑπὸ τοῦ Ἤτοι, διαζευκτικοῦ συνδέσμου, διέζευκται· οἷον, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν. ἐπαγγέλλεται δὲ ὁ συνδεσμος ἢτοι τὸ ἕτερον τῶν ἀξιωμάτων ψεῦδος εἶναι. αἰτιῶδες δέ ἐστιν ἀξίωμα, τὸ συνημμένον διὰ τοῦ Διότι· οἷον, Διότι ἡμέρα ἐστὶ, φῶς ἐστιν. οἱονεὶ γὰρ αἰτιόν ἐστι τὸ πρῶτον τοῦ δευτέρου. διασαφοῦν δὲ τὸ μᾶλλον ἀξίωμά ἐστι, τὸ συνημμένον ὑπὸ τοῦ διασαφοῦντος τὸ μᾶλλον συνδέσμου, ϗ μεταξὺ τῶν ἀξιωμάτων τιθεμένου· οἷον, Μᾶλλον ἡμέρα ἐστὶν ἢ νύξ ἐστι. διασαφοῦν δὲ τὸ ἧττον ἀξίωμά ἐστι, τὸ ἐναντίον τῷ προκειμένῳ· οἷον, Ἧττον νύξ ἐστιν ἢ ἡμέρα ἐστίν. ἔτι τῶν ἀξιωμάτων κατά τε ἀλήθειαν ϗ ψεῦδος ἀντικείμενα ἀλλήλοις ἐστὶν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν ἀποφατικόν· οἷον, τὸ Ἡμέρα ἐστὶ, ϗ τὸ, Οὐχ ἡμέρα ἐστί. συνημμένον δὲν ἀληθές ἐστιν, ὅ

τὸ

τὸ ἀντικείμενον τῷ λήγοντος μάχεται τῷ ἡγεμονῷ· οἷον, Εἰ ἡμέρα ἐστὶ φῶς ἔστι· τοῦτο ἀληθές ἐστι. τὸ γὰρ Οὐκ ἔστι φῶς, ἀντικείμενον τῷ λήγοντι, μάχεται τῷ ἡγεμένῳ, Ἡμέρα ἐστί. συνημμένον δὲ ψευδός ἐστιν, ὅταν τὸ ἀντικείμενον τοῦ λήγοντος ἀ μάχεται τῷ ἡγεμονῷ· οἷον, Εἰ ἡμέρα ἐστὶ, Δίων περιπατεῖ. τὸ γὰρ οὐκὶ Δίων περιπατεῖ, ἀ μάχεται τῷ Ἡμέρα ἐστί. ἀληθὲς συνημμένον δέ ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει· οἷον, Ἐπεὶ ἡμέρα ἐστίν, ἥλιός ἐστιν ὑπὲρ γῆς. ψευδὲς δὲ ἢ ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει· οἷον, Ἐπεὶ νύξ ἐστι, Δίων περιπατεῖ, ἢ ἡμέρας ὔσης λέγηται. αἰτιῶδες δέ ἐστιν ἀληθὲς μέν ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, ἅμα ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον· οἷον, Διότι ἡμέρα ἐστὶ, φῶς ἐστι. τῷ μὲν γὰρ Ἡμέρα ἐστὶν, ἀκολουθεῖ τὸ Φῶς ἐστι. τῷ δὲ Φῶς ἐστιν, οὐκ ἕπεται τὸ Ἡμέρα ἐστίν. αἰτιῶδες δὲ ψεῦδός ἐστιν, ὃ ἤτοι ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει, ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον· οἷον, Διότι νύξ ἐστι, Δίων περιπατεῖ. πιθανὸν δέ ἐστιν ἀξίωμα, τὸ ἄγον εἰς συγκατάθεσιν· οἷον Εἴ τίς τι ἔτεκεν, ἐκεῖνη ἐκείνου μήτηρ ἐστί. ψεῦδος δὲ τοῦτο· ἀ γὰρ ὄρνις ὠὸν ἔτεκεν μήτηρ. ἔτι τε τὰ μὲν, ἐστὶ δυνατά. τὰ δὲ, ἀδύνατα· καὶ τὰ μὲν, ἀναγκαῖα· τὰ δ', οὐκ ἀναγκαῖα· δυνατὸν μὲν, τὸ ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, τῷ ἐπὸς μὴ ἐναντιουμένων εἰς τὸ ἀληθὲς εἶναι· οἷον, Ζῇ Διοκλῆς. ἀδύνατον δέ, ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι· οἷον, Ἡ γῆ ἵπταται. ἀναγκαῖον δέ ἐστιν, ὅπερ ἀληθὲς ὄν, οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι· ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δ' ἐκτὸς αὐτῷ ἐναντιοῦται ὡρὸς τὸ ψεῦδος εἶναι· οἷον, Ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐστιν, ὃ μὴ ἀληθὲς ἐστιν,

καὶ ψεῦδος οἷόν τε εἶναι, τῷ ἐκτὸς μηδὲν ἐναντιεμβιῶν· οἷον τὸ, Περιπατεῖ Δίων. εὔλογον δέ ἐστιν ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι· οἷον, Βιώσομαι αὔριον. καὶ ἄλλαι δέ εἰσι διαφοραὶ ἀξιωμάτων, καὶ μεταπτώσεις αὐτῶν ἐξ ἀλλήλων εἰς ψεῦδη καὶ ἀντίστροφα, περὶ ὧν ἐν τῷ πλάτει λέγομεν.

Λόγος δέ ἐστιν (ὡς οἱ περὶ τὸν Κρῖνιν φασὶ) τὸ συνεχὲς ἐκ λήμματος ἢ λημμάτων, καὶ προσλήψεως, καὶ ἐπιφορᾶς· οἷον ὁ τοιοῦτος, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. ἡμέρα δέ ἐστι. φῶς ἄρα ἐστί. λῆμμα μὲν γάρ ἐστι τὸ, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι· πρόσληψις τὸ, Ἡμέρα δέ ἐστιν· ἐπιφορὰ δὲ τὸ, Φῶς ἄρα ἐστί. τρόπος δέ ἐστιν, οἱονεὶ σχῆμα λόγου· οἷον ὁ τοιοῦτος, Εἰ τὸ α, τὸ β. ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. λογότροπος δέ ἐστι, τὸ ἐξ ἀμφοτέρων συνάγεσθαι· οἷον, Εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τὰ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν, μακρὰν οὖσαν, καὶ τὴν ἐπιφορὰν, λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, τὸ δὲ α, τὸ ἄρα β. τῶν δὲ λόγων οἱ μὲν εἰσιν ἀπέραντοι, οἱ δὲ περαντικοί. ἀπέραντοι μέν, ὧν τὸ ἀντικείμενον τῆς ἐπιφορᾶς μάχεται τῇ δηλ. τῶν λημμάτων συμπλοκῇ· οἷον οἱ τοιοῦτοι, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. ἡμέρα δέ ἐστι· περιπατεῖ ἄρα Δίων. τῶν δὲ περαντικῶν λόγων οἱ μὲν ὁμωνύμως τῷ γένει λέγονται περαντικοί, οἱ δὲ συλλογιστικοί. συλλογιστικοὶ μὲν οὖν εἰσιν οἱ ὅπου ἀναπόδεικτοι ὄντες, ἢ ἀναγόμενοι ἐπὶ τοὺς ἀναποδείκτους, κατά τι τῶν θεμάτων, ἤτινα· οἷον οἱ τοιοῦτοι. Εἰ περιπατεῖ Δίων, κινεῖται ἄρα Δίων. περαντικοὶ δέ εἰσιν εἰδικῶς, οἱ συνάγοντες μὴ συλλογιστικῶς· οἷον, οἱ τοιοῦτοι, Ψεῦδός ἐστι τὸ, ἡμέρα ἐστί, καὶ νύξ ἐστιν·

ἐστιν· ἡμέρα δέ ἐστιν, οὐκ ἄρα νύξ ἐστιν. ἀσυλλόγιστοι δ' εἰσίν, οἱ ψευδεμβροι μὲν πιθανῶς τοῖς συλλογιστικοῖς, οὐ συνάγοντες δέ· οἷον Εἰ ἵππος ἐστὶ Δίων, ζῶόν ἐστι Δίων· ἀλλὰ μὴν ἵππος οὐκ ἔστι Δίων. οὐκ ἄρα ζῶόν ἐστι Δίων. ἔτι τῶν λόγων οἱ μὲν ἀληθεῖς εἰσιν, οἱ δὲ ψευδεῖς· ἀληθεῖς μὲν οὖν εἰσι λόγοι, οἱ δι' ἀληθῶν συνάγοντες· οἷον, Εἰ μὴ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει. ψευδεῖς δέ εἰσιν οἱ τῶν λημμάτων ἔχοντές τι ψεῦδος, ἢ ἀπέραντοι ὄντες· οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· ζῇ ἄρα Δίων. καὶ δυνατοί δ' εἰσὶ λόγοι καὶ ἀδύνατοι, καὶ ἀναγκαῖοι, καὶ οὐκ ἀναγκαῖοι. εἰσὶ δὲ καὶ ἀναπόδεικτοί τινες, τῷ μὴ χρῄζειν ἀποδείξεως· ἄλλοι μὲν παρ' ἄλλοις, ψδὰ δὲ τῷ Χρυσίππῳ πεντε, δι' ὧν πᾶς λόγος πλέκεται· οἵ τινες λαμβάνονται ὅτι τῶν περαντικῶν, καὶ ὅτι τῶν συλλογιστικῶν, καὶ ὅτι τῶν τροπικῶν. πρῶτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συνίσταται ἐκ συνημμένου καὶ τοῦ ἡγεμένου, οὗ δ' ἄρχεται τι συνημμένον, καὶ τὸ λῆγον ὑπφέρει· οἷον, Εἰ τὸ α, τὸ β. ἀλλὰ μὴν τὸ α· τὸ ἄρα β'. δεύτερος δ' ἐστὶν ἀναπόδεικτος, ὁ ἐξ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος, τὸ ἀντικείμενον τοῦ ἡγεμένου ἔχων συμπέρασμα· οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν νύξ ἐστιν· οὐκ ἄρα ἡμέρα ἐστίν. ἡ γὰρ πρόσληψις γίνεται ἐκ τοῦ ἀντικειμένου τῷ λήγοντι, καὶ ἡ ὑπφορὰ ἐκ τοῦ ἀντικειμένου τῷ ἡγεμένῳ. τρίτος δ' ἐστὶν ἀναπόδεικτος, ὁ δι' ὑποφατικῆς συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ ὑπφέρων τὸ ἀντικείμενον τοῦ λοιποῦ· οἷον, Οὐχὶ τέθνηκε Πλάτων, καὶ ζῇ Πλάτων· ἀλλὰ μὴν τέθνηκε Πλάτων· οὐκ ἄρα ζῇ Πλάτων. τέταρτος δέ ἐστιν ἀναπόδεικτος, ὁ ἐξ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἔχων συμπέρασμα·

τίον, Ἤτοι τὸ πρῶτον, ἢ τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· οὐκ ἄρα τὸ δεύτερον. πέμπτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συνπάσεται ἐκ διεζευγμένου καὶ τοῦ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ ἀντικειμένου, καὶ ἔπιφέρει τὸ λοιπόν· οἷον, Ἤτοι ἡμέρα ἐστίν, ἢ νύξ ἐστιν· οὐχὶ δὲ νύξ ἐστιν· ἡμέρα ἄρα ἐστίν. ἐπ' ἀληθεῖ δὲ ἀληθὲς ἕπεται κατὰ τοὺς Στωϊκούς· ὡς τῷ ἡμέρα ἐστὶ, τὸ φῶς ἐστι. καὶ ψεύδει ψεῦδος· ὡς τῷ νύξ ἐστι ψεύδει, τὸ σκότος ἐστί. καὶ ψεύδει ἀληθές· ὡς τῷ Ἵππασθαι τῷ γῆν, τὸ Εἶναι τῷ γῆν. ἀληθεῖ μέντοι ψεῦδος οὐκ ἀκολουθεῖ· τῷ γὰρ Εἶναι τῷ γῆν τὸ Πέτεσθαι τῷ γῆν οὐκ ἀκολουθεῖ. καὶ ἄποροί δέ τινες εἰσὶ λόγοι ἐγκεκαλυμμένοι καὶ διαλελυθότες, καὶ σωρεῖται, καὶ κερατίδες, καὶ ἔτιδες. ἔστι δὲ ἐγκεκαλυμμένος, οἷον ὁ τοιοῦτος, Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστὶν, οὐχὶ δὲ καὶ τὰ ἕξ, οὐχὶ δὲ καὶ ταῦτα μὲν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα, καὶ ἔτι μέχρι τῶν δέκα· τὰ δὲ δύο ὀλίγα ἐστί, καὶ τὰ δέκα ἄρα. ἔτις δέ ἐστι λόγος συνπαττικὸς, καὶ ἐξ ἀορίστου καὶ ὡρισμένου συνεσῶς, πρόσληψιν δὲ καὶ ἔπιφορὰν ἔχων· οἷον, Εἴ τίς ἐστιν ἐνταῦθα, οὐκ ἔστιν ἐκεῖνος ἐν Ῥόδῳ.

Καὶ πιθανοὶ μὲν ἐν τοῖς λογικοῖς οἱ Στωϊκοὶ, ἵνα μάλιστα κρατύνωσι διαλεκτικὸν ἀεὶ εἶναι τὸν σοφόν· πάντα γὰρ τὰ φράγματα διὰ τῆς ἐν λόγοις θεωρίας ὁρᾶσθαι, ὅσα τε τῶν φυσικῶν τύπων τυγχάνει, καὶ αὖ πάλιν ὅσα τῶν ἠθικῶν. εἰς μὲν γὰρ τὸ λογικὸν τί δεῖ λέγειν περί τε ὀνομάτων ὀρθότητος, ὅπως διέταξαν οἱ νόμοι ἐπὶ τοῖς ἔργοις, οὐκ ἂν ἔχειν εἰπεῖν. δυοῖν δὲ ὄντοιν συνηθείαιν ταῖν ὑποπιπτούσαιν τῇ ἀρετῇ, ἡ μὲν, τί ἑκάστου ἐστὶ τῶν ὄντων σκοπεῖ· ἡ δὲ, τί καλεῖται. καὶ ὧδε καὶ αὐτοῖς ἔχει τὸ λογικόν.

Τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν εἴς τε τὸν

τὸν περὶ ὁρμῆς, καὶ εἰς τὸν περὶ ἀγαθῶν καὶ κακῶν τόπον, καὶ εἰς τὸν περὶ παθῶν. καὶ περὶ ἀρετῆς, καὶ περὶ τέλους, περί τε τῆς πρώτης ἀξίας, καὶ τῆς πράξεων, καὶ περὶ τῆς καθηκόντων, προκοπῶν τε καὶ ἀποκοπῶν. καὶ ὕστερον δ' ὑποδιαιρεῖσιν οἱ περὶ Χρύσιππον, καὶ Ἀρχέδημον, καὶ Ζήνωνα τὸν Ταρσέα, καὶ Ἀπολλόδωρον, καὶ Διογένη, καὶ Ἀντίπατρον, καὶ Ποσειδώνιον. ὁ μὲν γὰρ Κιττιεὺς Ζήνων, καὶ ὁ Κλεάνθης, ὡς αὖ ἀρχαιότεροι, ἀφελέστερον περὶ τῶν πραγμάτων διέλαβον. ὕστερι δὲ διεῖλον καὶ τὸν λογικὸν καὶ τὸν φυσικόν.

Τὴν δὲ πρώτην ὁρμὴν φασι τὸ ζῷον ἴσχειν ὑπὸ τῆς πρεῖν ἑαυτὸ, οἰκειώσης αὐτῷ τῆς φύσεως ἀπ' ἀρχῆς· καθάφησιν ὁ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν, πρῶτον οἰκεῖον λέγων εἶναι παντὶ ζῴῳ τὴν αὐτὸ σύστασιν, καὶ τὴν ταύτης συνείδησιν. ὅτε γὰ ἀλλοτριῶσαι εἰκὸς ἦν αὐτῷ τὸ ζῷον, ὅτε ποιῆσαι ἂν αὐτὸ, μήτε ἀλλοτριῶσαι μήτε ὑκ οἰκειῶσαι. ὑπολείπεται τοίνυν λέγειν, συσησαμβάνειν αὐτὸ οἰκείως πρὸς ἑαυτό. ὅπω γὰ τά τε βλάπτοντα διωθεῖται, καὶ τὰ οἰκεῖα προσίεται. ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίγνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις, ψεῦδος ὑποφαίνουσιν. ὑπολήμματα γάρ φασιν, εἰ ἄρα ἔστιν ἡδονὴ εἶναι, ὅταν αὐτὴν καθ' αὐτὴν ἡ φύσις ἐπιζητήσασα, τὰ οἰκεῖα προσλάβῃ. οὐ τρόπον ἀφιλαρυώεται τὰ ζῶα, καὶ θάλλει τὰ φυτά. ἡδονή τε (φασὶ) διήλαξεν ἡ φύσις ὑπὸ τῶν φυτῶν καὶ ὑπὸ τῶν ζῴων, ὅτι χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ, καὶ ἐφ' ἡμῶν τινα φυτοειδῶς γίνεται. ἐν μέντοι δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ὑπαρχούσης, ἤδη συγχωρεῖται πορεύεται πρὸς τὰ οἰκεῖα, τούτοις μὲν τὸ κατὰ φύσιν τὸ κατὰ τὴν ὁρμὴν διοικεῖσθαι. τῷ δὲ λόγῳ τοῖς λογικοῖς κατὰ τελειοτέραν προσασίαν δε-

δεδομένον, τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι τοῖς κατὰ φύσιν. τεχνίτης γὰρ ἕκαστος ἐπιγίνεται τῆς ὁρμῆς.

Διόπερ φησὶν ὁ Ζήνων ἐν τῷ Περὶ ἀνθρώπου φύσεως, τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν. ἄγει γὰρ ἡμᾶς ἡ φύσις. ὁμοίως δὲ καὶ Κλεάνθης ἐν τῷ Περὶ ἡδονῆς, καὶ Ποσειδώνιος, καὶ Ἑκάτων ἐν τοῖς Περὶ τελῶν. πάλιν δ' ἴσον ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν τῷ κατ' ἐμπειρίαν τῆς φύσει συμβαινόντων ζῆν, ὡς φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν. μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις τῆς τοῦ ὅλου. διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν. ὅπερ ἐστὶ κατ' ἀρετὴν αὐτῇ καὶ καὶ τὴν τῶν ὅλων, ἐν οἷς ἐνεργοῦντας ὧν ἀπαγορεύει εἴωθεν ὁ νόμος ὁ κοινός, ὅπερ ἐστὶν ὁ ὀρθὸς λόγος διὰ παντῶν ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διὶ καθηγεμόνι τούτῳ τῆς τῶν ὄντων διοικήσεως ὄντι. εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν, καὶ εὐροίαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ὅλου διοίκησιν βούλησιν. ὁ μὲν οὖν Διογένης τέλος φησὶ ῥητῶς, τὸ εὐλογιστεῖν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ. Ἀρχέδημος δὲ, τὸ πάντα τὰ καθήκοντα ἐπιτελοῦντα ζῆν. φύσιν δὲ Χρύσιππος μὲν ἑξακοῦει, ἢ ἀκολούθως δεῖ ζῆν, τήν τε κοινὴν, καὶ ἰδίως τὴν ἀνθρωπίνην. ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ἢ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους. τήν τε ἀρετὴν, δόξαν εἶναι ὁμολογουμένου· καὶ αὐτὴν, δι' αὐτὴν εἶναι αἱρετὴν, οὐ δόξαν τινὰ φόβον ἢ ἐλπίδα, ἤ τι τῶν ἔξωθεν. ἐν αὐτῇ τε εἶναι τὴν εὐδαιμονίαν, ἅτε ὕστερ ψυχὴ πεποιημένην πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου. διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῶον, ποτὲ μὲν, διὰ τὰς τῶν ἔξωθεν πραγματειῶν πιθανότητας· ποτὲ δὲ,

διὰ

δι' τὴν κατάληψιν τῶν σωζόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους.

Ἀρετὴ δέ τοι ἡ μὲν τις κοινῶς πάντη τελείωσις, ὥσπερ ἀνδριάντος, καὶ ἡ θεώρητος, ὥσπερ ὑγίεια· καὶ ἡ θεωρηματικὴ, ὡς φρόνησις. φησὶ γὰρ ὁ Ἑκάτων ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν, ὑπομνηματικὰς μὲν εἶναι καὶ θεωρηματικὰς, τὰς ἐχούσας τὴν σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησιν καὶ δικαιοσύνην· ἀθεωρήτους δὲ τὰς κατὰ παράκτασιν θεωρημάτων συνεστηκυίας, καθάπερ ὑγίειαν καὶ ἰσχύν. τῇ γε σωφροσύνῃ τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν, καὶ παρεκτείνεσθαι τὴν ὑγίειαν, καθάπερ τῇ φαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ὑπογίνεσθαι. καλοῦνται δ' ἀθεώρητοι, ὅτι μὴ ἔχουσι συγκαταθέσεις, ἀλλ' ὑπογίνονται, καὶ ποτὲ φαύλως γίγνονται· ὡς ὑγίεια, ἀνδρεία. τεκμήριον δὲ τὸ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν φησὶν ὁ Ποσειδώνιος ἐν τῷ πρώτῳ τῶν ἠθικῶν λόγῳ, τὸ γηράσκειν ἐν προκοπῇ τοὺς περὶ Σωκράτην, Διογένην, καὶ Ἀντισθένην. εἶναι δὲ καὶ τὴν καιρίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. διδακτήν τε εἶναι αὐτὴν (λέγω δὲ τὴν ἀρετὴν) καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τέλους φησὶ, καὶ Κλεάνθης, καὶ Ποσειδώνιος ἐν τοῖς προτρεπτικοῖς, καὶ Ἑκάτων. ὅτι δὲ διδακτὴ ἐστι, δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθὸς ἐκ φαύλων. Παναίτιος μὲν ἓν δύο φησὶν ἀρετὰς, θεωρητικὴν καὶ πρακτικήν· ἄλλοι δὲ ἓξ, λογικὴν, καὶ φυσικὴν, καὶ ἠθικήν. τέτταρας δὲ, οἱ περὶ Ποσειδώνιον· καὶ πλείονας, οἱ περὶ Κλεάνθην, καὶ Χρύσιππον, καὶ Ἀντίπατρον. ὁ μὲν γὰρ Ἀπολλοφάνης μίαν λέγει, τὴν φρόνησιν. τῶν δὲ ἀρετῶν, τὰς μὲν, πρώτας, τὰς δὲ, ταύτας ὑποπεπαγμένας. πρώτας μὲν τάς δὲ, φρόνησιν, αὖ-

ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην· ἐν εἴδει δὲ τὰς, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀγχίνοιαν, εὐβουλίαν. καὶ τὴν μὲν φρόνησιν, εἶναι ἐπιστήμην κακῶν καὶ ἀγαθῶν, καὶ ἀδετέρων. τὴν δὲ δικαιοσύνην, ἐπιστήμην ὧν αἱρετέον καὶ ἀλλαβητέον, καὶ ἀδετέρων. τὴν δὲ μεγαλοψυχίαν, ἐπιστήμην ἣ ἔξιν ὑπεραίρουσαν πᾶσαν τῶν συμβαινόντων κοινῇ, φύλαντε καὶ ἀσυδαίων· τὴν δὲ ἐγκράτειαν, διάθεσιν ἀνυπέρβατον τῶν κατ' ὀρθὸν λόγον, ἢ ἕξιν ἀήττητον ἡδονῶν· τὴν δὲ καρτερίαν, ἐπιστήμην ἢ ἕξιν ὧν ἐμμενετέον, καὶ μὴ, καὶ ἀδετέρων· τὴν δὲ ἀγχίνοιαν, ἕξιν εὑρετικὴν τῶ καθήκοντος ἐκ τῶ θεωρήματος· τὴν δὲ εὐβουλίαν, ἐπιστήμην τῶ σκοπεῖσθαι ποῖα καὶ πῶς πράττοντες, πράξομεν συμφερόντως. ἀνάλογον δὲ καὶ τῶν κακιῶν τὰς μὲν εἶναι φρωτας· τὰς δὲ, ὑπὸ ταύτας· οἷον ἀφροσύνην μὲν, καὶ δειλίαν, καὶ ἀδικίαν, καὶ ἀπολασίαν ἐν ταῖς φρώταις· ἀπρασίαν δὲ, καὶ βραδυθυμίαν, καὶ κακοβουλίαν, ἐν ταῖς ὑπὸ ταύτας. εἶναι δὲ πάσας τὰς κακίας, ὧν αἱ ἀρεταὶ ἐπιστῆμαι.

Ἀγαθὸν δὲ κοινῶς μὲν, τὸ τί ὄφελος· ἰδίως δὲ, ἢ τοι ταὐτὸν, ἢ οὐχ ἕτερον ὠφελείας. ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τελικῶς ἔπω λέγεσθαι. οἷον, τὸ ἀγαθὸν ἀφ' ᾧ συμβαίνει, ὡς τὴν πρᾶξιν τὴν κατ' ἀρετήν· ὑφ' ᾧ δὲ, ὡς τὸν ἀσυδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. ἄλλως δὲ ἄτως ἰδίως ὁρίζονται τὸ ἀγαθὸν, τὸ τέλειον κατὰ φύσιν λογικῆ, ἢ ὡς λογικῆ· πιθανὸν δ' εἶναι τὴν ἀρετήν. ὥστε μετέχοντα, τάς τε πράξεις τὰς κατ' ἀρετὴν, καὶ τὰς ἀσυδαίας, εἶναι. ἐπιθυμήματα δὲ, τήν τε χαρὰν, καὶ τὴν εὐφροσύνην, καὶ τὰ εὐπλήσια. ὡσαύτως δὲ καὶ τῶν κακιῶν τὸ μὲν εἶναι ἀφροσύνην, δειλίαν, ἀδικίαν, καὶ τὰ εὐπλήσια· με-

πε-

τέχνπα δὲ κακιῶν, τάς τε πράξεις τὰς κατὰ κακίαν καὶ τὰς φαύλας. ἐπιχρήματα δὲ, τήν τε δυθυμίαν καὶ τὴν δυσφροσώλω, καὶ τὰ ὅμοια.

Ἔτι τῶν ἀγαθῶν, τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός· τὰ δ' ὅτε περὶ ψυχὴν, ὅτε ἐκτός. τὰ μὲν περὶ ψυχήν, ἀρετὰς, καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δ' ἐκτὸς, τό τε εὐδαίμονα ἔχειν πατρίδα, καὶ εὐδαίμονα φίλον, καὶ τὴν τύχην εὐδαιμονίαν. τὰ δ' ὅτε ἐκτὸς, ὅτε περὶ ψυχὴν, τὸ αὐτὸν ἑαυτῷ εἶναι εὐδαίμονα καὶ εὐδαίμονα. ἀνάπαλιν δὲ, καὶ τῶν κακιῶν τὰ μὲν περὶ ψυχὴν εἶναι, τὰς κακίας, καὶ τὰς κατ' αὐτὰς πράξεις· τὰ δὲ ἐκτὸς, τὸ ἄφρονα πατρίδα ἔχειν, καὶ ἄφρονα φίλον, καὶ τὴν τύχην κακοδαιμονίαν· τὰ δὲ ὅτε ἐκτὸς, ὅτε περὶ ψυχὴν, τὸ αὐτὸν ἑαυτῷ εἶναι φαῦλον καὶ κακοδαίμονα.

Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικὰ, τὰ δὲ ποιητικά· τὰ δὲ, τελικὰ καὶ ποιητικά. τὸν μὲν ὄν φίλον, καὶ τὰς ἀπ' αὐτοῦ γινομένας ὠφελείας, ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ, καὶ φρόνημα, καὶ εὐλυθρείαν, καὶ τέρψιν, καὶ εὐφροσώλω, καὶ ἀλυπίαν, καὶ πᾶσαν τὴν κατ' ἀρετὴν πρᾶξιν, τελικά. ποιητικὰ δὲ καὶ τελικὰ εἶναι ἀγαθά· καθὸ μὲν γὰρ ἀποτελοῦσι τὴν εὐδαιμονίαν, ποιητικά ἐξιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτὴν, ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά. ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι τελικὰ, τὰ δὲ ποιητικὰ, τὰ δὲ ἀμφοτέρως ἔχοντα. τὸν μὲν ἐχθρὸν, καὶ τὰς ἀπ' αὐτοῦ γενομένας βλάβας, ποιητικὰ εἶναι· κατάπληξιν δὲ, καὶ ταπείνωσιν, καὶ δυλείαν, καὶ ἀπορίαν, καὶ δυθυμίαν, καὶ περίλυπίαν, καὶ πᾶσαν τὴν κατὰ κακίαν πρᾶξιν, εἶναι τελικά· ἀμφοτέρως δὲ ἔχοντα, ἐπεὶ καθὸ μὲν ἀποτελοῦ-

σι τὴν κακοδαιμονίαν, ποιητικά ὄζι· καθὸ δὲ συμπλήρωσιν αὐτὴν, ὥσε μέρη αὐτῆς γίνεσθαι, τελικά.

Ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν εἰσιν ἕξεις, τὰ δὲ ἐνεργείαι· τὰ δ' ἔτε ἕξεις, ἔτε διαθέσεις· διαθέσεις μὲν, αἱ ἀρεταί· ἕξεις δὲ τὰ ἐπιτεύγματα· ἔτε δὲ ἕξεις, ἔτε διαθέσεις, αἱ ἐνέργειαι. κοινῶς δὲ πῶν ἀγαθῶν μικτὰ μέν ὄζιν εὐτεχνία καὶ εὐγνεία· ἁπλῶν δ' ἐσὶν ἀγαθὸν, ἐπισήμη. καὶ ἀεὶ μὲν παρόντα, αἱ ἀρεταί· οὐκ ἀεὶ δὲ, οἷον χαρὰ, ἀβλαπτησις.

Παῦ δὲ ἀγαθὸν συμφέρον εἶναι, καὶ δέον, καὶ λυσιτελὲς, καὶ χρήσιμον, καὶ εὔχρηςον, καὶ καλὸν, καὶ ὠφέλιμον, καὶ αἱρετὸν, καὶ δίκαιον. συμφέρον μὲν, ὅτι φέρει τοιαῦτα, ὧν συμβαινόντων ὠφελήμεθα. δέον δὲ, ὅτι συνέχει εἰ οἷς χρή. λυσιτελὲς δὲ, ὅτι λύει τὰ τελήμματα εἰς αὐτὸ, ὥσε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ. χρήσιμον δὲ, ὅτι χρείαν ὠφελείας παρέχεται. εὔχρηςον δὲ, ὅτι τὴν χρείαν ἐπαινετὴν ἀπεργάζεται. καλὸν δὲ, ὅτι συμμέτρως ἔχει πρὸς τὴν ἑαυτῦ χρείαν. ὠφέλιμον δὲ, ὅτι τοιῦτόν ὄζιν ὥσε ὠφελεῖν. αἱρετὸν δὲ, ὅτι τοιῦτόν ὄζι ὥσε εὐλόγως αὐτὸ αἱρεῖσθαι. δίκαιον δὲ, ὅτι νόμῳ ἐσὶ σύμφωνον, καὶ κοινωνίας ποιητικόν. καλὸν δὲ λέγεσι τὸ τέλειον ἀγαθὸν, ἢ τὸ πάντας ἀπέχειν τὰς ὀπιζημιώσεις ἀεὶ μὰς ὑπὸ τῆς φύσεως, ἢ τὸ τελείως σύμμετρον. εἴδη δὲ εἶναι τῦ καλῦ τέτταρα, δίκαιον, ἀνδρεῖον, κόσμιον, ἐπιστημονικόν· ἐν ᾧ τοῖς δὲ τὰς καλὰς πράξεις συντελεῖσθαι. ἀνάλογον δὲ καὶ τῦ αἰσχρῦ εἶναι εἴδη τέτταρα· τό, τε ἄδικον, καὶ τὸ δειλὸν, καὶ ἄκοσμον, καὶ ἄφρον. λέγεσθαι δὲ τὸ καλὸν μοναχῶς μὲν, τὸ ἐπαινετὸς παρεχόμενον τὰς ἔχοντας ἀγαθὸν ἐπαίνε ἄξιον· ἑτέρως δὲ, τὸ

εὖ

εὖ πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον· ἄλλως δὲ, τὸ ὅπλον κοσμεῖν, ὅταν λέγωμεν μόνον τὸν σοφὸν, ἀγαθὸν καλὸν εἶναι. λέγεσι δὲ μόνον τὸ καλὸν, ἀγαθὸν εἶναι, καθά φησιν Ἑκάτων ἐν τῷ ξ΄ περὶ ἀγαθῶν, καὶ Χρύσιππος ἐν τοῖς Περὶ τοῦ καλοῦ. εἶναι δὲ τοῦτο ἀρετὴν, καὶ τὸ μετέχον ἀρετῆς· ὥστε ἴσον, τὸ παν ἀγαθὸν, καλὸν εἶναι. καὶ τὸ ἰσοδυναμεῖν τῷ καλῷ τὸ ἀγαθόν· ὅπερ ἴσον ἐστὶ τούτῳ. ἐπεὶ γὰρ ἔστιν ἀγαθὸν, καλόν ἐστιν· ἔστι δὲ καλόν· ἀγαθὸν ἄρα ἐστί.

Δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι, καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον εἶναι αἱρετὸν, καὶ μήτε ἄνεσιν, μήτε ἐπίτασιν δέχεσθαι. τῶν δὲ ὄντων φασὶ τὰ μὲν, ἀγαθὰ εἶναι· τὰ δὲ, κακά· τὰ δὲ οὐδέτερα. ἀγαθὰ μὲν οὖν τάς τε ἀρετὰς, φρόνησιν, δικαιοσύνην, ἀνδρείαν, σωφροσύνην, καὶ τὰ λοιπά· κακὰ δὲ, τὰ ἐναντία, ἀφροσύνην, ἀδικίαν, καὶ τὰ λοιπά· οὐδέτερα δὲ, ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει· οἷον ζωὴ, ὑγίεια, ἡδονὴ, κάλλος, ἰσχὺς, πλοῦτος, δόξα, εὐγένεια· καὶ τὰ τούτοις ἐναντία, θάνατος, νόσος, πόνος, αἶσχος, ἀδοξία, πενία, ἀδοξία, δυσγένεια, καὶ τὰ τούτοις ὁμοιοπλήσια· καθά φησιν Ἑκάτων ἐν ἑβδόμῳ Περὶ τέλους, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ, καὶ Χρύσιππος. μὴ δὲ εἶναι ταῦτα ἀγαθὰ, ἀλλ' ἀδιάφορα, κατ' εἶδος προηγμένα. ὡς δὲ ἴδιον θερμοῦ τὸ θερμαίνειν, καὶ τὸ ψύχειν. οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν, καὶ τὸ βλάπτειν. καὶ μᾶλλον δὲ ὠφελεῖ ἡ βλάπτει ὁ πλοῦτος, καὶ ἡ ὑγίεια· οὐκ ἄρα ἀγαθὸν ὄντε πλοῦτος ὄντε ὑγίεια. ἔτι τε φασὶν, ᾧ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτο οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν πλοῦτος καὶ ὑγίεια. Ποσειδώνιος μὲν τοι καὶ ταῦτά φησι τῶν ἀγαθῶν εἶναι. ἀλλ' ὅδε τῷ ἡδονῷ ἀγαθόν φασιν, Ἑκάτων

πων τε ἐν τῷ ἐυτεακαιδεκάτῳ Περὶ ἀγαθῶν, καὶ Χρύσιππος ἐν τοῖς Περὶ ἡδονῆς· εἶναι δὲ καὶ αἰσχρὰς ἡδονάς· μηδεμίαν δὲ αἰσχρὸν, εἶναι ἀγαθόν. ὠφελεῖν δέ ἐστι κινεῖν ἢ ἴσχειν κατ' ἀρετήν· βλάπτειν δὲ, κινεῖν, ἢ ἴσχειν, κατὰ κακίαν. διχῶς δὲ λέγεσθαι ἀδιάφορα, ἅπαξ μὲν, τὰ μήτε πρὸς εὐδαιμονίαν, μήτε πρὸς κακοδαιμονίαν συνεργοῦντα, ὡς ἔχει πλοῦτος, ὑγίεια, ἰσχὺς, δόξα, καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμονικῆς ὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεται ἀδιάφορα, τὰ μήτε ὁρμῆς, μήτε ἀφορμῆς κινητικά. ὡς ἔχει τὸ ἀρτίας ἔχειν ὑπὸ τῆς κεφαλῆς ῥίχας ἢ φελλοὺς, ἢ ἐκτεῖναι τὸν δάκτυλον, ἢ συσπεῖλαι· τῶν πρότερον ἀδιαφόρων ἐπέθ' ὕστερον λεγομένων. ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τῶν δὲ ἑτέρων ὑπάρξης ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν.

Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα. προηγμένα μέν, τὰ ἔχοντα ἀξίαν· ἀποπροηγμένα δὲ, τὰ ἀναξίαν ἔχοντα. ἀξίαν δὲ, τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ παῦ ἀγαθόν· τὴν δὲ, εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν καθ' φύσιν βίον, ὅμοιον εἰπεῖν, οἷόν τινα προσφέρεται πρὸς τὸν καθ' φύσιν βίον, πλοῦτος ἢ ὑγίεια· τὴν δ' εἶναι ἀξίαν, ἀμοιβὴν δοκιμαστὴν, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ· ὅμοιον εἰπεῖν, ἀμείβεσθαι πυρὸς πρὸς τὰς συκῆς ἡμιόνου κεφαλάς. προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχει· οἷον, ὑπὸ μὲν τῶν ψυχικῶν δύναμιν, τέχνην, προκοπὴν, καὶ τὰ ὅμοια· ὑπὸ δὲ τῶν σωματικῶν, ζωὴν, ὑγίειαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος· ὑπὸ δὲ τῶν ἐκτὸς, πλοῦτον, δόξαν, εὐγένειαν, καὶ τὰ ὅμοια.

Ἀπο-

ὑποπροηγμένα δὲ, ὅτι μὲν τῆς ψυχικῶν, ἀφυΐαν, ἀτεχνίαν, καὶ τὰ ὅμοια· ὅτι δὲ τῆς σωματικῶν, θάνατον, νόσον, ἀδυναμίαν, παχεξίαν, πήρωσιν, αἶσχος, καὶ τὰ ὅμοια· ὅτι δὲ τῆς ἐκτὸς, πενίαν, ἀδοξίαν, δυσγένειαν, καὶ τὰ ἄπλησια. ὅτε δὲ προήχθη, ὅτε ὑποπροήχθη, τὰ ἀδιάφορα ἔχοντα. ἔτι, τῆς προηγμένων τὰ μὲν, δι' αὐτὰ προῆκται, τὰ δὲ, δι' ἕτερα· τὰ δὲ, καὶ δι' αὐτὰ καὶ δι' ἕτερα. δι' αὐτὰ μὲν, δυφυΐα, εὐροκοπή, καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ, πλοῦτος, εὐγνωμοσύνη, καὶ τὰ ὅμοια· δι' αὐτὰ δὲ καὶ δι' ἕτερα, ἰσχύς, αἴσθησις, ἀρτιότης. δι' αὐτὰ μὲν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δὲ, ὅτι εὐποιεῖ χρείας ἐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ ὑποπροηγμένον, καὶ τὸν ἐναντίον λόγον.

Ἔτι δὲ καθῆκον φασὶν εἶναι ὃ προηχθὲν, εὔλογόν τε ἔχει ὑπολογισμόν· οἷον, τὸ ἀπόλουθον ἐν τῇ ζωῇ, ὅπερ καὶ ὅτι τὰ φυτὰ καὶ ζῶα διατείνει· ὁρᾶσθαι γὰρ καὶ ἐπὶ τούτων καθήκοντα. καταμανθάνεσθαι δὲ ἔφασι καὶ παρὰ τοῦ Ζήνωνος τὸ καθῆκον, ἀπὸ τῶν κατά τινας ἥκειν, τῆς προσωνομασίας εἰλημμένης. ἐνέργημα δὲ αὐτὸ εἶναι, ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. τῆς γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν, καθήκοντα εἶναι· τὰ δὲ, παρὰ τὸ καθῆκον. καθήκοντα μὲν ἂν εἶναι, ὅσα λόγος αἱρεῖ ποιεῖν· ὡς ἔχει, γονεῖς τιμᾶν, ἀδελφὲς, πατρίδα, συμφέρεσθαι φίλοις. παρὰ τὸ καθῆκον δὲ, ὅσα μὴ αἱρεῖ λόγος· ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, συγγενῶν ἀφροντιστεῖν, φίλοις μὴ συμπαθεῖσθαι, πατρίδος ὑπερορᾶν, καὶ τὰ παραπλήσια. ὅτε δὲ καθήκοντα, ὅτε παρὰ τὸ καθῆκον, ὅσα ὅτε αἱρεῖ λόγος πράττειν, ὅτε ἀπαγορεύει· οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν, σλεγγίδα, καὶ τὰ ὅμοια τούτοις. καὶ τὰ μὲν εἶναι καθήκοντα,

παθῶν πρὸς ἀσθένειαν· τὰ δὲ, περιστατικά. καὶ αὖθις μὲν πε-
ριστάσεως, τάδε, ὑγιείας ἐπιμελεῖσθαι, καὶ αἰδημόνων, καὶ
τὰ ὅμοια· καὶ πρὸς ἕξιν δὲ, τὸ πηρῶν ἑαυτὸν, καὶ τοὺς
κύσιν ἁρπάζειν· ἀνάλογον δὲ καὶ πρὸς τὸ παθητι-
κὸν. ἔτι τῶν καθηκόντων, τὰ μὲν ἀεὶ καθήκει, τὰ δὲ
οὐκ ἀεί· καὶ ἀεὶ μὲν καθήκει, τὸ κατ' ἀρετὴν ζῆν· οὐκ
ἀεὶ δὲ, τὸ ἐρωτᾶν, τὸ ὑποκρίνεσθαι, καὶ πρὸς ἕξιν, καὶ
τὰ ὅμοια. ὁ δ' αὐτὸς λόγος καὶ ὅτι τῶν πρός τι τὸ καθη-
κον. ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πεί-
θεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς.

Φασὶ δὲ τοὺς ψυχοὺς εἶναι ὀκταμερῆ· μέρη δὲ αὐτῆς,
τά τε πέντε αἰσθητήρια, καὶ τὸ φωνητικὸν ὄργανον, καὶ τὸ δια-
νοητικὸν, ὅπερ ἔστιν αὐτοῖς ἡδιάνοια· καὶ τὸ γονητικόν. ἐκ δὲ
τῆς φαντασίας ἐπιγίνεσθαι τοὺς διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ'
ἧς πολλὰ πάθη βλασταίνειν, καὶ ἀκαταστασίας αἴτια. ἔστι δὲ
αὐτὸ τὸ πάθος, καθά φησι Ζήνων, ἡ ἄλογος καὶ παρὰ φύσιν
ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. τῶν δὲ παθῶν τὰ
αὐτὰ πάντα (καθά φησιν Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ
παθῶν, καὶ Ζήνων ἐν τῷ Περὶ παθῶν) εἶναι γενικὰ τέτ-
ταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν. δοκεῖ δὲ αὐτοῖς τὰ
πάθη κρίσεις εἶναι, καθά φησι Χρύσιππος ἐν τῷ Πε-
ρὶ παθῶν· ἥτε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀρ-
γύριον καλὸν εἶναι, καὶ ἡ μέθη δὲ, καὶ ἡ ἀκολασία
ὁμοίως, καὶ τὰ ἄλλα. καὶ τὴν μὲν λύπην, εἶναι συστο-
λὴν ἄλογον· εἴδη δὲ αὐτῆς, ἔλεον, φθόνον, ζῆλον, ζη-
λοτυπίαν, ἄχθος, ἐνόχλησιν, ἀθυμίαν, ὀδύνην, σύγχυ-
σιν. ἔλεον μὲν εἶναι λύπην, ὡς ἐπὶ ἀναξίως κακο-
παθοῦντι· φθόνον δὲ, λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς·
ζῆλον δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ὧν αὐτὸς ἐπι-
θυμεῖ· ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι
ἃ καὶ αὐτὸς ἔχει· ἄχθος δὲ, λύπην βαρυύσαν· ἐνό-

χλη-

χλησιν, λύπην συνοχωρῆσαι, καὶ δυσχωρίαν προσκλάζεσαι· αἰσία, λύπην ἐκ λογισμῶν μὴ ὑπεινομένην· ὀδύνη, λύπην ὑπόπονον· σύγχυσιν, λύπην ἄλογον, ἀποκναίσασαν καὶ κωλύσασαι τὰ παρόντα συνορᾶν· ὁ δὲ φόβος, ὄξις προσδοκία κακοῦ· εἰς δὲ τὸν φόβον ἀνάγεται καὶ ταῦτα, δεῖμα, ἔκνοος, αἰχμή, ἔκπληξις, θόρυβος, ἀγωνία. δεῖμα μέν ἐστι φόβος δέος ἐμποιῶν· αἰχμὴ δέ, φόβος ἀδοξίας· ἔκνοος δέ, φόβος μελλούσης ἐνεργείας· ἔκπληξις δέ, φόβος ἐκ φαντασίας ἀσυνήθους πράγματος· θόρυβος δέ, φόβος μὴ κατεπείξεως φωνῆς· ἀγωνία δέ, φόβος ἀδήλου πράγματος. ἐπιθυμία δέ ἐστιν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται καὶ ταῦτα, πρᾶσις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις, θυμός. ἔστι δὲ ἡ μὲν πρᾶσις ἐπιθυμία τις ἐν ἀποδύσει, καὶ οἷον κεχωρισμένη ἐκ τοῦ πράγματος, τεταμένη δὲ ἀκοαῖς ἐπ' αὐτὸ καὶ πεπωμένη. μῖσος δέ ἐστιν ἐπιθυμία τις τοῦ κακῶς εἶναί τινι, μὴ προκοπῆς τινος καὶ προπάσεως· φιλονεικία δέ, ἐπιθυμία τις περὶ αἱρέσεως· ὀργὴ δέ, ἐπιθυμία τιμωρείας, τοῦ δοκοῦντος ἠδικηκέναι ἢ προσηκόντως· ἔρως δέ ἐστιν ἐπιθυμία τις, οὐχὶ περὶ παιδιάς· (ἔστι γὰρ ἐπιβολὴ φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον.) μῆνις δέ ἐστιν ὀργὴ πεπαλαιωμένη καὶ ἐπίκοτος, ἐπιτρητικὴ δέ· ὅπερ ἐμφαίνεται διὰ τῶνδε,

Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ κατακέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ.

ἡ δὲ θυμός ἐστιν ὀργὴ ἀρχομένη. ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις, ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν· ὑφ' ἣν τάττεται κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. κήλησις μὲν ἔν ἐστιν, ἡδονὴ δι' ὤτων κατακλῶσα· ἐπιχαιρεκακία δέ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· τέρψις δέ, οἷον ξέψις,

προξοπὴ τῆς ψυχῆς ὅπὶ τὸ ἀνεμπόδιστον· ἔξις δὲ, ἀνάλυσις ἀρετῆς· ὡς δὲ λέγεταί τινα ὅπὶ τῶν σώματος ἀῤῥωστήματα, οἷον, ποδάγραι, καὶ ἀρθρίτιδες· ἕπω καὶ ἐπὶ τῆς ψυχῆς, φιλοδοξία, καὶ φιλησδονία, καὶ τὰ ὡσαύτως πλήσια. τὸ γὰρ ἀῤῥώστημα, ὅστι νόσημα μὴ ἀπὸ φύσεως· τὸ δὲ νόσημα, οἵησις σφόδρα δοκούντος αἱρετῶν. καὶ ὡς ὅπὶ τῶν σώματος δυσεμπωσίαι τινὲς λέγονται. οἷον καταῤῥὺς καὶ ἀῤῥοια· ἕπω καὶ ἐπὶ τῆς ψυχῆς εἰσιν ἀκαταφορίαι, οἷον ἀθυμίαι, ἀνελευθερίαι, ἔριδες, καὶ τὰ ὡσαύτως πλήσια. εἶναι δὲ καὶ ἀπαθείας φασὶ ζωῆς, χαρὰν, ἀλάβειαν, βούλησιν. καὶ τὴν μὲν χαρὰν ἐναντίαν φασὶν εἶναι τῇ ἡδονῇ, ὅταν εὔλογον ἔπαρσιν· τὴν δὲ ἀλάβειαν, τῷ φόβῳ, ὅταν εὔλογον ἔκκλισιν· (φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν κακῶς, ἀλαβηθήσεσθαι δέ.) τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλησιν, ὅταν εὔλογον ὄρεξιν. καθάπερ ἂν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τὰς πρώτας ἀπαθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν, εὐνοιαν, ἀμφίειαν, ἀσπασμὸν, ἀγάπησιν· ὑπὸ δὲ τὴν ἀλάβειαν, αἰδῶ, ἀγνείαν· ὑπὸ δὲ τὴν χαρὰν, τέρψιν, ἀφροσυνίαν, ἀθυμίαν.

Φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφὸν, ἀλλὰ τὸ ἀνέμπτωτον εἶναι. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀξέπτῳ. ἄτυφόν τε εἶναι τὸν σοφὸν· ἴσως γὰρ ἔχειν πρός τε τὸ εὔδοξον καὶ τὸ ἄδοξον· εἶναι δὲ καὶ ἄλλον ἄτυφον, καὶ τὸν εἰκαῖον τεταγμένον, ὅς ὅστι φαῦλος. καὶ αὐσηροὺς δέ φασιν εἶναι πάντας τοὺς ἀπαιδεύτους, τῷ μήτε αὐτοὺς πρὸς ἡδονὴν ὁμιλεῖν, μήτε παρ' ἄλλων τὰ πρὸς ἡδονὴν προσδέχεσθαι. καὶ ἄλλον δὲ εἶναι αὐσηρὸν, ὡσαύτως λεγόμενον τῷ αὐσηρῷ οἴνῳ, ᾧ πρὸς μὲν φαρμακοποιΐαν χρῶνται, πρὸς δὲ πρόποσιν ὁ πάνυ. ἀκιβδήλους τε τοὺς ἀπαιδεύτους, φυλακτικοὺς τε

εἶναι

εἶναι τὸ ὅτι τὸ βέλτιον αὐτὸς παρεσκεύκειν, ἀλλ' ὥσπερ σκύλης τῆς τὰ φαῦλα μὴ ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης. ἁπλᾶς δὲ εἶναι· περιγράφεσθαι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα, καὶ ἐν τῷ εἴδει. ἀπραγμονάστε εἶναι· ἐπικλίνειν γὰρ τὸ πράττειν τὸ ὠφελοῦν τὸ καθῆκον· καὶ οἰνασθήσεσθαι μὲν, ἐὰν μεθυσθήσεσθαι δέ· ἔτι δὲ ἐδὲ μανήσεσθαι. προαπεσεῖσθαι μέντοι ποτὲ αὐτῷ φαντασίας ἀλλοκότους, διὰ μελαγχολίαν ἢ λήρησιν, ἐκ τὸν τῆς αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. ἐδὲ μὴν λυπηθήσεσθαι τὴν σοφὸν, διὰ τὸ τὴν λύπην, ἄλογον εἶναι συγκολλᾶν ψυχῇ, ὡς Ἀπολλόδωρός φησιν ἐν τῇ ἠθικῇ. θεὸς τε εἶναι· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν. τὸν δὲ φαῦλον, ἄθεον. διττὸν δὲ εἶναι τὸν ἄθεον· τόν τε ἐναντίως τῷ θείῳ λεγόμενον, καὶ τὸν ἐξωθουμενικὸν τῷ θείῳ· ὅπερ οὐκ εἶναι παρὰ πάντα φαῦλον. θεοσεβεῖς τε τὰς περιδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεῶν νομίμων· εἶναί τε τὴν δυσέβειαν ὑπηρεσίαν θεῶν θεραπείας. ἀλλὰ μὴν καὶ θύειν αὐτὸς θεοῖς, ἁγιάς τε ὑπάρχειν· ἐνδύειν γὰρ τὰ περὶ τὰς θεὰς ἁμαρτήματα. καὶ τὰς θεὰς ἀγαθὰς αὐτὸς· ὁσίας τε γὰρ εἶναι καὶ δικαίας πρὸς τὸ θεῖον. μόνας τε ἱερεῖς τὰς σοφὰς· ἐπεσκέφθαι γὰρ περὶ θυσιῶν, ἱδρύσεων, καθαρμῶν, τῶν ἄλλων τῶν πρὸς θεὺς οἰκείων. δοκεῖ δὲ αὐτοῖς καὶ γονέας σεβήσεσθαι, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς ἐν δευτέρᾳ μοίρᾳ μετὰ τὰς θεάς. φασὶ δὲ καὶ τὴν πρὸς τὰ τέκνα φιλοσοργίαν φυσικὴν εἶναι αὐτοῖς, καὶ ἐν φαύλοις μὴ εἶναι· ἀρέσκειν τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθάφησι Χρύσιππος ἐν τῷ τετάρτῳ τῶν ἠθικῶν ζητημάτων, καὶ Περσαῖος, καὶ Ζήνων. εἰ γὰρ ἀληθὲς ἀληθὲς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους· οὔτως οὐδὲ ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὃ

ἑκατὸν σταδίους ἀπέχων Κανώβου, καὶ ὁ σῖτος, ὅπως ἂν εἰσὶν ἐν Κανώβῳ· ὅπου καὶ ὁ πλεῖστον καὶ ὁ ἔλαττον ἁμαρτάνων, ὅπως ἂν εἰσὶν ἐν τῷ κατορθοῦν. Ἡρακλείδης μέντοι ὁ Ταρσεὺς Ἀντιπάτρου τοῦ Ταρσέως γνώριμος, καὶ Ἀθηνόδωρος, ἀΐσασι φασὶ τὰ ἁμαρτήματα. πολιτεύεσθαι φασὶ τὸν σοφὸν ἂν μή τι κωλύῃ, ὡς φησι Χρύσιππος ἐν πρώτῳ Περὶ βίων. καὶ γὰρ κακίαν ἐφέξειν, καὶ ἐπ' ἀρετὴν παρορμήσειν. καὶ γαμήσειν (ὡς ὁ Ζήνων φησὶν ἐν πολιτείᾳ) καὶ παιδοποιήσεσθαι. ἔτι τε μὴ δοξάσειν τὸν σοφὸν, τοῦτ' ἔστι φευδεῖ μὴ συγκαταθήσεσθαι μηδενί. κυνιεῖν τε αὐτόν· εἶναι γὰρ τὸν κυνισμὸν συμπορον ἐπ' ἀρετὴν ὁδὸν, ὡς Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. γεύσεσθαί τε καὶ ἀνθρωπίνων σαρκῶν, κατὰ Χρύσιππον. μόνους τε, ἐλευθέρους· τοὺς δὲ φαύλους, δούλους. εἶναι δὲ τὴν ἐλευθερίαν, ἐξουσίαν αὐτοπραγίας. τὴν δὲ δουλείαν, στέρησιν αὐτοπραγίας. εἶναι δὲ καὶ ἄλλην δουλείαν τὴν ἐν ὑποτάξει, καὶ ζῆτιν τὴν ἐν κτήσει τε καὶ ὑποτάξει, ἣν ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὕτη. καὶ μόνους δὲ ἐλευθέρους εἶναι τοὺς σοφοὺς, καὶ πολίτας καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις Χρυσίππου μόνους τοὺς σοφοὺς φησὶν, καθάφησι Χρύσιππος ἐν τῷ Περὶ τοῦ κυρίως λεχθῆναι Ζήνωνα τοῖς ὀνόμασιν. ἐγνωκέναι γάρφησι δεῖν τὸν ἄρχοντα περὶ ἀγαθῶν καὶ κακῶν· μηδενὸς δὲ τῶν φαύλων ὄντος τοιούτου. ὁμοίως δὲ καὶ ἀρχικοὺς, δικαστικούς τε καὶ ῥητορικοὺς μόνους εἶναι· τῶν δὲ φαύλων οὐδένα. ἔτι καὶ ἀναμαρτήτους, τῷ ἀπερισπάστους εἶναι ἁμαρτήματι. ἀβλαβεῖς τε εἶναι· οὐ γὰρ ἄλλους βλάπτειν, ὅτε αὐτούς. ἐλεήμονάς τε μὴ εἶναι, συγγνώμονάς τε ἔχειν μηδενί· μὴ δεῖν παρεῖναι τοὺς ἐν τοῖς νόμοις ἐπιβαλλούσας κολάσεις· ἐπεὶ τό γε εἰκῆ, καὶ ὁ ἔλεος, αὐτή τε ἡ ἐπιείκεια, νόσημά ἐστι ψυχῆς πρὸς κολάσεις προπετεστέρα χρησότητα, μηδὲ οἴεσθαι σκληρο-

τέ-

τέρας αὐτὰς εἶναι. ἔτι γε τὸν σοφὸν ἀδοξοδοξίαν θαυμάζειν τῶν δοκούντων ἀδοξοδόξων, οἷον χαρώνεια, καὶ ἀμπώτιδας, καὶ πηγὰς θερμῶν ὑδάτων, καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν ἀδ' ἐν ἐρημίᾳ (φασὶ) βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ φύσει καὶ πρακτικός. τὴν μέντοι ἄσκησιν ὑποδέξεται ὑπὲρ τῆς τοῦ σώματος ὑπομονῆς. εὔξεταί τε (φασὶν) ὁ σοφὸς, αἰτούμενος τὰ ἀγαθὰ παρὰ τῶν θεῶν, καθάφησι Ποσειδώνιος ἐν τῷ πρώτῳ Περὶ καθηκόντων, καὶ Ἑκάτων ἐν δεκάτῳ Περὶ ἀδοξοδόξων. λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι, διὰ τὴν ὁμοιότητα. φασὶ δὲ αὐτὴν κοινωνίαν τινὰ εἶναι τοῦ καθ' τὸν βίον, χαριζομένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. δι' οὗτόν τε αἱρετὸν τὸν φίλον ὑποφαίνονται, καὶ τὴν πολυφιλίαν ἀγαθόν. οὔ τε τοῖς φαύλοις μὴ εἶναι φιλίαν. μηδενί τε τοῦ φαύλου φιλονεικεῖν, πάντας τε τοὺς ἄφρονας μαίνεσθαι. ὁ γὰρ φρονίμως εἶναι, ἀλλὰ καὶ τὴν ἴσην τῇ ἀφροσύνῃ μανίαν πάντα πράττειν. πάντας τε εὖ ποιεῖν τὸν σοφὸν, ὡς καὶ παντὶ φαμὲν τὸ αὐλήματος εὖ αὐλεῖν τὸν Ἰσμηνίαν. καὶ τοῦ σοφοῦ δὲ πάντα εἶναι. δεδωκέναι γὰρ αὐτοῖς πανταχῆ ἐξουσίαν τὸν νόμον. τοῦ δὲ φαύλου εἶναι τινὰ λέγεται, οὐ τρόπον καὶ τοῦ ἀδίκου, ἄλλως μὲν τῆς πόλεως, ἄλλως δὲ τοῦ χαριζομένου φαμέν.

Τὰς δὲ ἀρετὰς λέγουσιν ἀκολουθεῖν ἀλλήλαις, καὶ τὸν μίαν ἔχοντα, πάσας ἔχειν. εἶναι γὰρ αὐτῶν τὰ θεωρήματα κοινά, καθάπερ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν φησίν. Ἀπολλόδωρος δὲ ἐν τῇ φυσικῇ κατὰ τινὰ ἀρχαίαν, Ἑκάτων δὲ ἐν τῷ τρίτῳ Περὶ ἀρετῶν. τὸν γὰρ ἐνάρετον, θεωρητικόν τε εἶναι, καὶ ποιητικὸν τῶν πρακτέων· τὰ δὲ πρακτέα καὶ αἱρετέα ὄντα, καὶ ὑπομονη-

πτα καὶ ἀπονεμητέα καὶ ἐμμενητέα. ὥστε εἰ τὰ μὲν αἱρετικῶς ποιεῖ, τὰ δὲ ὑπομονητικῶς, τὰ δὲ ἀπονεμητικῶς, τὰ δὲ ἐμμενητικῶς, φρόνιμός τε ἔσται καὶ ἀνδρεῖος, καὶ δίκαιος, καὶ σώφρων. κεφαλαιοῦσθαί τε ἑκάστων τῶν ἀρετῶν φησί τι ἴδιον κεφάλαιον· οἷον, τὴν ἀνδρείαν φησὶ τὰ ὑπομονητέα, τὴν φρόνησιν φησὶ τὰ πρακτέα, καὶ μή, καὶ ἀδέκαστα· ὁμοίως τε καὶ τὰς ἄλλας φησὶ τὰ οἰκεῖα ἔχειν πεφυκέναι. ἔπεται δὲ τῇ μὲν φρονήσει εὐβουλία καὶ συνέσεις· τῇ δὲ σωφροσύνῃ, εὐταξία, καὶ κοσμιότης· τῇ δὲ δικαιοσύνῃ, ἰσότης, καὶ ἀγνωμοσύνη· τῇ δὲ ἀνδρείᾳ, ἀνδραλαξία, καὶ εὐτονία. ἀρέσκει δὲ αὐτοῖς μηδὲν μέσον εἶναι ἀρετῆς καὶ κακίας· τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ κακίας εἶναι λεγόντων τὴν προκοπήν. ὡς γὰρ δεῖν φασὶν ἢ ὀρθὸν εἶναι ξύλον ἢ στρεβλόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον· ὅτε δὲ δικαιότερον, ὅτε ἀδικώτερον. καὶ ὅπη τῶν ἄλλων ὁμοίως. καὶμὴν τὴν ἀρετὴν Χρύσιππος μὲν, ἀποβλητήν· Κλεάνθης δὲ, ἀναπόβλητον. ὁ μὲν, ἀποβλητὴν, ἅτε μέθην καὶ μελαγχολίαν· ὁ δὲ, ἀναπόβλητον, ἅτε βεβαίως καταλήψεις. καὶ αὐτὴν δὲ αἱρετὴν εἶναι. αἰσχυνόμεθα γὰρ ἐφ' οἷς κακῶς πράττομεν, ὡς αὐ μόνον τὸ καλὸν εἰδότες ἀγαθόν. αὐτάρκη τε εἶναι αὐτὴν πρὸς εὐδαιμονίαν, καθάφησι Ζήνων καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν, καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ ἀγαθῶν. Εἰ γὰρ (φησὶν) αὐτάρκης ἐστὶν ἡ μεγαλοψυχία πρὸς τὸ πάντων ὑπεραίρειν ποιεῖν, ἔστι δὲ μέρος ἀρετῆς, αὐτάρκης ἐστὶ καὶ ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, καταφρονοῦσα καὶ τῶν δοκούντων ὀχληρῶν. ὁ μέντοι Παναίτιος καὶ Ποσειδώνιος ἐκ αὐτάρκη λέγουσι τὴν ἀρετὴν, ἀλλὰ χρείαν εἶναι φασὶ καὶ ὑγιείας, καὶ ἰσχύος, καὶ χορηγίας. ἀρέσκει δὲ αὐτοῖς καὶ δραπανοῦ χρῆσθαι

τῇ

τῇ ἀρετῇ, ὡς οἱ περὶ Κλεάνθην φασίν. ἀναπόβλητος γάρ ἐστι, καὶ παντοτε τῇ ψυχῇ χρῆται ὅση τελεία ὁ σπουδαῖος.

Φύσει τε τὸ δίκαιον εἶναι, καὶ μὴ θέσει, ὡς καὶ τὸν νόμον καὶ τὸν ὀρθὸν λόγον, καθάφησι Χρύσιππος ἐν τῷ Περὶ καλῶ. δοκεῖ δὲ αὐτοῖς μήτε τὴν διαφωνίαν ἀφίσασθαι φιλοσοφίας· ἐπεὶ τῷ λόγῳ τούτῳ προλείπειν ὅλον τὸν βίον, ὡς καὶ Ποσειδώνιός φησιν ἐν τοῖς προτρεπτικοῖς, διχρῆσεῖν δὲ καὶ τὰ ἐγκύκλια μαθήματα φησὶν ὁ Χρύσιππος. ἔτι ἀρέσκει αὐτοῖς μηδὲν εἶναι ἡμῖν δίκαιον πρὸς τὰ ἄλλα ζῶα, διὰ τὴν ἀνομοιότητα, καθάφησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ δικαιοσύνης, καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ καθήκοντος. καὶ ἐραθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων, τῶν ἐμφαινόντων διὰ τὸ εἶδος τὴν πρὸς ἀρετὴν διφυΐαν, ὡς φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ βίων, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. εἶναι δὲ τὸν ἔρωτα, ἐπιβολὴν φιλοποιΐας, διὰ κάλλος ἐμφαινόμενον· καὶ μὴ εἶναι συνουσίας, ἀλλὰ φιλίας. τὸν γὲν Θρασωνίδην, καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμενίην, διὰ τὸ μισεῖσθαι, ἀπέχεσθαι αὐτῆς. εἶναι δὲ τὸν ἔρωτα φιλίας, ὡς καὶ Χρύσιππος ἐν τῷ Περὶ ἔρωτος φησί· καὶ μὴ εἶναι ἐπιμεμπτον αὐτόν. εἶναι δὲ καὶ τὴν ὥραν ἄνθος ἀρετῆς. Βίων δὲ ξιῶν ὄντων, θεωρητικὸν, καὶ πρακτικὸν, καὶ λογικὸν, τὸν ξίπον φασὶν αἱρετέον· γεγονέναι γὰρ ὑπὸ τῆς φύσεως ἐπιτηδες τὸ λογικὸν ζῶον πρὸς θεωρίαν καὶ πρᾶξιν. διὸ λόγως τε φασὶν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφὸν, καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων· καὶ ἐν σκληροτέρᾳ γρύπται ἀλγηδόνι, ἢ πηρώσεσιν, ἢ νόσοις ἀνιάτοις. ἀρέσκει δὲ αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας δεῖν διὰ τοὺς σοφούς· ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχού-

σῃ

σῃ χῆδαι, καθάφησι Ζήνων ἐν τῇ πολιτείᾳ, ᾗ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας, ἀλλά τε Διογένης ὁ Κυνικὸς, ᾗ Πλάτων. πάντας τε παῖδας ὁπίσης σέρξομεν πατέρων ἔρον, ᾗ ἡ ὅπλ μοιχεία ζηλοτυπία περιαιρεθήσεται. πολιτείαν δὲ ἀρίστην, τὴν μικτὴν ἔκ τε δημοκρατίας ᾗ βασιλείας ᾗ ἀριστοκρατίας. ᾗ ἐν μὲν τοῖς ἠθικοῖς δόγμασιν οἱ Στωϊκοὶ τοιαῦτα λέγουσι, ᾗ τῶν πλείω μετὰ τῶν οἰκείων ἀποδείξεων. ταῦτα δὲ ὡς ἐν κεφαλαίοις ἡμῖν δεδιελέχθω, καὶ στοιχειωδῶς.

Τὸν δὲ φυσικὸν λόγον διαιρεῖσιν εἴς τε τὸν περὶ σωμάτων τόπον, ᾗ περὶ ἀρχῶν, ᾗ στοιχείων, ᾗ θεῶν, ᾗ τεράτων, ᾗ τόπε, ᾗ κενε. ᾗ ὕπω μὲν εἰδικῶς. ῥητικῶς δὲ εἰς ξεῖς τόπες, τόν τε περὶ κόσμε, ᾗ τὸν περὶ τῶν στοιχείων, ᾗ ξίπν τὸν αἰτιολογικόν. τὸν δὲ περὶτε κόσμε διαιρεῖδαι φατὶν εἰς δύο μέρη. μιᾷ γὰρ σκέψει ὑπόκειωνεῖν αὐτε ᾗ τὰς ὑπὸ τῶν μαθηματικῶν, καθ' ἣν ζητῆσι περί τε τῶν ἀπλανῶν ᾗ τῶν πλανωμένων· οἷον, εἰ ὁ ἥλιός ἐξι τηλικῆτος ἥλικος φαίνεται, ᾗ ὁμοίως εἰ ἡ σελήνη· ᾗ περὶ δινήσεως, ᾗ τῶν ὁμοίων τέτοις ζητημάτων. ἑτέραν δὲ αὐτῆ σκέψιν εἶναι ἥτις μόνοις τοῖς φυσικοῖς ὑπβάλλει, καθ' ἣν ζητεῖται ἥ τε ὐσία αὐτε, ᾗ εἰ ὁ ἥλιος, ᾗ οἱ ἀστέρες ἐξ ὕλης ᾗ εἴδες, ᾗ εἰ ῥητὸς ἢ ἀγένητος, ᾗ εἰ ἔμψυχος, ἢ ἄψυχος, ᾗ εἰ φθαρτὸς ἢ ἄφθαρτος, ᾗ εἰ προνοίᾳ διοικεῖται, καὶ περὶ τῶν λοιπῶν. τόν τε αἰτιολογικὸν, εἶναι ᾗ αὐτὸν διμερῆ· μιᾷ δὲ αὐτῆ ὑποπέψει ὑποκοινωνεῖν τὴν τῶν ἀρχῶν ζήτησιν, καθ' ἣν ζητῆσι περί τε τῆ ἡγεμονικῆ τῆς ψυχῆς καὶ τῶν ἐν ψυχῇ γινομένων, καὶ περὶ σπερμάτων καὶ τῶν τέτοις ὁμοίων. τὸ δ' ἑτέρε ᾗ τὰς ὑπὸ τῶν μαθημάτων ἀντιποιεῖδαι· οἷον, πῶς ὁρῶμεν, τίς ἡ αἰτία τῆς κατοπτρικῆς φανπατίας· ὅπως νέφη σωίσανται,

βροι-

βρονται, καὶ ἥλιος, καὶ ἄλως, καὶ κομῆται, καὶ τὰ παραπλήσια.

Δοκεῖ δ' αὐτῆς ἀρχὰς εἶναι τὴν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον, εἶναι τὴν ἄποιον οὐσίαν τὴν ὕλην· τὸ δὲ ποιοῦν, τὸν ἐν αὐτῇ λόγον τὸν θεόν. τοῦτον γὰρ ὄντα ἀΐδιον καὶ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζηνὼν μὲν ὁ Κιττιεὺς ἐν τῷ Περὶ οὐσίας, Κλεανθης δὲ ἐν τῷ Περὶ τῆς ἀτόμων, Χρύσιππος δὲ ἐν τῇ πρώτῃ τῆς φυσικῶν τόμῳ τῆς τέλει, Ἀρχέδημος δ' ἐν τῷ Περὶ στοιχείων, καὶ Ποσειδώνιος ἐν τῷ δευτέρῳ τῶν φυσικῶν λόγων. διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ, εἶναι ἀγεννήτους καὶ ἀφθάρτους· τὰ δὲ στοιχεῖα, καὶ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ σώματα εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους· τὰ δὲ, μεμορφῶσθαι. σῶμα δ' ἐστὶ (φησὶν Ἀπολλόδωρος ἐν τῇ φυσικῇ) τὸ διχῇ διαστατόν, εἰς μῆκος, εἰς πλάτος, εἰς βάθος· τοῦτο δὲ καὶ στερεὸν σῶμα καλεῖται. ἐπιφάνεια δ' ὅρος σώματος πέρας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. παύτην δὲ Ποσειδώνιος ἐν τρίτῳ Περὶ μετεώρων, καὶ κατ' ὄψιν καὶ καθ' ὑπόστασιν ἀπολείπει. γραμμὴ δ' ὅρος ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, ἢ τὸ μῆκος μόνον ἔχον. στιγμὴ δ' ὅρος γραμμῆς πέρας, ἥτις ὅρος σημεῖον ἐλάχιστον. εἶναί τε εἱμαρμένην καὶ νοῦν, καὶ εἱμαρμένην καὶ Δία, πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα, τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τὸν σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιόνδε ὑπολιπέσθαι ἐν τῷ ὑγρῷ, ὅπερ αὐτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῆς ἑξῆς γενέσιν· εἶτα ἀποφαίνειν πρῶτον τὰ τέσσαρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν.

λέγει

λέγει δὲ περὶ αὐτῆς Ζήνων τε ἐν τῷ Περὶ τοῦ ὅλου, καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῆς φυσικῶν, καὶ Ἀρχέδημος οὕτω πως Περὶ στοιχείων.

Ἔστι δὲ στοιχεῖον, ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα, καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὴ τέτταρα στοιχεῖα εἶναι φασὶ τοῦ ἀπείρου οὐσίαν τοῦ ὅλου. εἶναι δὲ τὸ μὲν πῦρ, τὸ θερμόν· τὸ δὲ ὕδωρ, τὸ ὑγρόν· τόν τε ἀέρα, τὸ ψυχρόν. καὶ τοῦ γοῦν, τὸ ξηρόν· ἃ μιᾶ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. καὶ πρῶτόν μὲν ἓν εἶναι τὸ πῦρ, ὃν δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτου τοῦ τῆς ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τοῦ τῆς πλανωμένων· μεθ' ὃν τὸν ἀέρα· εἶτα τὸ ὕδωρ· ὑποστάθμιον δὲ πάντων τοῦ γοῦν, μέσου ἁπάντων ὄντα.

Λέγεσι δὲ κόσμον ξιχῶς· αὐτόν τε τὸν θεὸν, τὸν ἐκ τῆς ἁπάσης οὐσίας ἰδίως ποιὸν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, καὶ χρόνου ποιὰς περιόδους, ἀναλίσκων εἰς ἑαυτὸν τοῦ ἅπασαν οὐσίαν, καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. καὶ αὐτοῦ δὲ τοῦ διακόσμησιν τῆς ἀστέρων, κόσμον εἶναι λέγουσι· καὶ ξίτον, τὸ σωζεσθαι ἐξ ἀμφοῖν. καὶ ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τοῦ ὅλου οὐσίας, ἢ (ὥς φησι Ποσειδώνιος ἐν τῇ μετεωρολογικῇ στοιχειώσει) σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων· ἢ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων, καὶ τῶν ἕνεκα τούτων γεγονότων. οὐρανός δέ ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πάντα ἵδρυται τὰ θεῖα. τὸν δὴ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, καθάφησι Χρύσιππος ἐν τοῖς Περὶ προνοίας, καὶ Ποσειδώνιος ἐν τοῖς δεκάτῳ Περὶ θεῶν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς. ἀλλ' ἧδη δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον. δι' ὧν μὲν γὰρ ὡς ἕξις διήκουσα, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν δὲ

ὡς

ὡς νῆς, ὡς διὰ τῆ ἡγεμονικῆ. ἔπω δὴ καὶ τὸν ὅλον κόσμον ζῶον ὄντα καὶ ἔμψυχον καὶ λογικὸν, ἔχειν ἡγεμονικὸν μὲν τὸν αἰθέρα, καθάφησιν Ἀντίπατρος ὁ Τύριος ἐν τῷ ὀγδόῳ Περὶ κόσμου. Χρύσιππος δὲ ἐν τῷ πρώτῳ Περὶ προνοίας, καὶ Ποσειδώνιος ἐν τῷ Περὶ θεῶν, τὸν ὑπὸ σελήνην φασὶ τὸ ἡγεμονικὸν τῆ κόσμου. Κλεάνθης δὲ, τὸν ἥλιον. ὁ μέντοι Χρύσιππος, διαφορώτερον πάλιν, τὸ καθαρώτερον τῆ αἰθέρος ἐν ταὐτῷ· ὃ καὶ πρῶτον θεὸν λέγουσιν αἰσθητικῶς ὥσπερ κεχωρικέναι διὰ τῶν ἐν ἀέρι, καὶ διὰ τῶν ζώων ἁπάντων καὶ φυτῶν· διὰ δὲ τῆς γῆς αὐτῆς, καθ' ἕξιν. εἶναι τὸν κόσμον εἶναι, καὶ τετράπτερασμένον, σχῆμα ἔχοντα σφαιροειδές. πρὸς γὰρ τὰς κινήσεις ἁρμοδιώτατον τὸ τοιοῦτον· καθάφησι Ποσειδώνιος ἐν ιέ. τῆ φυσικῆ λόγῳ, καὶ οἱ περὶ Ἀντίπατρον ἐν τῆς Περὶ κόσμου. ἔξωθεν δὲ αὐτῆ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον· ὅπερ ἀσώματον εἶναι· ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων ἀ κατεχομένων. ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενὸν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζειν τὰς τῶν ὅλων πρὸς τὰ ὁμήγεια συμπνοιαν καὶ συντονίαν· (φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ Περὶ κενοῦ, καὶ ἐν τῷ πρώτῳ τῆς φυσικῶν τεχνῶν, καὶ Ἀπολλοφάνης ἐν τῇ φυσικῇ, καὶ Ἀπολλόδωρος, καὶ Ποσειδώνιος ἐν δευτέρῳ τῆς φυσικῆς λόγου.) εἶναι δὲ καὶ ταῦτα ἀσώματα, ὅμοια. ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τοῦτο δὲ τὸν μὲν παρωχηκότα καὶ τὸν μέλλοντα, ἀπέρας· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. ἀρέσκει δὲ αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητὸν τῷ λόγῳ τῆς δι' αἰσθήσεως νοουμένων, ἔτε τὰ μέρη φθαρτὰ ὄντα καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά. (εἰς ἄλληλα γὰρ μεταβάλλει·) φθαρτὸς ἄρα ὁ κόσ-

ὁ κόσμος. καὶ εἴ τι ὑπόδεκτικόν ἐστι τῆς ὑπὸ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι. καὶ ὁ κόσμος δέ· ἐξαυχμᾶται γὰρ καὶ ἐξυδατᾶται. γίνεσθαι δὲ τὸν κόσμον, ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρότητα, εἶτα τὸ παχυμερὲς αὐτῆς συστὰν ἐπιπεδωθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαερωθῇ, καὶ τοῦτ' ἐπιπλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα καὶ μίξιν ἐκ τούτων, φυτά τε, καὶ ζῶα, καὶ τὰ ἄλλα γένη. Περὶ δὴ ἐν τῇ γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ Περὶ ὅλου, Χρύσιππος δὲ ἐν τῷ πρώτῳ τῶν φυσικῶν καὶ Ποσειδώνιος ἐν ἀ. Περὶ κόσμου, καὶ Κλεάνθης, καὶ Ἀντίπατρος ἐν τῷ ἰ. Περὶ κόσμου. Παναίτιος δὲ ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον. ὅτι δὲ καὶ ζῶον ὁ κόσμος, καὶ λογικὸν, καὶ ἔμψυχον, καὶ νοερὸν, καὶ Χρύσιππός φησιν ἐν ἀ Περὶ προνοίας, καὶ Ἀπολλόδωρός φησιν ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος· ζῶον μὲν ἔμπνουν ὄντα, οὐσίαν ἔμψυχον αἰσθητικήν. τὸ γὰρ ζῶον τοῦ μὴ ζώου κρεῖττον· οὐδὲν δὲ τοῦ κόσμου κρεῖττον· ζῶον ἄρα ὁ κόσμος. ἔμψυχον δὲ, ὡς δῆλον ἐκ τῆς ἡμετέρας ψυχῆς, ἐκείθεν οὖσης ἀπόσπασματος. Βοηθὸς δέ φησιν ἐκ εἶναι ζῶον τὸν κόσμον· ὅτι τε εἷς ἐστι, Ζήνων φησὶν ἐν τῷ Περὶ τοῦ ὅλου, καὶ Χρύσιππος, καὶ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος ἐν ἀ τῶν φυσικῶν λόγων. τὸ δὲ πᾶν λέγεται (ὥς φησιν Ἀπολλόδωρος) ὅ, τε κόσμος, καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ, σύστημα. ὁ μὲν οὖν κόσμος περιπερασμένος ἐστί. τὸ δὲ κενὸν, ἄπειρον.

Τῶν δὲ ἄστρων, τὰ μὲν ἀπλανῆ συμπεριφέρεσθαι τῷ ὅλῳ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινεῖσθαι κινήσεις. τὸν δὲ ἥλιον λοξὸν τινὰ πορείαν ποιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, ὁμοίως καὶ τὴν σελήνην, ἑλικοειδῆ· εἶναι

εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθάφησι Ποσειδώνιος ἐν τῷ ιζ' Περὶ μετεώρων· καὶ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ις' τῶ φυσικῶ λόγω· ἀλλὰ καὶ σφαιροειδῆ (ὡς οἱ περὶ αὐτὸν τὸν φασὶν) ἀναλόγως τῷ κόσμῳ. πῦρ μὲν ὂν εἶναι, ὅτι τὰ πυρὸς παντὸς ποιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ' αὐτὸ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν ὠκεανόν. καὶ τὸ τῷ γῷ δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει. παντοδαπὸν δὲ βλέπεσθαι, διὰ τὸ μέγεθος. γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. ξέφεσθαι δὲ τὰ ἐμπύρια ταῦτα καὶ τὰ ἄλλα ἄστρα· τὸν μὲν ἥλιον, ἐκ τῆς μεγάλης θαλάττης νοερὸν ὄντα ἀναθυμίασιν· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν, καὶ προσγειον οὖσαν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ ἕκτῳ τῶ φυσικῶ λόγω· τὰ δ' ἄλλα ὑπὸ τῆς γῆς. δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα, καὶ τὴν γῆν ἀκίνητον οὖσαν. τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς, ἀλλὰ παρ' ἡλίου λαμβάνειν ἐπιλαμπομένην. ἐκλείπειν δὲ τὸν μὲν ἥλιον, ἐπιπροσθούσης αὐτῷ σελήνης, καὶ τὸ ὡρὸς ἡμᾶς μέρος, ὡς Ζηνὼν ἀναγράφει ἐν τῷ Περὶ ὅλου. φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις, καὶ ἀποκρύπτουσα αὐτὸν, καὶ πάλιν ἀποκαλύπτουσα. γνωρίζεται δὲ τοῦτο διὰ λεκανίης ὕδωρ ἐχούσης. τὴν δὲ σελήνην, ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς σκίασμα. ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν μόναις, καίπερ καὶ διαμέτρου ἰσαμερίου καὶ μιᾶς τῷ ἡλίῳ· ὅτι καὶ λοξὸς ὡς πρὸς τὸν ἥλιον κινουμένη, ἀποκλίνει τῷ πλάτει, ἢ βορειοτέρα, ἢ νοτιωτέρα γινομένη. ὅταν μηδέτι τὸ πλάτος αὐτῆς καὶ τὸν ἡλιακὸν, καὶ τὸν διὰ μέσων γένηται. εἶτα διαμερήσῃ τὸν ἥλιον, τότε ἐκλείπει. κινεῖται δὲ τὸ πλάτος αὐτῆς καὶ τὸν διὰ μέ-

μέσων ἐν χηλαῖς, καὶ σκορπίῳ, καὶ κριῷ, καὶ ταύρῳ, ὡς οἱ περὶ τὸν Ποσειδώνιον.

Θεὸν δέ, εἶναι ζῷον ἀθάνατον, λογικὸν, τέλειον, ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακῆ παντὸς ἀπεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. εἶναι δὲ τὸν μὲν, δημιουργὸν τῶν ὅλων, καὶ ὥσπερ πατέρα πάντων· κοινῶς τε, καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ φασι, δι' ὃν τὰ πάντα· Ζῆνα δὲ καλοῦσι, παρ' ὅσον τοῦ ζῆν αἴτιός ἐστιν, ἢ διὰ τὸ ζῆν κεχώρικεν· Ἀθηνᾶν δὲ, κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ· Ἥραν δὲ, κατὰ τὴν εἰς ἀέρα· καὶ Ἥφαιστον, κατὰ τὴν εἰς τὸ τεχνικὸν πῦρ· καὶ Ποσειδῶνα, κατὰ τὴν εἰς τὸ ὑγρόν· καὶ Δήμητρα, κατὰ τὴν εἰς γῆν· ὁμοίως δὲ καὶ τὰς ἄλλας προσηγορίας, ἐχόμενοί τινος οἰκειότητος, ἀπέδοσαν. οὐσίαν δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον, καὶ τὸν οὐρανόν, ὁμοίως δὲ καὶ Χρύσιππος ἐν τῷ ἱα Περὶ θεῶν, καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ θεῶν· καὶ Ἀντίπατρος ἐν ζ' Περὶ κόσμου, ἀεροειδῆ φησὶν αὐτοῦ τὴν οὐσίαν. Βοηθὸς δὲ ἐν τῇ Περὶ φύσεως, οὐσίαν θεοῦ τὴν τῶν ἀπλανῶν σφαῖραν.

Φύσιν δὲ, ποτὲ μὲν ὑποφαίνονται τὴν συνέχουσαν τὸν κόσμον, ποτὲ δὲ τὴν φύουσαν τὰ ὑπὸ γῆς. ἔστι δὲ φύσις, ἕξις ἐξ αὐτῆς κινουμένη καὶ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς ἐν εἱμαρμένοις χρόνοις, καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη. ταύτην δὲ καὶ τοῦ συμφέροντος ἔχεσθαι καὶ ἡδονῆς, ὡς δῆλον ἐκ τῆς τοῦ ἀνθρώπου δημιουργίας.

Καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι Χρύσιπ-

σιπ-

σιππος ἐν τοῖς Περὶ εἱμαρμένης, καὶ Ποσειδώνιος ἐν δευτέρῳ Περὶ εἱμαρμένης, καὶ Ζήνων· Βοηθὸς δὲ ἐν τῷ Περὶ εἱμαρμένης. ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὄντων εἱρομένη, ἢ λόγος καθ' ὃν ὁ κόσμος διοικεῖται.

Καὶ μαντικὴν ὑφεστάναι πᾶσαν φασὶν, ἣν καὶ πρόνοιαν εἶναι· καὶ αὐτὴν καὶ τέχνην ὑποφαίνεσι διά τινας ἐκβάσεις, ὥς φησι Ζήνων τε καὶ Χρύσιππος ἐν τῷ β' Περὶ μαντικῆς, καὶ Ἀθηνόδωρος καὶ Ποσειδώνιος ἐν τῷ ιβ'. τῶν φυσικῶν λόγων, καὶ ἐν τῷ ε' Περὶ μαντικῆς. ὁ μὲν γὰρ Παναίτιος ἀνυπόστατον αὐτὴν φησιν.

Οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην, ὡς καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν φυσικῶν, καὶ Ζήνων. ὕλη δέ ἐστιν ἐξ ἧς ὁτιδηποτοῦν γίνεται. καλεῖται δὲ διχῶς, οὐσία τε καὶ ὕλη, ἥτε τῶν πάντων, καὶ ἡ τῶν ὑπὸ μέρος. ἡ μὲν οὖν τῶν ὅλων, ἄτε πλείων ἄτε ἐλάττων γίνεται· ἡ δὲ τῶν ὑπὸ μέρος, καὶ πλείων καὶ ἐλάττων.

Σῶμα δέ ἐστι κατ' αὐτούς, ἡ οὐσία καὶ πεπερασμένη, καθά φησιν Ἀντίπατρος ἐν δευτέρῳ Περὶ οὐσίας, καὶ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ. καὶ ἀπαθητὴ δέ ἐστιν, ὡς ὁ αὐτός φησιν. εἰ γὰρ ἦν ἄτρεπτος, οὐκ ἂν τὰ γινόμενα ἐξ αὐτῆς ἐγίνετο. σύνδεσμος καὶ κεῖνο ὅτι τομὴ εἰς ἄπειρόν ἐστιν. οὐκ ἄπειρον δέ φησιν αὐτὴν ὁ Χρύσιππος· οὐ γάρ ἐστί τι ἄπειρον, εἰς ὃ γίνεται ἡ τομή. ἀλλὰ ἀκατάληκτός ἐστι.

Καὶ τὰς κράσεις δὲ διόλου γίνεσθαι (καθά φησιν ὁ Χρύσιππος ἐν τῇ τρίτῃ τῶν φυσικῶν) καὶ μὴ κατὰ παράθεσιν καὶ ἁφήν· οὐ γὰρ εἰς πέλαγος ὀλίγος οἶνος βληθεὶς, ὑπὸ πολλοῦ ἀντιπαρεκταθήσεται, εἶτα συμφθαρήσεται.

Φασὶ δὲ εἶναι καί τινας δαίμονας, ἀνθρώπων συμ-

παίδειαν ἔχοντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων· καὶ ἥρωας, τὰς ἀπολελειμμένας τῶν σπερμάτων ψυχάς.

Τῶν δὲ ἐν ἀέρι γινομένων, χειμῶνα μὲν εἶναι φασὶ τὸν ὑπὲρ γῆς ἀέρα κατεψυγμένον, διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον· ἔαρ δέ, τὴν διάκρασιν τοῦ ἀέρος, καὶ τὴν πρὸς ἡμᾶς πορείαν. Θέρος δέ, τὸν ὑπὲρ γῆς ἀέρα, καταθαλπόμενον τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ· μετόπωρον δέ, τὴν παλινδρομίαν τοῦ ἡλίου ἀφ' ἡμῶν γίνεσθαι, πρὸς τὰς τόπους ἀφ' ὧν ῥέουσι.

Τῆς δὲ γενέσεως αὐτῶν αἴτιον γίνεσθαι τὸν ἥλιον, ἐξατμίζοντα τὰ νέφη. εἶναι δὲ, εἶναι αὐγὰς ἀφ' ὑγρῶν νεφῶν ἀπακτινασμένας, ἢ (ὡς Ποσειδώνιός φησιν ἐν τῇ μετεωρολογικῇ) ἔμφασις ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένη καὶ κύκλου περιφέρειαν. κομήτας δὲ, καὶ πωγωνίας, καὶ λαμπαδίας, πυρὰ εἶναι ὑφειμένα, πάχους ἀέρος εἰς τὸν αἰθέρα τόπον ἀνενεχθέντος. σέλας δὲ, πυρὸς ἀθρόου ἔξαψιν ἐν ἀέρι, φερομένου παχέως, καὶ φαντασίαν μήκους ἐμφαίνοντος. ὑετὸν δὲ, ἐκ νέφους μεταβολὴν εἰς ὕδωρ, ἐπειδὰν ἢ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ἀφ' ἡλίου μὴ τυγχάνῃ καπνώδους· καταψύχεσθαι δὲ τοῦτο παχέως καλεῖσθαι. χάλαζαν δὲ, νέφος πεπηγὸς, ὑπὸ πνεύματος ἐκπεφυσθέν. χιόνα δὲ, ὑγρὸν ἐκ νέφους πεπηγότος, ὡς Ποσειδώνιος ἐν τῷ ἐγδόῳ τῶν φυσικῶν λόγων. ἀστραπὴν δὲ, ἔξαψιν νεφῶν διαστελλομένων, ἢ ῥηγνυμένων ὑπὸ πνεύματος· ὡς Ζήνων ἐν τῷ Περὶ ὅλου. βροντὴν δὲ, τὸν τούτων ψόφον, ἐκ διατειμένου ἢ ῥήξεως. κεραυνὸν δὲ, ἔξαψιν σφοδρὰν μετὰ πολλῆς βίας πίπτουσαν ἐπὶ γῆς, νεφῶν διατεινομένων ἢ ῥηγνυμένων· οἱ δὲ, συστροφὴν πυρώ-

πυρώδης ἀέρος βιαίως καταφερομένου. τυφῶνα δέ, κέραυνὸν πολλῷ, βίαιον καὶ πνεύματώδη, ἢ πνεῦμα καπνώδες ἐρρωγότος νέφους. πρηστῆρα, νέφος ἐξικνούμενον πυρὶ μετὰ πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς, ἢ καθειρχθέντος πνεύματος ἐν τῇ γῇ, καθάφησι Ποσειδώνιος ἐν τῇ ἡ. εἶναι δ' αὐτῶν τὰς μὲν, σεισματίας· τὰς δὲ χασματίας· τὰς δὲ, καυματίας· τὰς δὲ, βρασματίας.

Ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν διακόσμησιν ὧδε ἔχειν. μέσῳ τῷ γῆν κέντρου λόγον ἐπέχουσαν, μεθ' ἣν τὸ ὕδωρ σφαιροειδὲς, ἔχον τὸ αὐτὸ κέντρον τῇ γῇ· ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι· μετὰ τὸ ὕδωρ δὲ, ἀέρα ἐσφαιρωμένον.

Κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ πέντε· ὧν πρῶτον, ἀρκτικὸν, ἀεὶ φαινόμενον· δεύτερον, τροπικὸν θερινόν· τρίτον, ἰσημερινόν· τέταρτον, χειμερινὸν τροπικόν· πέμπτον, ἀνταρκτικὸν, ἀφανῆ· λέγονται δὲ παράλληλοι καθότι ἐ συμβαίνουσιν εἰς ἀλλήλους· γράφονται μέντοι περὶ τὸν αὐτὸν πόλον. ὁ δὲ ζωδιακὸς, λοξός ἐστιν, ὡς ἐπιὼν τοὺς παραλλήλους· ζώνας τε ἐπὶ τῆς γῆς εἶσι πέντε· πρώτη, βορεὶς, καὶ ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψύχος· δευτέρα, εὔκρατος· τρίτη, ἀοίκητος ὑπὸ καυμάτων, ἡ διακεκαυμένη καλουμένη· τετάρτη, ἡ ἀντεύκρατος· πέμπτη, νότιος, ἀοίκητος διὰ ψύχος.

Δοκεῖ δὲ αὐτοῖς τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικὸν, ὁδῷ βαδίζον εἰς γένεσιν, ὅπερ ἐστὶ πνεῦμα πυροειδὲς καὶ τεχνοειδές· τὴν δὲ ψυχὴν, αἰσθητικήν. ταύτῃ δὲ εἶναι τὸ συμφυὲς ἡμῖν πνεῦμα. διὸ καὶ σῶμα εἶναι, καὶ μετὰ θάνατον διαμένειν, φθαρτὴν δὲ εἶναι. τῶν δὲ ὅλων, ἄφθαρτον, ἧς μέρη εἶναι τὰς ἐν τοῖς ζώοις. Ζήνων δὲ ὁ Κιτιεὺς, καὶ Ἀντίπατρος ἐν τοῖς Περὶ

ψυχῆς, ἢ Ποσειδώνιος, πνεῦμα εὐθερμον εἶναι τὴν ψυχήν. τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους, καὶ ὑπὸ τούτου κινεῖσθαι. Κλεάνθης μὲν οὖν πάσας ὑπολαμβάνειν μέχρι τῆς ἐκπυρώσεως· Χρύσιππος δὲ, τὰς τῶν σοφῶν μόνων. μέρη δὲ ψυχῆς λέγουσιν ὀκτὼ, τὰς πέντε αἰσθήσεις, καὶ τὸ ἐν ἡμῖν σπερματικὸν λόγον, καὶ τὸ φωνητικὸν, καὶ τὸ λογιστικόν. ὁρᾶν δὲ, τὸ μεταξὺ τῆς ὁράσεως καὶ τοῦ ὑποκειμένου χρωτὸς, ἐκτεινομένου κωνοειδῶς· καθάφησι Χρύσιππος ἐν δευτέρῳ τῶν φυσικῶν, καὶ Ἀπολλόδωρος. γίνεσθαι μέντοι τὸ κωνοειδὲς τοῦ ἀέρος πρὸς τῇ ὄψει· τὴν δὲ βάσιν, πρὸς τῷ ὁρωμένῳ· ὡς διὰ βακτηρίας ἐν τῷ παθόντος ἀέρος τὸ βλεπόμενον ἀναγγέλλεσθαι, ἀκούειν δὲ, τοῦ μεταξὺ τοῦ τε φωνοῦντος καὶ τοῦ ἀκούοντος ἀέρος, πλιτυομένου σφαιροειδῶς, εἶτα κυματουμένου, καὶ ταῖς ἀκοαῖς προσπίπτοντος, ὡς κυματοῦται τὸ ἐν τῇ δεξαμενῇ ὕδωρ τῇ κύκλῳ ὑπὸ τοῦ ἐμβληθέντος λίθου. τὸν δὲ ὕπνον γίνεσθαι, ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. αἰτίας δὲ τῶν παθῶν ὑπολείπουσι τὰς περὶ τὸ πνεῦμα τροπάς.

Σπέρμα δὲ λέγουσιν εἶναι, τὸ οἷόν τε γεννᾶν τοιοῦτα ἀφ' οἵου καὶ αὐτὸ ἀπεκρίθη. ἀνθρώπου δὲ σπέρμα, ὃ μεθίησιν ὁ ἄνθρωπος μεθ' ὑγροῦ συγκιρνάμενον τινὸς τῆς ψυχῆς μέρεσι, καὶ μιγμοῦ τοῦ τῆς προγόνων λόγου. εἶναι δὲ αὐτὸ Χρύσιππός φησιν ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν, πνεῦμα κατὰ τινὰ οὐσίαν, ὡς δῆλον ἐκ τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα ἐκ ἔτι φύεται, ὡς δῆλον ἐμπεπνευσμένης αὐτοῖς τῆς δυνάμεως· καὶ ἀφ' ὅλων δὲ τῶν σωμάτων αὐτόφασι καταφέρεσθαι οἱ περὶ τὸν Σφαῖρον. πάντων γὰρ γεννητικὸν εἶναι τῶν τοῦ σώματος μερῶν. τὸ δὲ τῆς θηλείας ἄγονον ὑποφαίνον-

ται,

πως· ἀπονόν τε γὰρ εἶναι καὶ ὀλίγον, καὶ ὑδατῶδες, ὡς ὁ Σφαῖρος φησίν.

Ἡγεμονικὸν δὲ εἶναι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ. ταῦτα μὲν καὶ τὰ φυσικά· τὸ ὅσον ἡμῖν ἀποχρώντως ἔχειν δοκεῖ, ἐχαζομένοις τῆς συμμετρίας τοῦ συγγράμματος. ἃ δέ τινες ἐξ αὐτῶν διωρίχθησαν, ἔστι τάδε.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΑΡΙΣΤΩΝ.

Ἀρίστων ὁ Χῖος ὁ Φάλανθος, ὁπαλεμβρὸς Σεριφίου, τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρός τι μεταξὺ ἀρετῆς καὶ κακίας, μηδὲ λυτίνειν ἐν αὐτοῖς ἀδιαλείπουτα, ἀλλ' ὁπόσης ὅτι πλείστων ἔχοντα. εἶναι δὲ ὅμοιον τῷ ἀγαθῷ ὑποκριτὴν τὸν σοφόν· ὃς ἂν τε Θερσίτου ἂν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρίνεται προσηκόντως.

Τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνῄρει, λέγων τὸν μὲν, εἶναι ὑπὲρ ἡμᾶς, τὸν δ' ἐδὲν πρὸς ἡμᾶς· μόνον δὲ τὸν ἠθικὸν εἶναι πρὸς ἡμᾶς.

Εἰκοναίας δὲ τὰς διαλεκτικὰς λόγους τοῖς ἀραχνίοις, ἃ καί τι δοκοῦντα τεχνικόν τι ἐμφαίνειν, ἄχρηστά ἐστιν.

Ἀρετάς τε ἔτε πολλὰς εἰσῄγεν, ὡς ὁ Ζήνων, ἔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην (ὡς οἱ Μεγαρικοὶ) ἀλλὰ καὶ τὸ πρός τι πως ἔχειν.

Οὕπως δὲ φιλοσοφῶν καὶ ἐν Κωσσάργει διαλεγόμενος, ἴσχυσεν αἱρεσιν ἀνῆσαι. Μιλτιάδης δέ φησι Δίφιλος Ἀθηναίοις προσηγορεύοντο.

Ἦν δέ τις πεισικὸς, καὶ ὄχλῳ πεποιημένος· ὅθεν ὁ Τίμων φησὶ περὶ αὐτοῦ,

Καί τις Ἀθηναίων γενέτης ἄπο μυρίος ἕλκων.

Παραβαλὼν δὲ Πολέμωνι, φησὶ Διοκλῆς ὁ Μάγνης, μετέθετο, Ζηνώνος ἀρρωστίᾳ μακρᾷ περιπεσόντος. μάλιστα δὲ προσεῖχε Σπεύσιππῳ δόγματι, τῷ τὸν σοφὸν ἀδόξαστον εἶναι. πρὸς ὃ Περσαῖος ἐναντιούμενος, διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παραθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ὑπολαβεῖν· καὶ ὅπως ὑπορεύμενον διήλεγξεν. ἀπετείνετο δὲ πρὸς Ἀρκεσίλαον· ὅτε θεασάμενος ταῦρον περαπόδη μήξας ἔχοντα, Οἴμοι, ἔφη, δίδοται Ἀρκεσιλάῳ ἐπιχείρημα κατὰ τῆς ἐναργείας. πρὸς δὲ τὴν φάρμον Ἀκαδημαϊκὸν ὁδὸν καταλαμβάνειν, Ἆρ' οὐδὲ τὸν πλησίον σε καθήμενον ὁρᾷς, εἶπεν· ἀρνησαμένου δέ,

Τίς δέ σ' ἐτύφλωσεν (ἔφη) τίς ἀφείλετο λαμπάδος αὐγάς;

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε. Προτρεπτικῶν β'. Περὶ τῆς Ζηνώνος δογμάτων διάλογοι. χολῶν, ς'. Περὶ σοφίας διατριβῶν, ζ'. Ἐρωτικαὶ διατριβαί. Ὑπομνήματα ὑπὲρ κενοδοξίας. Ὑπομνημάτων, κέ. Ὑπομνημονευμάτων, γ'. Χρειῶν, ια'. Πρὸς τὰς ῥήτορας, Πρὸς τὰς Ἀλεξίνου ἀντιγραφάς. Πρὸς τοὺς διαλεκτικούς, γ'. Πρὸς Κλεάνθην ἐπιστολῶν, δ'. Παναίτιος δὲ καὶ Σωκράτης μόνας αὐτοῦ τὰς ἐπιστολὰς φασί· τὰ δὲ ἄλλα, τὰ παραπλησίως Ἀρκεσίλαος.

Τῦ.

Τῶτον λόγος φαλακρὸν ὄντα ἐγκαυθῆναι ὑπὸ ἡλίε, καὶ ὧδε τελευτῆσαι. παρεπαίξαμεν δὲ αὐτῷ τόνδε τὸν τρόπον τῷ ἰάμβῳ τῷ χωλῷ,

Τί δῆτα γέρων ὢν καὶ φάλανθος, ὦ ῥίσων,
Τὸ βρέγμα δῶκας ἡλίῳ κατοπτῆσαι;
Τύ γὰρ τὸ θερμὸν πλεῖον ἢ δέον ζητῶν,
Τὸν ψυχρὸν ὄντως εὗρες ἀθέλων ἄδην.

Γέγονε δὲ καὶ ἄλλος Ἀείσων Γελλίης Περιπατητικός· ὁ δέ τις, μυσικὸς Ἀθηναῖος· τέταρτος, ποιητὴς ξαγωδίας· πέμπτος, Ἀλαιεύς, τέχνας γεγραφὼς ῥητορικάς· ἕκτος, Ἀλεξανδρεὺς Περιπατητικός.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΗΡΙΛΛΟΣ.

Ἤριλλος δὲ ὁ Καρχηδόνιος τέλος εἶπε τὸν ὀπτὸν ἡμῖν, ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντα ἀναφέροντα πρὸς τὸ μετ' ὀπτὸν ἡμῖν ζῆν, καὶ μὴ τῇ ἀγνοίᾳ ἐμβεβλημένον. εἶναι δὲ τὸν ὀπτὸν ἡμῖν, ἕξιν ἐκ φαντασιῶν πρὸς δεκτὰ ὑποπιπτόντων ὑπὸ λόγον. ποτὲ δὲ ἔλεγε μηδὲν εἶναι τέλος, ἀλλὰ καὶ τὰς ὁρμὰς καὶ τὰ πράγματα ἀλλάττεσθαι αὐτό· ὡς καὶ τὸν αὐτὸν χαλκὸν ἢ Ἀλεξάνδρε γινόμενον ἀνδριάντα, ἢ Σωκράτες. διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα. τῆς μὲν γὰρ καὶ τὰς μὴ σοφὰς σοχάζεσθαι, τὸν δὲ, μόνον τὸν σοφόν. τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας, ἀδιάφορα εἶναι.

Ἔστι δὲ τὰ βιβλία αὐτοῦ, ὀλιγόστιχα μὲν, δυνάμεως

μετως δὲ μεσὰ, καὶ ἀντιρρήσεις πρὸς Ζήνωνα.

Λέγεται δὲ ὅτι παιδὸς ὄντος αὐτῷ ἠράσθησαν ἱκανοὶ, ὡς ἀποξέψαι βελόμενος ὁ Ζηνὼν ἠνάγκασε ξυρᾶσθαι Ἕλλον· οἱ δὲ ἀπεξάποντο.

Τὰ δὲ βιβλία ἐστὶ τάδε, Περὶ ἀσκήσεως, Περὶ παθῶν, Περὶ ὑπολήψεως, Νομοθέτης, Μαιευτικὸς, Ἀντιφέρων διδάσκαλος, Διασκευάζων, Εὐθυμίων, Ἑρμῆς, Μήδεια, Διάλογοι, Θέσεων ἠθικῶν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΔΙΟΝΤΣΙΟΣ.

Διονύσιος δὲ ὁ Μεταθέμενος τέλος εἶπε τὴν ἡδονὴν, ὅτε ἀφίξασιν ὀφθαλμίας· ἀλγήσας γὰρ ὑπομόνως, ἔφησεν εἰπεῖν τὸν πόνον ἀδιάφορον.

Ἦν δὲ παῖς μὲν Θεοφάντου, πόλεως δὲ Ἡρακλείας· Ἦκουσε δὲ (καθάφησι Διοκλῆς) πρῶτον μὲν Ἡρακλείδου τοῦ πολίτου, ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου, τελευταῖον δὲ Ζηνῶνος· καὶ κατ' ἀρχὰς μὲν φιλογράμματος ὢν, παντοδαποῖς ἐπεχείρει ποιήμασιν· ἔπειτα δὲ καὶ Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν. Ὕστερον δὲ τοῦ Ζηνῶνος, πρὸς τοὺς Κυρηναϊκοὺς ἀπέβαπτε, καὶ εἴς τε τὰ χαμαιτυπεῖα ὑπεισήει, καὶ τἄλλα ἀφειδαλυπτως ἡδυπάθει.

Βιοὺς δὲ πρὸς τοὺς ὀγδοήκοντα, ἀσιτίᾳ κατέστρεψε.

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε, Περὶ ἀπαθείας, β'. Περὶ ἀσκήσεως, β'. Περὶ ἡδονῆς, δ'. Περὶ πλούτου,

καὶ

καὶ χάριτος, καὶ τιμωρίας. Περὶ ἀνθρώπων χρήσεως, Περὶ δ' τυχίας, Περὶ ἀρχαίων βασιλέων, Περὶ τῶν ἐπαινεμένων, Περὶ βαρβαρικῶν ἐθῶν.

Καὶ ἕτοι μὲν οἱ διεληλυθότες. διεδέξατο δὲ τὸν Ζήνωνα Κλεάνθης, περὶ ὃν λεκτέον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΚΛΕΑΝΘΗΣ.

ΚΛεάνθης Φανίε, Ἄσσιος· ἔτος πρῶτον ἐν πύκτης· ὥς φησιν Ἀντισθένης ἐν Διαδοχαῖς. ἀφικόμενος δὲ εἰς Ἀθήνας, τέσσαρας ἔχων δραχμὰς (καθά φασί τινες) καὶ Ζήνωνι προσβαλών, ἐφιλοσόφησε χρηματιστικώτερα, καὶ ὅτι τῷ αὐτῷ ἔμεινε δογμάτων.

Διεβοήθη δὲ ὅτι φιλοπονίᾳ, ὥς γε πείθεις ὢν ἄγαν ὥρμησε μισθοφορεῖν, καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἐνῆντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον δυνήσεται ὥστε διαζῆν· ἔπειτα δὲ ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παραχόντα παρ' ὃν ἐνῆντλει, καὶ τὴν ἀλφιτοπώλιν παρ' ἣ τὰ ἄλφιτα ἔπεττεν· ἀποδεξαμένους δὲ αὐτὸν τοὺς Ἀρεοπαγίτας, ἐννέα σθαι δέκα μνᾶς δοθῆναι· Ζήνωνα δὲ κωλύσαι λαβεῖν· φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ τεσσαρακοντάδας δοῦναι. ἠγέμονόν τε τῆς ἐφήβων ὅτε τινα θέαν, ὑπ' αὐτοῦ μὲν προσχωρωθῆναι, καὶ ὀφθῆναι ἀχίτωνα· ἐφ' ᾧ προκοπῇ τιμηθῆναι ὑπὸ Ἀθηναίων, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις. ἐθαυμάσθη δὲ καὶ

καὶ δεῦρο τόδε. φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ πυθέσθαι ὄντα ἀκροατὴν, διὰ τί αὐτλεῖ; τὸν δ' εἰπεῖν, Ἀυτλῶ δὲ μόνον; τί δ' ἐχὶ σκάπτω; τί δ' οὐκ ἄρδω, καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα; καὶ γὰρ ὁ Ζλιώων αὐτὸν συμεγύμναζεν εἰς τοῦτο, καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. καί ποτε ἀθροίσθεν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων, καί φησι, Κλεανθης μὲν καὶ ἄλλον Κλεανθέα δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν ἐφήσονται, παρ' ἑτέρων ἐπιζητήσουσι τὰ ἐπιτήδεια, καίπερ ἀνεμπλήκτως φιλοσοφοῦντες. ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ὁ Κλεάνθης ἐκαλεῖτο.

Ἦν δὴ πονικὸς μὲν, ἀφύσικος δὲ, καὶ βραδὺς ὑπερβαλλόντως. διὸ καὶ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως,

Τίς δ' ὅτος κτίλος ὡς ἐπιπωλεῖται σίχας ἀνδρῶν,
Μωλύτης, ἐπέων φίλος, Ἄσιος, ὄλμος, ἄπολμος;

Καὶ σκωπτόμενος δὲ ὑπὸ τῶν συμμαθητῶν ἠνέχετο, καὶ ὄνος ἀκόων προσεδέχετο· λέγων αὐτὸς μόνος δύνασθαι βασάζειν τὸ Ζλιώνιος φορτίον. καί ποτε ὀνειδιζόμενος ὡς δειλὸς, Διὰ τοῦτο, εἶπεν, ὀλίγα ἁμαρτάνω. προκρίνων δὲ τὸν ἑαυτοῦ βίον τοῦ τῶν πλουσίων, ἔλεγεν, ὅν ᾧ σφαιρίζουσιν ἐκεῖνοι, τοῦτ' σκληρὸν καὶ ἄκαρπον αὐτὸς ἐργάζεσθαι, σκάπτων. πολλάκις δὲ καὶ ἑαυτῷ ἐπέπληττεν· ὧν ἀκούσας Ἀρίστων, Τίνι, ἔφη, ἐπιπλήττεις; καὶ ὅς, γελάσας, Πρεσβύτῃ, φησὶ, πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή. εἰπόντος δέ τινος Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, Παῦσαι, ἔφη, καὶ μὴ ψέγε. εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ· καὶ ὁ Ἀρκεσίλαος, Οὐ κολακεύομαι, φησί. πρὸς ὃν ὁ Κλεάνθης, Ναὶ, ἔφη, σὲ κολακεύω, φάρμακα ἅμα μὲν λέγειν,

γειν, ἕτερα δὲ ποιεῖν. ἐρωμένῳ τινὸς τί ὑποτίθεσθαι δεῖ τῷ ὑφ' ὧν; Τὸ ἐκ τῆς Ἡλέκτρας, ἔφη,

Σίγα, σίγα, λεπτὸν ἴχνος.

Λάκωνός τινος εἰπόντος, ὅτι ὁ πόνος ἀγαθὸν, διαχυθεὶς φησιν,

Αἵματος εἷς ἀγαθοῖο, φίλον τέκος.

φησὶ δὲ ὁ Ἑκάτων ἐν ταῖς χρείαις, δυμόρφου μειρακίου εἰπόντος, Εἰ ὁ εἰς τὴν μασχάλην τύπτων μασχίζει, καὶ ὁ εἰς τὰς μηρὰς τύπτων μηρίζει, ἔφη, Σὺ μὲν τὰς διαμπερισμὰς ἔχε, μειράκιον. αἱ δ' ἀνάλογοι φωναὶ τὰ ἀνάλογα ἐκ πάντως σημαίνουσι καὶ πράγματα. μειρακίῳ ποτὲ διαλεγόμενος, ἐπύθετο εἰ αἰδοῖα ἔχει· τοῦ δ' ἐπιγελάσαντος, Διά τί ἄν, εἶπεν, ἐγὼ μὴ αἰδοῖα ἔχω ὅτε αἰδοῖα ἔχῃ; Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν παρόντα,

Οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ.

ἔμεινον ὅπου ταυτὶ χήματος. ἐφ' ᾧ ἀγανακτήσαντες οἱ ἀκροαταὶ, τὸν μὲν ἐκρότησαν, τὸν δὲ Σωσίθεον ἐξέβαλον. μεταγινώσκοντα δὲ αὐτὸν ὅπου τῇ λοιδορίᾳ προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρημένους ὑπὸ τῆς ποιητικῆς μὴ ὀργίζεσθαι, αὐτὸν δὲ ὅπου τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. ἔλεγε δὲ καὶ τοὺς ἐκ τοῦ σώματος ὅμοιόν τι πάσχειν ταῖς λύραις, αἷς καλῶς ἡρμοσμέναις αὐτῷ καὶ κιθάσαι. λέγεται δὲ, φάσκοντος αὐτοῦ, καὶ Ζήνωνα, καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους τινὰς δεξαμένους ἀγαγεῖν πρὸς αὐτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγορᾷ, καὶ ἀξιοῦν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· τὸν δὲ, διαπορήσαντα, κε-

κελεῦσαι ἀπισύαι τὸν ἄνθρωπον· ὡς δὲ ἀπιὼν ἐκεῖνός ἔπαρσεν, Ἔχω, εἶπεν, αὐτὸν, ὁ Κλεάνθης μαλακός ὄφι. πρὸς δὲ τὸν μοιχὸν καὶ ἑαυτῷ λαλοῦντα, Οὐ φαύλῳ, ἔφη, ἀνθρώπῳ λαλεῖς· διειδίσαντος αὐτῷ τινὸς εἰς τὸ γῆρας, Φεύγω, ἔφη, ἀπισύαι βάλλομαι. ὅταν δὲ παπαχόθεν ἐμαυτὸν ὑγιαίνοντα θρύπτω, καὶ γράφοντα καὶ αἰσχυνώσκοντα, πάλιν μύω. τὸν φασὶν εἰς ὄρυγμα καὶ βοῶν ὠμοπλάτας γράφειν ἅπερ ἔπεσε φθῆναι τὸ Ζήνωνος, ἀπορία κερμάτων ὥσε ἀνήσασθαι χάρτια.

Τοιοῦτος δ' ὢν, ὀξύχυσε, πολλῶν καὶ ἄλλων ὄντων ἀξιολόγων Ζωΐωνος μαθητῶν, αὐτὸς διαδέξασθαι τὴν σχολήν.

Βιβλία δὲ κάλλιστα καταλέλοιπεν, ἃ ἔστι τάδε. Περὶ χρόνου. Περὶ τῆς τοῦ Ζωΐωνος φυσιολογίας, δύο. τῆς Ἡρακλείτου Ἐξηγήσεις, τέσσαρα. Περὶ αἰσθήσεως. Περὶ τέχνης. Πρὸς Δημόκριτον. Πρὸς Ἀρίσταρχον. Πρὸς Ἥριλλον. Περὶ ὁρμῆς, δύο. Ἀρχαιολογία. Περὶ θεῶν. Περὶ γιγάντων. Περὶ ὑμεναίων. Περὶ τοῦ ποιητοῦ. Περὶ τοῦ καθήκοντος, γ'. Περὶ διβυλλίας. Περὶ χάους. Προτρεπτικός. Περὶ ἀρετῶν. Περὶ διαφυΐας. Περὶ Γοργίππου. Περὶ φθονερίας. Περὶ ἔρωτος. Περὶ ἐλευθερίας. Ἐρωτικὴ τέχνη. Περὶ τιμῆς. Περὶ δόξης. Πολιτικός. Περὶ βουλῆς. Περὶ νόμων. Περὶ τοῦ δικάζειν. Περὶ ἀγωγῆς. Περὶ τοῦ λόγου, γ'. Περὶ τέλους. Περὶ καλῶν. Περὶ πράξεων. Περὶ ὑποτυπώσεως. Περὶ βασιλείας. Περὶ φιλίας. Περὶ συμποσίου. Περὶ τοῦ ὅτι ἡ αὐτὴ ἀρετὴ καὶ ἀνδρὸς καὶ γυναικός. Περὶ τοῦ τὸν σοφὸν σοφιεύειν. Περὶ χρειῶν. Διαιρέσεων, β'. Περὶ ἡδονῆς. Περὶ ἰδίου. Περὶ τῆς ὑπόρων. Περὶ διαλεκτικῆς. Περὶ τρόπων. Περὶ κατηγορημάτων. ταῦτα αὐτοῦ τὰ βιβλία.

Καὶ

Καὶ τελευτᾷ τόνδε τὸν τρόπον· διῴδησεν αὐτῷ τὸ ἄλλον· ἀπαγορεύσαντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς· καὶ πως ἔσχε καλῶς· ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν. τὸν δὲ μὴ ἀναχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προῳδοιπορῆσθαι, καὶ τὰς λοιπὰς ἀσχόλμον, τελευτῆσαι· παυτὶ Ζηνῶνι (καθάφασί τινες) π' ἔτη βιώσαντα, καὶ ἀκέσαντα Ζηνῶνος ἔτη ἐνεακαίδεκα. ἐπαίξαμεν δὲ καὶ ἡμεῖς πρὸς αὐτὸν ὕπως,

Αἰνῶ Κλεανθες, ἀλλὰ μᾶλλον αἰδέω.
Ἰδὼν γὰρ αὐτὸν πρέσβυν, οὐκ ἰωὴ ἔχετο
Μὴ οὐ τὸ λοιπὸν ἄνεσιν ἐν φθιτοῖς ἔχειν,
Τοσοῦτον αὐτλήσαντα τὸν βίον χρόνον.

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΣΦΑΙΡΟΣ.

ΤΟύτῳ, καθάπερ προειρήκαμεν, ἤκουσε μὲν Ζήνωνος καὶ Σφαῖρος ὁ Βοσπορεανός.

Ὃς προκοπὴν ἱκανὴν πεποιησάμενος ἐν λόγῳ, εἰς Ἀλεξάνδρειαν ἀπῆει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα. λόγου δέ ποτε γενομένου περὶ τοῦ δοξάσειν τὸν σοφὸν, καὶ τοῦ Σφαίρου εἰπόντος ὡς ὁ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν, κενεὰς ῥόας ἐκέλευσε φανῆναι· τοῦ δὲ Σφαίρου ἀπαντήσαντος, ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν φαντασίᾳ. πρὸς ὃν ὁ Σφαῖρος εὐσόχως ἀπεκρίνατο, εἰπὼν, ὅτι συγκατατεθεῖσθαι οὐχ ὅτι ῥόαι εἰσὶν, ἀλλ' ὅτι εὔλογόν ἐστι ῥόας αὐτὰς εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν

τῆς

τὸ εὐλόγως. πρὸς δὲ Μνησίστρατον, κατηγοροῦντα αὐτοῦ ὅτι Πτολεμαῖον ἔφησι βασιλέα εἶναι, οὐκ εἶναι ἔφη, τοιοῦτον δὲ ὄντα τὸν Πτολεμαῖον, καὶ βασιλέα εἶναι.

Βιβλία δὲ γέγραφε τάδε. Περὶ κόσμου, β'. Περὶ στοιχείων σπέρματος. Περὶ τύχης. Περὶ ἐλαχίστων. Πρὸς τὰς ἀτόμους καὶ τὰ εἴδωλα. Περὶ αἰσθητηρίων. Περὶ Ἡρακλείτου ἐκ διαβιβλίων. Περὶ τῆς ἠθικῆς διατάξεως. Περὶ καθήκοντος. Περὶ ὁρμῆς. Περὶ παθῶν, β'. Διαβιβλίων. Περὶ βασιλείας. Περὶ Λακωνικῆς πολιτείας. Περὶ Λυκούργου καὶ Σωκράτους, γ'. Περὶ νόμου. Περὶ μαντικῆς. Διαλόγους ἐρωτικούς. Περὶ τῶν Ἐρεσιακῶν φιλοσόφων. Περὶ ὁμοίων. Περὶ ὅρων. Περὶ ἕξεως. Περὶ τῶν ἀντιλεγομένων, ξεῖς. Περὶ λόγου. Περὶ πλούτου. Περὶ δόξης. Περὶ θανάτου. Τέχνης διαλεκτικῆς, β'. Περὶ κατηγορημάτων. Περὶ ἀμφιβολιῶν. Ἐπιστολάς.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΧΡΥΣΙΠΠΟΣ.

ΧΡύσιππος Ἀπολλωνίου, Σολεὺς ἢ Ταρσεύς, ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς, μαθητὴς Κλεάνθους. ὅτος πρότερον μὲν δολιχὸν ἤσκει, ἔπειτα ἀκούσας Ζήνωνος, ἦ Κλεάνθους, (ὡς Διοκλῆς καὶ οἱ πλείους) ἔτι τε ζῶντος ἀπέστη αὐτοῦ, καὶ ἐχ ὁ τυχὼν ἐγένετο κατὰ φιλοσοφίαν.

Ἀνὴρ δ' ὀξὺς καὶ ὀξύτατος ἐν παντὶ μέρει, ὅπως ὡς καὶ ἐν τοῖς πλείοσι διωνέχθη πρὸς Ζηνίωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην, ᾧ καὶ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογ-

δογμάτων διδασκαλίας χρήζειν, τὰς δὲ ἀποδείξεις αὐτὸν διρήσειν. μετιόει μέντοι, ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο· ὥστε συνεχὲς προφέρεσθαι ταῦτα,

Ἐγὼ δὲ πᾶλλα μακάριος πέφυκ' ἀνὴρ,
Πλὴν εἰς Κλεάνθην· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

οὕτω δ' ἔνδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο, ὥστε δοκεῖν τὰς πλείους, ὅτι εἰ μὴ θεοῖς ἦν ἡ διαλεκτικὴ, οὐκ ἂν ἦν ἄλλη ἢ ἡ Χρυσίππειος. πλεονάσας δὲ τοῖς πράγμασι, τὴν λέξιν ἀπώρθωσε.

Νικητὴς τε παρόντιον γέγονεν, ὡς δῆλος ἐκ τῶν συγγραμμάτων αὐτῷ. τὸν ἀριθμὸν γὰρ ὑπὲρ πεντε καὶ ἑπτακόσιά ἐστιν. ἐπλήθυνε δὲ αὐτὰ, πολλάκις ὑπὲρ τοῦ αὐτοῦ δόγματος ἐπιχειρῶν, καὶ παντὸς τοῦ ὑποπεσόντος γράφων καὶ διορθμὸς πλεονάκις· πλείστης τε τῶν μαρτυριῶν παραθέσει χώμβους. ὥστε καὶ ἐπειδή ποτε σύτινι τῶν συγγραμμάτων παρόλιγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρετίθετο, καί τις μὴ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν πυθόμενον τί ἄρα ἔχοι, ἔφη, Χρυσίππου Μήδειαν. καὶ Ἀπολλόδωρος δὲ, ὁ Ἀθηναῖος, ἐν τῇ συναγωγῇ τῶν δογμάτων βουλόμενος παρεισάγειν, ὅτι τὰ Ἐπικούρου οἰκείᾳ δυνάμει γεγραμμένα, καὶ ἀποδείκτα ὄντα, μυρίῳ πλείω ἐστὶ τῶν Χρυσίππου βιβλίων, φησὶν ὅτως αὐτῇ τῇ λέξει, Εἰ γάρ τις ἀφέλοι τῶν Χρυσίππου βιβλίων ὅσ' ἀλλότρια προστέθειται, κενὸς αὐτῷ ὁ χάρτης καταλελείψεται. καὶ ταῦτα μὲν Ἀπολλόδωρος. ἡ δὲ παρεδρεύσασα πρεσβύτις αὐτῷ (ὡς φησι Διοκλῆς) ἔλεγεν ὡς πεντακοσίους γράφει στίχους ἡμερησίους. Ἑκάτων δέ φησιν ἐλθεῖν αὐτὸν ὅτι φιλοσοφίαν, τῆς οὐσίας αὐτοῦ τῆς πάσης εἰς τὸ βασιλικὸν ἀναληφθείσης.

Ἦν δὲ καὶ τὸ σωμάτιον δύσκολος· ὡς δῆλον ἐκ τοῦ αὐ-

ἀνδριάντος τῶ ἐν κεραμεικῷ, ὃς χεδόντι ὑποκέκρυπται τῷ πλησίον ἵππει· ὅθεν αὐτὸν ὁ Καρνεάδης Κρύϊππον ἔλεγε. ἔτος ὀνειδισθεὶς ὑπό τινος, ὅτι ἐχὶ πᾶσι Ἀρίστωνι μὴ πολλῶν χολάζοι, Εἰ τοῖς πολλοῖς, εἶπε, προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα.

Πρὸς δὲ τὸν καπεξαπισάμενον Κλεάνθης διαλεκτικὸν, καὶ προτείνοντα αὐτῷ σοφίσματα, Πέπαυσο, εἶπε, παρέλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων, ἡμῖν δὲ τοῖς νέοις ταῦτα προτίθει. πάλιν δὲ, ἐπεί τις ζητῶν καταμόνας αὐτῷ διελέγετο δεξαθῶς, ἐπεὶ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη,

Οἶμοι κασίγνητ' ὄμμα σὸν παράστεται.
Ταχὺς δὲ μετέθη λύσσαν ἀρτίως φρονῶν.

ἐν μιᾷ τοι ταῖς οἰνώσεσιν ἡσύχαζε διαφερόμενος τοῖς σκέλεσιν· ὡς εἰπεῖν τὴν δέλτα, Χρυσίππου μόνα τὰ σκέλη μεθύει. ἔπω δ' ἦν φρονηματίας, ὡς ἐρομένου τινὸς, Τίνι συσήσω τὸν υἱόν; εἰπεῖν, Ἐμοί· εἰ γὰρ ὑπελάμβανον εἶναι τινὰ ἐμοῦ βελτίονα, παρ' αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν. ὅθεν φασὶν ἐπ' αὐτῷ λεχθῆναι,

Οἷος πέπνυται, τοὶ δ' ὡς σκιαὶ αἰάσουσι.

καὶ

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν στοά.

Τέλος δὲ Ἀρκεσιλάῳ καὶ Λακύδῃ, καθά φησι Σωτίων ἐν τῇ ὀγδόῃ, προσχωρήσοις ἐν Ἀκαδημίᾳ συνεφιλοσόφησε. δι' ἣν αἰτίαν, καὶ καθ' ἧς σωωηθείας, καὶ ὑπὲρ αὐτῆς οἷον ἐπεχείρησε, καὶ περὶ μεγεθῶν καὶ πλήθων τῇ τῶν Ἀκαδημαϊκῶν ἐπάσει χρησάμενος.

Τεθνεῶτα ἐν τῷ ᾠδείῳ χολάζοντα φησὶν Ἕρμιππος

ὅτι

ἐπὶ θυσίαν ὑπὸ τῶν μαθητῶν κληθῆναι· ἔνθα προσενέγκαμβρον γλυκοῦ ἄκρατον, καὶ ἰλιγγιάσαντα, πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων, τρία καὶ ἑβδομήκοντα βιώσαντα ἔτη καὶ τὴν τρίτην καὶ πεντηκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Ἰλιγγίασε βάκχον ἐκπιὼν χυδὸν
Χρύσιππος, εἶδ' ἐφεῖσατ' εἶδέ τῆς σοᾶς,
Οὐδ' ἧς πάρεις, ἃ τῆς ψυχῆς, ἀλλ' ἦλθε δῶμ'
Εἰς ἄιδεω.

ἔνιοι δέ φασι γέλωτι συσχεθέντα αὐτὸν τελευτῆσαι. ὄνος γὰρ τὰ σῦκα αὐτῷ φαγόντος, εἰπόντα τῇ γρᾳῒ διδόναι ἄκρατον ἐπιῤῥοφῆσαι τῷ ὄνῳ, ὑπερκαγχάσαντα τελευτῆσαι.

Δοκεῖ δὲ ὑπερόπτης τις γεγονέναι. τοσαῦτα γοῦν συγγράψας, οὐδενὶ τῶν βασιλέων προσεφώνησεν. ἤρκειτό τε γραϊδίῳ μόνῳ, καθά καὶ Δημήτριος ἐν ὁμωνύμοις φησί. Πτολεμαίου τε πρὸς Κλεάνθην ἐπιστείλαντος, ἢ αὐτὸν ἐλθεῖν, ἢ πέμψαι τινά, Σφαῖρος μὲν ἀπῆλθε, Χρύσιππος δὲ οὐκ ἦλθε.

Μεταπεμψάμενος δὲ τοὺς τῆς ἀδελφῆς υἱεῖς, Ἀριστοκρέοντα καὶ Φλοκράτην, σωφρόνισε. καὶ πρῶτος ἐθάῤῥησε σχολὴν ἄγειν ὕπαιθρον ἐν Λυκείῳ, καθάπερ ὁ προειρημένος Δημήτριος ἱστορεῖ.

Γέγονε δὲ καὶ ἄλλος Χρύσιππος Κνίδιος, ἰατρὸς, παρ' ὃν φησιν αὐτὸς Ἐρασίστρατος τὰ μάλιστα ὠφελῆσθαι. καὶ ἕτερος, υἱὸς τούτου, ἰατρὸς Πτολεμαίου, ὃς διαβληθεὶς περιῆλθε, καὶ μασιγούμενος ἐκολάσθη· ἄλλος, μαθητὴς Ἐρασιστράτου· καί τις, γεωργικὰ γεγραφώς.

Ὁ δὲ φιλόσοφος καὶ τοιούτους τινὰς πρώτα λόγους.

λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια, ἀσεβεῖ· ὁ ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ἀσεβεῖ ἄρ' ὁ ἱεροφάντης. ἄλλο· Οὐκ ἔστιν ἐν τῇ πόλει, οὐδὲ τοῦτο ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. ἄλλο· Ἔστι δέ γε τις κεφαλή· ἐκείνῳ δὲ οὐκ ἔχεις· ἔστι δέ γε τις κεφαλή, οὐκ ἄρα ἔχεις κεφαλήν. ἄλλο· Εἴ τις ἔξιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἔξιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις. καὶ πάλιν, Εἴ τι λαλεῖς, τοῦτο σοῦ διὰ τοῦ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ τοῦ στόματός σου διέρχεται· καὶ, Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις· οἱ δὲ Εὐβουλίδου τοῦτο φασίν.

Εἰσὶ δὲ οἳ καταῤῥέχουσι τοῦ Χρυσίππου ὡς πολλὰ αἰσχρῶς καὶ ἀῤῥήτως ἀναγεγραφότος· ἐν μὲν γοῦν τῷ Περὶ τῶν ἀρχαίων φυσιολόγων συγγράμματι αἰσχρῶς τὰ περὶ τὴν Ἥραν καὶ τὸν Δία ἀναπλάττει, λέγων καὶ τοὺς ἑξακοσίους στίχους ἃ μηδεὶς ἠτυχηκὼς μολύνειν τὸ στόμα, εἴποι ἄν. αἰσχροτάτην γὰρ (φασὶ) ταύτην ἀναπλάττει ἱερογαμίαν, εἰ καὶ ἐπαινεῖ ὡς φυσικήν, χαμαιτύπας μᾶλλον πρέπουσαν ἢ θεοῖς. ἔτι τε τὰ περὶ τοῖς περὶ πινάκων γράφασι κατανενοσημμένα. μήτε γὰρ περὶ Πολέμωνι, μήτε παρὰ Γλυκέρᾳ, ἀλλὰ μηδὲ παρ' Ἀντιγόνῳ εἶναι· ὑπ' αὐτοῦ δὲ πεπλάσθαι. ἐν δὲ τῷ Περὶ πολιτείας, καὶ μηδάσι λέγει σωέρχεσθαι, καὶ συναφάσι, καὶ ἑταίραις. τὰ δ' αὐτὰ φησι καὶ ἐν τῷ Περὶ τοῦ μὴ δι' ἑαυτὰ αἱρετοῦ, δ' θύς ἐν ἀρχῇ. ἐν δὲ τῷ γ'. Περὶ δικαίου, κατὰ τοὺς χιλίους στίχους, καὶ τοὺς ἀποθανόντας κατεσθίειν κελεύων. ἐν δὲ τῷ δευτέρῳ Περὶ βίου καὶ πορισμοῦ, προνοεῖν λέγων ὅπως πορισέον τῷ σοφῷ. καί τοι τίνος χάριν πορισέον αὐτῷ; εἰ μὲν γὰρ τοῦ

τὸ ζῆν εἶναι, ἀδιάφορον τὸ ζῆν· εἰ δὲ ἡδονῆς, καὶ αὕτη ἀδιάφορος· εἰ δὲ τῆς ἀρετῆς, αὐτάρκης αὕτη πρὸς εὐδαιμονίαν. καταγέλαστοι δὲ καὶ οἱ ξόποι τὸ ποιητικὸν, οἷον οἱ ὑπὸ βασιλέως· εἶπεν γὰρ αὐτὸν δεῖσει. καὶ οἱ ὑπὸ φιλίας· λίμματος γὰρ ὢνιος ἡ φιλία ἔσαι. καὶ οἱ ὑπὸ σοφίας· μισθαρνήσει γὰρ ἡ σοφία. καὶ ταῦτα μὲν ἐγκαλεῖται. ἐπεὶ δὲ ἐνδοξότατα βιβλία ἔστιν αὐτῷ, ἔδοξέ μοι καὶ τίτλους πρὸς εἶδος ἀναγράψαι αὐτῶν ἐνταῦθα καταχωρίσαι. καὶ ἔστι τάδε. Λογικὰ τόπων θέσεις, Λογικὰ, καὶ τῶν τῶν φιλοσόφων σκεμμάτων, Ὅρων διαλεκτικῶν πρὸς Μητόδωρον, ε'. Περὶ τῶν κατὰ τὴν διαλεκτικὴν ὀνομάτων πρὸς Ζήνωνα, α'. Τέχνη διαλεκτικὴ πρὸς Ἀρίσταγόραν, α'. συμμιγῶν παθῶν, πρὸς Διοσκυρίδην, δ'. Λογικὰ τόπων τῶν περὶ τὰ πράγματα, σύνταξις πρώτη. Περὶ ἀξιωμάτων, α'. Περὶ τῶν οὐκ ἁπλῶν ἀξιωμάτων, α'. Περὶ τῶν συμπεπλεγμένων, πρὸς Ἀθηνόδωρον, α', β'. Περὶ ὑποφορτικῶν πρὸς Ἀρίσταγόραν, γ'. Περὶ τῶν καταγορευτικῶν, πρὸς Ἀθηνόδωρον, α'. Περὶ τῶν κατὰ μέρησιν λεγομένων, β'. Πρὸς Θέαρον, α'. Περὶ τῶν ἀορίστων ἀξιωμάτων πρὸς Δίωνα, α', β', γ'. Περὶ τῆς διαφορᾶς τῶν ἀορίστων, α', β', γ', δ'. Περὶ τῶν κατὰ χρόνους λεγομένων, α', β'. Περὶ συμπτωτικῶν ἀξιωμάτων, β'. σύνταξις δευτέρα. Περὶ ἀληθῶς διεζευγμένης, πρὸς Γοργιππίδην, α'. Περὶ ἀληθῶς συμμιγοῦς, πρὸς Γοργιππίδην, α', β', γ', δ'. Διαίρεσις πρὸς Γοργιππίδην, α'. πρὸς τὸ περὶ ἀκολούθων, α'. Περὶ τῶν κατὰ ξιῶν, πάλιν πρὸς Γοργιππίδην, α'. Περὶ δυνατῶν, πρὸς Κλεῖτον, δ'. Πρὸς τὸ περὶ σημασιῶν Φίλωνος, α'. Περὶ τοῦ τίνα ἐστὶ τὰ ψευδῆ, α'. σύνταξις ζήτ. Περὶ προσαγμάτων, β'. Περὶ ἐρωτήσεων, β'. Περὶ πτώσεως, δ'. Ἐπιτομὴ περὶ ἐρω-

πίσεως καὶ πεύσεως, α. Ἐπιτομὴ τῶν ὑποκείσεων, α. Ζητήσεως, β. Περὶ ὑποκείσεως, δ'. συντάξις τετάρτη. Περὶ τῶν κατηγορημάτων πρὸς Μητρόδωρον, ι'. Περὶ ὀρθῶν καὶ πτώσεων πρὸς Φίλαρχον, α. Περὶ τῶν συναμμάτων πρὸς Ἀπολλωνίδιον, α. Πρὸς Πάσυλον περὶ κατηγορημάτων, δ'. συντάξις πέμπτη. Περὶ τῆς πρώτης πτώσεως, α. Περὶ τῆς καὶ τὸ ὑποκείμενον ὠφελιμῶν ἐκφορῶν, α. Περὶ παρεμφάσεως πρὸς Σπαγέρην, β. Περὶ τῶν προσηγορικῶν, β. Λογικὸς τόπος περὶ τὰς λέξεις, καὶ τὸν κατ' αὐτὰς λόγον. συντάξις πρώτη. Περὶ τῆς ἐνικῶν καὶ πληθυντικῶν ἐκφορῶν, ε'. Περὶ λέξεων, πρὸς Σωσιγένην καὶ Ἀλέξανδρον, ε, Περὶ τῆς καὶ τὰς λέξεις ἀνωμαλίας πρὸς Δίωνα, δ'. Περὶ τῆς πρὸς τὰς φωνὰς σωρειτῶν λόγων, γ'. Περὶ σολοικισμῶν, α. Περὶ σολοικιζόντων λόγων πρὸς Διονύσιον, α. Λόγοι παρὰ τὰς συνηθείας, α. Λέξις πρὸς Διονύσιον, α. συντάξις δευτέρα. Περὶ τῆς στοιχείων τοῦ λόγου καὶ τῆς λεγομένων, ε. Περὶ τῆς συντάξεως τῆς λεγομένων, δ'. Περὶ τῆς συντάξεως καὶ στοιχείων τῆς λεγομένων πρὸς Φίλιππον, γ'. Περὶ τῶν στοιχείων τοῦ λόγου πρὸς Νικίαν, α. Περὶ τοῦ πρὸς ἕτερα λεγομένου, α. συντάξις τρίτη. Πρὸς τὰς μὴ διαιρουμένας, β. Περὶ ἀμφιβολιῶν πρὸς Ἀπολλᾶν, δ'. Περὶ τῆς τροπικῶν ἀμφιβολιῶν, α. Περὶ συνημμένης τροπικῆς ἀμφιβολίας, β'. Πρὸς τὸ περὶ ἀμφιβολιῶν Παυθοίδα, β. Περὶ τῆς εἰς τὰς ἀμφιβολίας εἰσαγωγῆς, ε. Ἐπιτομὴ τῶν πρὸς Ἐπικράτην ἀμφιβολιῶν, α. συνημμένα πρὸς τὴν εἰσαγωγὴν τῶν εἰς τὰς ἀμφιβολίας, β'. Λογικὸς τόπος, πρὸς τὰς λόγους καὶ τὰς τρόπους συντάξεις. Πρώτη, τέχνη λόγων καὶ τρόπων πρὸς Διοσκουρίδην, ε. Περὶ τῶν λόγων, γ'. Περὶ τρόπων συντάσεως πρὸς Σπαγόραν, β'. Σύγκρισις τῶν τροπικῶν ἀξιω-

ἀξιωμάτων, ά. Περὶ ἀντιστρεφόντων λόγων καὶ συνημμένων, ά. Πρὸς Ἀγάθωνα, ἢ Περὶ τῶν ἐξῆς προβλημάτων, ά. Περὶ τοῦ τὰ συλλογιστικά τινος μετ' ἄλλου τε καὶ μετ' ἄλλων, ά. Περὶ τῶν ὑπαρχόντων πρὸς Ἀριστοκράτη, ά. Περὶ τοῦ πάσχειν τὸν αὐτὸν λόγον ἐν πλείοσι τρόποις, ά. Πρὸς τὰ αὐτειρημένα τῷ τὸν αὐτὸν λόγον ἐν συλλογιστικῷ καὶ ἀσυλλογίστῳ τετάχθαι τρόπῳ, β'. Πρὸς τὰ αὐτειρημένα ἐν ταῖς τῶν συλλογισμῶν ἀναλύσεσι, γ'. Πρὸς τὸ περὶ τρόπων, Φίλωνος, πρὸς Τιμόκρατον, ά. Λογικὰ συνημμένα, πρὸς Τιμοκράτην καὶ Φιλομαθῆ. Εἰς τὰ περὶ λόγων, καὶ περὶ τρόπων, ά. συντάξεις δευτέρα. Περὶ τῶν περαινόντων λόγων, πρὸς Ζήνωνα, ά. Περὶ τῶν πρώτων καὶ ἀναποδείκτων συλλογισμῶν πρὸς Ζήνωνα, ά. Περὶ τῆς ἀναλύσεως τῶν συλλογισμῶν, ά. Περὶ τῶν παρελκόντων λόγων, πρὸς Πάσυλον, β'. Περὶ τῶν εἰς τὰς σολοικισμὸς θεωρημάτων, ά. Περὶ συλλογισμῶν εἰσαγωγικῶν, πρὸς Ζήνωνα, ά. Τῶν πρὸς εἰσαγωγὴν τρόπων, πρὸς Ζήνωνα, γ'. Περὶ τῶν καὶ ψευδῆ λήμματα συλλογισμῶν, έ. Λόγοι συλλογιστικοὶ καὶ ἀνάλυσιν ἐν τοῖς ἀναποδείκτοις ά. Τροπικὰ ζητήματα, πρὸς Ζήνωνα καὶ Φιλομαθῆ, ά. τοῦτο δοκεῖ ψευδεπίγραφον. συντάξεις ζήτ. Περὶ τῶν μεταπιπτόντων λόγων, πρὸς Ἀθηνάδην, ά. ψευδεπίγραφον. Λόγοι μεταπίπτοντες πρὸς τὸν μεσότητα, γ'. Ψευδεπίγραφα. Πρὸς τὰς Ἀμεινίου ζητητικὰς, α. συντάξεις τεσσάρων. Περὶ ὑποθέσεων, πρὸς Μελέαγρον, γ'. Λόγοι ὑποθετικοὶ εἰς τὰς νόμους, πρὸς Μελέαγρον πάλιν, ά. Λόγοι ὑποθετικοὶ πρὸς εἰσαγωγὴν, β'. Λόγοι ὑποθετικοὶ θεωρημάτων, β'. Λύσις τῶν Ἡδύλου ὑποθετικῶν, β'. Λύσις τῶν Ἀλεξάνδρου ὑποθετικῶν, γ'. ψευδεπίγραφα. Περὶ ἐνθέσεων, πρὸς Λακεδαιμονίους, ά. συντάξεις πέμπτη. Περὶ

τῆς εἰς τὸν ψευδόμενον εἰσαγωγῆς, πρὸς Ἀ. εἰσοπρέοντα, ά. Λόγοι ψευδόμενοι πρὸς εἰσαγωγὴν, ά. Περὶ τῶ ψευδομένε, πρὸς Ἀ. εἰσοπρέοντα, ς'. συνταξις ἕκτη. Πρὸς τὰς νομιζοντας καὶ ψευδῆ καὶ ἀληθῆ εἶναι, ά. Πρὸς τὰς ἀφ' ἑτέρας διαλύοντας τὸν ψευδόμενον λόγον, πρὸς Ἀ. εἰσοπρέοντα, β'. Ἀπόδειξις ὡρὸς τὸ μὴ δεῖν τέμνειν τὰ ἀόριστα, ά. Πρὸς τὰ ἀντιπεπομένα τοῖς ἀφ' ἑτέρας τομῆς ἀοριστων, ὡρὸς Πάσυλον, γ'. Λύσις καθ' ἑτέρας ἀρχαίας, πρὸς Διοσκυρίδην, ά. Περὶ τῆς τῶ ψευδομένε λύσεως, πρὸς Ἀ. εἰσοπρέοντα, γ'. Λύσις τῶν Ἡδύλε ὑποθετικῶν, ὡρὸς Ἀ. εἰσοπρέοντα καὶ Ἀπολλᾶ, ά. συνταξις ἑβδόμη. Πρὸς τὰς φάσκοντας τὰ λήμματα ἔχειν ψευδῆ τὸν ψευδόμενον λόγον, ά. Περὶ ὑποφάσκοντος, πρὸς τὸν Ἀ. εἰσοπρέοντα, β'. Λόγοι ὑποφάσκοντες, ὡρὸς Γυμνασίαν, ά, Περὶ τῶ ἁβδομικροῦ λόγε, ὡρὸς Σπερσαγόραν, β'. Περὶ τῶν εἰς τὰς ὑπολήψεις λόγων καὶ συναζόντων, πρὸς Ὀνήτορα, β'. Περὶ τῶ ἐγκεκαλυμμένε, πρὸς Ἀ. εἰσόβολον, β'. Περὶ τῶ διαλελυθότος, ὡρὸς Ἀθηνάδην, ά. συνταξις ὀγδόη. Περὶ τῆς ἕξεως, πρὸς Μνησικράτην, ή. Περὶ τῶν ἐξ ἀορίστε καὶ ὡρισμένε λόγων, ὡρὸς Πάσυλον, β'. Περὶ ἕξεως λόγε, ὡρὸς Ἐπικράτην, ά. συνταξις ἐνάτη. Περὶ τῶν σοφισμάτων, ὡρὸς Ἡρακλείδην καὶ Πόλιν, β'. Περὶ τῆς ἀπόρων διαλεκτικῶν λόγων, ὡρὸς Διοσκυρίδην, έ. ὡρὸς τὸ Ἀρκεσιλάε μεθόδιον, πρὸς Σφαῖρον, ά. συνταξις δεκάτη. Κατὰ τῆς συνηθείας, πρὸς Μητόδωρον, ς'. Περὶ τῆς συνηθείας, ὡρὸς Γοργιππίδην, ζ'. Λογικὸς τόπος τὰ τῶν ὡρωπεπομένων τεττάρων διαφορῶν ἐκτὸς ὄντα, καὶ τὰ ὡρολέχοντα ἀποράδην καὶ ὁ σωματικὰς ζητήσεις λογικάς. Περὶ τῶν καταλεγομένων ζητημάτων λδ'. ὁμοῦ τὰ πάντα τῶ λογικῶ, τιά. Ἠθικῶ λόγε τῶ

περὶ

περὶ τῶν διορθωσιν τῶν ἠθικῶν ἐννοιῶν, συνταξις πρώτη. Ὑπογραφὴ τοῦ λόγου τοῦ πρὸς Θεόφορον, α'. Θέσεις ἠθικαὶ, α'. Πιθανὰ λήμματα εἰς τὰ δόγματα, πρὸς Φιλομαθῆ, γ'. Ὅρων τῶν τοῦ ἀσείτου, πρὸς Μητρόδωρον, β'. ὅρων τῶν τοῦ φιλοῦ, πρὸς Μητρόδωρον, β'. ὅρων τῶν ἀναμίσων, πρὸς Μητρόδωρον, β'. ὅρων τῶν πρὸς Μητρόδωρον τῶν κατὰ γένος, ζ'. ὅρων τῶν κατὰ τὰς ἄλλας τέχνας, πρὸς Μητρόδωρον, α, β'. συνταξις δευτέρα. Περὶ τῶν ὁμοίων πρὸς Ἀριστοκλέα, γ'. Περὶ τῶν ὅρων πρὸς Μητρόδωρον, ζ'. συνταξις τρίτη. Περὶ τῶν ἐν ὀρθῶς τοῖς ὅροις ἀντιλεγομένων, πρὸς Λακεδαιμονα, ζ'. Πιθανὰ εἰς τοὺς ὅρους πρὸς Διοσκουρίδην, β'. Περὶ εἰδῶν καὶ γενῶν πρὸς Γοργιππίδην, β'. Περὶ τῶν διαιρέσεων, α'. Περὶ τῶν ἐναντίων πρὸς Διονύσιον, β'. Πιθανὰ πρὸς τὰς διαιρέσεις, καὶ τὰ γενη, καὶ τὰ εἰδη. Περὶ τῶν ἐναντίων. α'. συνταξις τετάρτη. Περὶ τῶν ἐτυμολογικῶν πρὸς Διοκλέα, ζ'. ἐτυμολογικῶν πρὸς Διοκλέα, δ'. συνταξις πέμπτη. Περὶ παροιμιῶν πρὸς Ζηνόδοτον, β'. Περὶ ποιημάτων πρὸς Φιλομαθῆ, α'. Περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν, β'. Πρὸς τοὺς Κειτιεῖς, πρὸς Διόδωρον, α'. ἠθικὸς τόπος. περὶ τῶν κοινῶν λόγων, καὶ τῶν ἐκ τούτου συνισταμένων τέχνας καὶ ἀρετάς· συνταξις πρώτη. Πρὸς τὰς ἀναζωγραφήσεις, πρὸ Τιμώνακτα, α'. Περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, α'. Περὶ τῶν ἐννοιῶν πρὸς Λακεδαιμονα, β'. Περὶ καταλήψεως πρὸς Πυθώνακτα, α, β'. Ἀποδείξεις πρὸς τὸ μὴ δοξάσειν τὸν σοφὸν, α'. Περὶ καταλήψεως καὶ ἐπιστήμης καὶ ἀγνοίας, δ'. Περὶ λόγου, β'. Περὶ τῆς χρήσεως τοῦ λόγου πρὸς Λεπτίνην. συνταξις δευτέρα· Περὶ τοῦ ἐγκείνειν τοὺς ἀρχαίους τῷ Ἡδυλεπτικῷ, συν ταῖς ἀποδείξεσι, πρὸς Ζήνωνα, β'.

Περὶ τῆς διαλεκτικῆς, πρὸς Ἀριστοκρέοντα, δ'. Περὶ τῶν ἀντιδιαλεγομένων τοῖς διαλεκτικοῖς, γ'. Περὶ τῆς ῥητορικῆς πρὸς Διοσκουρίδην, δ'. συντάξεις ἕξ τε. Περὶ ἕξεως, πρὸς Κλέωνα, γ'. Περὶ τέχνης, καὶ ἀτεχνίας, πρὸς Ἀριστοκρέοντα, δ'. Περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν, πρὸς Διόδωρον, δ'. Περὶ τοῦ ποιὰς εἶναι τὰς ἀρετάς, ά. Περὶ ἀρετῶν, πρὸς Πόλλιν, β. ἠθικὸν τοπικὸν, Περὶ ἀγαθῶν καὶ κακῶν, συντάξεις πρῶτον. Περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς, πρὸς Ἀριστοκρέοντα, ί. Ἀπόδειξις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν τέλος, δ'. Ἀπόδειξις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν ἀγαθὸν, δ'. Περὶ τῶν λεγομένων.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΥΘΑΓΟΡΑΣ.

Ἐπὶ δὲ τῶν Γωνικῶν φιλοσοφίαν τὴν ἀπὸ Θαλοῦ, καὶ τοὺς ἐν αὐτῇ διαβοήσαντας ἀνδρας ἀξιολόγους διεληλύθαμεν, φέρε καὶ περὶ τῆς Ἰταλικῆς διαλάβωμεν, ἧς ἦρξε Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, ὡς φησιν Ἕρμιππος· ἢ, ὡς Ἀριστόξενος, Τυρρηνοὶ, ὑπὸ μιᾶς τῶν νήσων ἃς κατέσχον Ἀθηναῖοι Τυρρηνοὺς ἐκβαλόντες. οἱ δὲ, υἱὸν μὲν εἶναι Μαρμάκου τοῦ Ἱππάσου, τοῦ Εὐθύφρονος, τοῦ Κλεωνύμου, φυγάδος ἐκ Φλιοῦντος· οἰκεῖν δὲ ἐν Σάμῳ τὸν Μάρμακον, ὅθεν Σάμιον τὸν Πυθαγόραν λέγεσθαι. συσκευάσαι δὲ εἰς Λέσβον ἐλθόντα Φερεκύδην, ὑπὸ Ζωΐλου τοῦ θείου. καὶ ξύλα ποτήρια κατασκευασάμενος ἀργυρᾶ, δῶρον ἀπεμίσγειν ἑκάστῳ τῶν ἑρέων εἰς Αἴγυπτον· ἔχειν δὲ ἀδελφὰς, πρεσβύτερον μὲν, Εὔνομον· μέσον δὲ Τυρρηνῶν· καὶ ἄλλον Ζάμολξιν,

ξιν, ὦ Γέται θύουσι, Κρόνον νομίζοντες, ὡς φησιν Ἡ-
ρόδοτος.

Οὗτος ἦλθε μὲν (καθά φασιν) Φερεκύδη τῷ Συρίῳ· μετὰ δὲ τοῦτον ἐκείνῳ τελευτήσαντι, ἦλθεν εἰς Σάμον, καὶ ἤκουσεν Ἑρμοδάμαντος τοῦ Δοτογόνου Κρεσφίλου, ἤδη πρεσβύτερος.

Νέος δὲ ὢν καὶ φιλομαθὴς, ἀπεδήμησε τῆς πατρίδος, καὶ πάσας ἐμυήθη τὰς τε Ἑλληνικὰς καὶ βαρβαρικὰς τελετάς. ἐλήλυθε δὲ καὶ εἰς Αἴγυπτον, ὁπλίτης καὶ Πολυκράτης αὐτὸν Ἀμάσιδι συνίστησι δι' ἐπιστολῆς, καὶ ἐξέμαθε τοὺς φωτοὺς αὐτῶν, καθά φησιν Ἀντιφῶν ἐν τῷ Περὶ τῆς ἐν ἀρετῇ πρωτευσάντων· καὶ παρὰ Χαλδαίοις ἐγένετο καὶ Μάγοις. εἶτα ἐν Κρήτῃ σὺν Ἐπιμενίδῃ κατῆλθεν εἰς τὸ Ἰδαῖον ἄντρον, ἀλλὰ καὶ ἐν Αἰγύπτῳ εἰς τὰ ἄδυτα· καὶ τὰ περὶ θεῶν ἐν ἀπορρήτοις ἔμαθεν. εἶτα ἐπανῆλθεν εἰς Σάμον, καὶ ἱερὸν τοῦ πατρίδα τυραννοῦντος τότε Πολυκράτους, ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας· κἀκεῖ νόμους θεὶς τοῖς Ἰταλιώταις, ἐδοξάσθη σὺν τοῖς μαθηταῖς· οἱ περὶ τοὺς τριακοσίους ὄντες, ᾠκονόμουν ἄριστα τὰ πολιτικά, ὥστε σχεδὸν ἀριστοκρατίαν εἶναι τὴν πολιτείαν.

Τοῦτον φησὶν Ἡρακλείδης ὁ Ποντικὸς περὶ αὐτοῦ τάδε λέγειν· ὡς εἴη ποτὲ γεγονὼς Αἰθαλίδης, καὶ Ἑρμοῦ υἱὸς νομισθείη. τοῦτον δὲ Ἑρμοῦ εἰπεῖν αὐτῷ ἑλέσθαι ὅ, τι ἂν βούληται, πλὴν ἀθανασίας. αἰτήσασθαι δὴ, ζῶντα καὶ τελευτῶντα μνήμην ἔχειν τῶν συμβαινόντων. ἐν μὲν δὴ τῇ ζωῇ, πάντων ἐμνημονεῦσαι· ἐπεὶ δὲ ἀπέθανεν, πρῆσαι τὴν αὐτὴν μνήμην. χρόνῳ δὲ ὕστερον, εἰς Εὔφορβον ἐλθεῖν, καὶ ὑπὸ Μενέλεω δωθῆναι. ὁ δὲ Εὔφορβος ἔλεγεν, ὡς Αἰθαλίδης ποτὲ γεγόνοι· καὶ ὅτι παρ' Ἑρμοῦ τὸ δῶρον λάβοι, καὶ τὴν τῆς ψυχῆς μετάπτωσιν, ὡς μεταπολή-

θη,

θη, καὶ εἰς ὅσα φυτὰ καὶ ζῶα μεταγενέστο, καὶ ὅσα ἡ ψυχὴ ἐν τῷ ἅδῃ ἔπαθε, καὶ αἱ λοιπαὶ τίνα ὑπομένουσιν. ἐπειδὴ δὲ Εὔφορβος Δαρδανίοις, μεταβῆναι τὴν ψυχὴν αὐτὸν εἰς Ἑρμότιμον, ὃς καὶ αὐτὸς πίσιν δοῦναι θέλων, ἐπανῆλθεν εἰς Βραγχίδας· καὶ εἰσελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, ἐπέδειξεν ἣν Μενέλαος ἀνέθηκεν ἀσπίδα. ἔφη γὰρ αὐτὸν, ὅτ' ἀπέπλευσεν ἐκ Τροίας, ἀναθεῖναι τῷ Ἀπόλλωνι τὴν ἀσπίδα, διαπεσοῦσαν ἤδη· μόνον δὲ διαμένειν τὸ ἐλεφάντινον πρόσωπον. ἐπειδὴ δὲ Ἑρμότιμος ἀπέθανε, γενέσθαι Πύρρον τὸν Δήλιον ἁλιέα· καὶ πάντα πάλιν μνημονεύειν, πῶς πρόσθεν Αἰθαλίδης, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύρρος γένοιτο. ἐπειδὴ δὲ Πύρρος ἀπέθανε, γενέσθαι Πυθαγόραν, καὶ πάντων τῶν εἰρημένων μεμνῆσθαι.

Ἔνιοι μὲν ἓν Πυθαγόραν μηδὲν καταλιπεῖν σύγγραμμα φασὶ, διαπαίζοντες. Ἡράκλειτος γοῦν ὁ φυσικὸς μονονουχὶ κέκραγε, καί φησι· Πυθαγόρης Μνησάρχου ἱστορίῃ ἤσκησεν ἀνθρώπων μάλιστα πάντων. καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς, ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην. ἔτι δὲ εἶπεν, ἐπειδήπερ ἐναρχόμενος ὁ Πυθαγόρας τοῦ φυσικοῦ συγγράμματος, λέγει ὧδε· Οὐ μὰ τὸν ἀέρα τὸν ἀναπίεω, οὐ μὰ τὸ ὕδωρ τὸ πίνω, οὐ κατοίσω ψόγον περὶ τοῦ λόγου τοῦδε. γέγραπται δὲ τῷ Πυθαγόρᾳ συγγράμματα ξύα· παιδευτικὸν, πολιτικὸν, φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου, Λύσιδός ἐστι τοῦ Ταραντίνου Πυθαγορικοῦ, φυγόντος εἰς Θήβας, καὶ Ἐπαμεινώνδου καθηγησαμένου. φησὶ δὲ Ἡρακλείδης ὁ τοῦ Σαραπίωνος ἐν τῇ Σωτίωνος ἐπιτομῇ, γεγραφέναι αὐτὸν καὶ περὶ τοῦ ὅλου ἐν ἔπεσι. δεύτερον, τὸν ἱερὸν λόγον, ἃ ἡ ἀρχὴ,

Ω νέοι ἀλλὰ σέβεσθε μεθ' ἡσυχίας τάδε πάντες.

ξίπον, Περὶ ψυχῆς· τέταρτον, Περὶ εὐσεβείας· πέμπτον, Ἡλοθαλῆ τὸν Ἐπιχάρμε τῦ Κῶε πατέρα· ἕκτον, Κρόπωνα, καὶ ἄλλες. τὸν δὲ μυστικὸν λόγον, Ἱππάσε φασὶν εἶναι, γεγραμμένον ὅτι ἐξεβολῆ Πυθαγόρε· πολλὲς δὲ καὶ ὑπὸ Ἀσωνος τῦ Κροτωνιάτε γεγραφότας, ἀπαθῶσαι Πυθαγόρα. φησὶ δὲ καὶ Ἀριστόξενος, τὰ πλεῖστα τῶν ἠθικῶν δογμάτων λαβεῖν τὸν Πυθαγόραν παρὰ Θεμιστοκλείας τῆς ἀδελφῆς. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς ξιάγμοῖς, φησὶν αὐτὸν σύντα ποιήσαντα ἀνενεγκεῖν εἰς Ὀρφέα. αὐτῷ λέγεσι καὶ τὰς παρασκοπιάδας, ἧς ἡ ἀρχή, Μὴ ἀναίδου μηδενί.

Σωσικράτης δὲ ἐν διαδοχαῖς, φησὶν αὐτὸν ἐρωτηθέντα ὑπὸ Λέοντος τῦ Φλιασίων τυράννε, τίς εἴη; Φιλόσοφος, εἰπεῖν. καὶ τὸν βίον ἐοικέναι παννύρει. ὡς ἐν εἰς ταύτῃ οἱ μὲν, ἀγωνιάμβροι, οἱ δὲ, κατ' ἐμπορίαν, οἱ δέ γε βέλτιςοι, ἔρχονται θεαταί· ἕπως ἐν τῷ βίῳ, οἱ μὲν ἀνδραποδώδεις, ἔφη, φύονται, δόξης καὶ πλεονεξίας θηραταί· οἱ δὲ φιλόσοφοι, τῆς ἀληθείας. καὶ τάδε μὲν, ὧδε. ἐν δὲ τοῖς ξισὶ συγγράμμασι τοῖς φερομένοις φέρεται Πυθαγόρα τάδε καθολικῶς. εὐχεσθαι ὑπὲρ ἑαυτῷ, διὰ τὸ μὴ εἰδέναι τὸ συμφέρον· τὸν μέθιον ἐν ἅιδει τοὺς βλάβιον καλεῖ· καὶ πλυτμονὴν πᾶσαν ἀποδοκιμάζει, λέγων μὴ βαδαίνειν μήτε τῷ πόνων μήτε τῷ σιτίων μηδενὰ τὴν συμμετρίαν. καὶ περὶ ἀφροδισίων δέ φησιν ἕπως· ἀφροδίσια χειμῶνος ποιεῖσθαι, μὴ θέρεος· φθινοπώρε δὲ καὶ ἦρος, ἀφότερα· βαρέα δὲ πᾶσαν ὥραν, καὶ ἐς ὑγείαν ἀκ ἀγαθὰ εἶναι. ἀλλὰ καί ποτε ἐρωτηθεὶς πότε δεῖ πλησιάζειν ἀφροδίσιοις; Ὅτε βέλει θρύπτεσθαι σαυτὸν ἀθενέσερος, εἶπεν.

Διαι-

Διαιρεῖται δὲ καὶ τὸν τῦ ἀνθρώπυ βίον ὅπως. παῖς, εἴκοσι ἔτεα· νεηνίσκος, εἴκοσι· νεηνίης, εἴκοσι· γέρων. εἴκοσιν. αἱ δὲ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε σύμμετροι, παῖς, ἔαρ· νεηνίσκος, θέρος· νεηνίης, φθινόπωρον· γέρων, χειμών. ἔστι δὲ αὐτῷ, ὁ μὲν νεηνίσκος, μεσράκιον· ὁ δὲ νεηνίης, ἀνήρ.

Εἶπέ τε πρῶτος (ὥς φησι Τίμαιος) κοινὰ τὰ φίλων εἶναι· καὶ φιλίαν, ἰσότητα. καὶ αὐτῦ οἱ μαθηταὶ κατετίθεντο τὰς οὐσίας, εἰς οὓς ποιήμενοι. συναετίαντες ἡσύχαζον, μόνον τῦ λόγων κατακόντες, καὶ ὑδέπω Πυθαγόραν ἑρῶντες, εἰς ὃ δοκιμασθεῖεν. κἀντεῦθεν δὲ ἐγίνοντο τῆς οἰκίας αὐτῦ, καὶ τῆς ὄψεως μετεῖχον. ἀπεῖχοντο δὲ καὶ σορᾶ κυπαρισσίνης, διὰ τὸ τὸ Διὸς σκῆπτρον ἐντεῦθεν πεποιῆθαι, ὥς φησιν Ἕρμιππος ἐν δευτέρῳ Περὶ Πυθαγόρα.

Καὶ γὰρ καὶ σεμνοτερεύεσθαι λέγεται χρήσθαι. καὶ αὐτῦ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτῦ, ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. λέγεται δὲ αὐτῦ ποτὲ παραγυμνωθέντος, τὸν μηρὸν ὀφθῆναι χρυσῦν· καὶ ὅτι Νέσσος ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεῦσαι, πολὺς εἶ ὁ φάσκων.

Τίμαιός τε φησὶν ἐν δεκάτῃ ἱστοριῶν, λέγειν αὐτὸν τὰς συνοικήσας ἀνδράσι, θεῶν ἔχειν ὀνόματα, κόρας, νύμφας, εἶτα μητέρας καλεμένας.

Τοῦτον καὶ γεωμετρίαν ὅτι πέρας ἀγαγεῖν, Μόλιδος πρῶτον διέροντος τὰς ἀρχὰς τῆς στοιχείων αὐτῆς, ὥς φησιν Ἀντικλείδης ἐν δευτέρῳ περὶ Ἀλεξάνδρα. μάλιστα δὲ σχολάσαι τὸν Πυθαγόραν περὶ τὸ ἀριθμητικὸν εἶδος αὐτῆς· τόν τε κανόνα τὸν ἐκ μιᾶς χορδῆς διαιρεῖν. καὶ ἠμέλησε δὲ οὐδὲ ἰατρικῆς. φησὶ δὲ Ἀπολλόδωρος ὁ λογισικὸς ἑκατόμβοιν θῦσαι αὐτὸν, διέροντα ὅτι τὸ ὀρθογωνίε

γωνίᾳ ἰσογώνιᾳ ἡ ὑποτείνουσα πλευρὰ ἴσον δύναται ταῖς τὰς ὀρθὰς περιεχούσαις. καὶ ἔστιν ἐπίγραμμα, ἔπος ἔχον,

Νίκα Πυθαγόρης τὸ θεόκλειτος εὕρατο γράμμα,
Κεῖνο, ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην.

Λέγεται δὲ καὶ πρῶτος πρέσιν ἀσπάσαι ἀθλητάς· καὶ πρώτου γε Εὐρυμάχου, (καθάφησι Φαβωρῖνος ἐν τρίτῳ τοῦ ἀπομνημονευμάτων) τοῦ πρότερον ἰσχάσι ξηραῖς καὶ τυροῖς ὑγροῖς, ἀλλὰ καὶ πυροῖς σωμασκοῦντων αὐτὸς, καθάπερ ὁ αὐτὸς Φαβωρῖνος ἐν ὀγδόῃ παντοδαπῆς ἱστορίας φησίν. οἱ δὲ, Πυθαγόραν ἀλείπτου τινὰ, τὸν σιτίσαι τὸν βόπον, μὴ τὸν. τὸν δὲ καὶ τὸ φονεύειν ἀπαγορεύειν, μὴ ὅτι γε ἅπτεσθαι τοῦ ζώων, κοινὸν δίκαιον ἡμῖν ἐχόντων ψυχῆς. καὶ τόδε μὲν ἴσως τὸ πρόχειρον· τὸ δ' ἀληθὲς, τοῦ ἐμψύχων ἀπηγορεύσθαι ἅπτεσθαι, συνασκῶν καὶ συνεθίζων εἰς εὐκολίαν βίου τοὺς ἀνθρώπους· ὥστε εὐπορίστους αὐτοῖς εἶναι τὰς τροφὰς, ἄπυρα προσφερομένοις, καὶ λιτὸν ὕδωρ πίνουσιν. ἐντεῦθεν γὰρ καὶ σώματος ὑγίειαν, καὶ ψυχῆς ὀξύτητα περιγίνεσθαι. ἀμέλει καὶ βωμὸν προσκυνῆσαι μίνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τὸν ἡμέτερον, ὃς ἔστιν ὀπίσθιον τὸ Κερατίνου, ἀπὸ τοῦ πυρὸς, καὶ κριθὰς, καὶ τὰ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός· ἱερεῖον δὲ μηδὲν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ. πρῶτόν τέφασι τὸν ἀποφῆναι τοῦ ψυχοῦ, κύκλον ἀνάγκης ἀμείβεσθαι, ἄλλοτε ἄλλοις ἐνδεῖσθαι ζώοις.

Καὶ πρῶτον εἰς τὰς Ἕλλησας μέτρα καὶ σταθμὰ εἰσαγήσασθαι, καθάφησιν Ἀριστόξενος ὁ μουσικός.

Πρῶτόν τε, Ἕσπερον καὶ Φωσφόρον τὸν αὐτὸν εἰπεῖν, ὥς φησι Παρμενίδης.

Οὕτω δὲ ἐθαυμάσθη, ὥστε ἔλεγον τοὺς γνωρίμους αὐτοῦ,

τῶ, παντοίας θεᾶ φωνάς. ἀλλὰ καὶ αὐτὸς ἐν τῇ γραφῇ φησι δι' ἑπτὰ καὶ ἑξακοσίων ἐτέων ἐξ αἰδέω φθαγγεῖσθαι ἐς ἀνθρώπους. πιγὰρ καὶ προσεπαρτέρουν αὐτῷ, καὶ τῷ λόγων σέβεσθαι καὶ Λάκωνες καὶ Κρῆτες, Μεσάπιοί τε καὶ Ῥωμαῖοι. μέχρι δὲ Φιλολάου ἔκ τῳ τι γνῶναι Πυθαγόρειον δόγμα· ἔπος δὲ μόνος ἐξήνεγκε τὰ ἑξακόσια ἔτη βιβλία, ἃ Πλάτων ἐπέστειλεν ἑκατὸν μιᾶν ἐωνῆσθαι. τῶν τε ἑξακοσίων καὶ ἐλάττους ἔτι τῶν τυχερωτάτων ἀκρόασιν ἀπιόντων αὐτὸ· καὶ εἴ τινες ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους, ὡς μεγάλου τινὸς τετυχηκότες. Μεταποντῖοί γε μὲν τὸν μὲν οἰκίαν αὐτοῦ, Δήμητρος ἱερὸν ἐκάλεσαν· τὸν δὲ περίπατον, μουσεῖον, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῆς ἱστορίας. ἔλεγόν τε καὶ οἱ ἄλλοι Πυθαγόρειοι, μὴ εἶναι πρὸς πάντας πάντα ῥητὰ, ὥς φησιν Ἀριστόξενος ἐν δικάτῃ παιδευτικῶν νόμων. ἔνθα καὶ Ξενόφιλον τὸν Πυθαγορικὸν, ἐρωτηθέντα, πῶς ἂν μάλιστα τὸν υἱὸν παιδεύσειε, εἰπεῖν, εἰ πόλεως διοικουμένης γοητεία. ἄλλους τε πολλοὺς καὶ τῶν Ἰταλίαν ἀπεργάσασθαι καλούς τε καὶ ἀγαθοὺς ἄνδρας· ἀτὰρ καὶ Ζάλευκον καὶ Χαρώνδαν τοὺς νομοθέτας.

Ἱκανός τε γὰρ ἦν φιλίας ἐργάτης πάντα ἄλλα· καὶ εἴ τινα πύθοιτο τῶν συμβόλων αὐτῷ κεκοινωνηκότα, δι' ὧν τε προσηταιρίζετο, καὶ φίλον κατεσκεύαζεν.

Ἦν δὲ αὐτῷ τὰ σύμβολα, τάδε. Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, Ζυγὸν μὴ ὑπερβαίνειν, Ἐπὶ χοίνικος μὴ καθίζειν, Καρδίᾳ μὴ ἐσθίειν, Φορτίον συγκαθαιρεῖν, καὶ μὴ συνεπιτιθέναι, Τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, Ἐν δακτυλίῳ εἰκόνα θεῶν μὴ φορεῖν, Χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, Ἐλαδίῳ εἰς θάκον μὴ ἐμόργνυσθαι, Πρὸς ἥλιον τετραμμένον μὴ μιχεῖν,

Ἐκ-

Ἔπος λεωφόρῳ μὴ βαδίζειν, Μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, Ὀμοροφίους χελιδόνας μὴ ἔχειν, Γαμψώνυχα μὴ τρέφειν, Ἀπονυχίσμασι καὶ κυραῖς μὴ ἐπυρεῖν, μηδὲ ἐφίσασθαι, Ὀξεῖαν μάχαιραν ἀποτρέφειν. Ἀπομνημονεύματα ὅτι τοῖς ὅροις ἀεπισρεπτεῖν. ἤθελε δὲ αὐτῷ, τὸ μὲν Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυνασῶν ὀργιλῷ καὶ οἰδέντα θυμὸν μὴ κινεῖν· τὸ δὲ Ζυγὸν μὴ ὑπερβαίνειν· τετέρτι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν· Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τὲ ἐνεργῶτος φροντίδα ποιεῖσθαι καὶ τὲ μέλλοντος· ἡ γὰρ χοίνιξ, ἡμερήσιος ζοφή. δεῖ δὲ τὸ Καρδίαν μὴ ἐσθίειν, ἐδήλε μὴ τῇ ψυχῇ αἰτίας καὶ λύπας καταπίνειν. δεῖ δὲ τὲ, Εἰς ἀποδημίαν βαδίζοντα μὴ ὑποστρέφεσθαι, παρῄνει τοῖς ἀπαλλαττομένοις τὲ βίε, μὴ ὑποθυμητικῶς ἔχειν τὲ ζῆν, μηδὲ ὑπὸ τῆς ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. καὶ τὰ ἄλλα πρὸς ταῦτα λοιπόν ἐστιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν.

Παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθρὸν ἐσθίειν, μήτε μελαίνερον, καρδίας τε ἀπέχεσθαι καὶ κυάμων. Ἀριστοτέλης δέ φησι, καὶ μήτρας καὶ ῥίγλης ἐνίοτε. αὐτὸν δὲ ἀρκεῖσθαι, μέλιτι μόνῳ (φασί τινες) ἢ κηρίῳ, ἢ ἄρτῳ, οἴνῳ δὲ μεθ' ἡμέραν μὴ χρᾶσθαι. ὀψοφαγεῖν τε τὰ πολλὰ λαχανώδεσι ἐφθοῖς καὶ ὠμοῖς, πισὶ δὲ θαλαττίοις σπανίως. σολὴν δὲ αὐτῷ λιτὴν, καθαρὰ, καὶ σράμματα λιτὰ ἐξ ἐρίων. τὰ γὰρ λιτὰ ἄνω εἰς ἐκείνας ἀφίκετο τὰς τόπας. ἀδὲ πώποτε ἐγνώσθη ἄτε ἐξαχωρῶν, ἄτε ἀφροδισιάζων, ἄτε μεθυσθείς. ἀπείχετο καταγέλωτος καὶ πάσης ἀρετακείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. ὀργιζόμενός τε, ἄτε οἰκέτῃ ἐκόλαζεν, ἄτε ἐλεύθερον ἀδένα. ἐκάλει δὲ τὸ ναθιτεῖν, πελαργᾶν. μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῆς κληδόνων τε καὶ οἰωνῶν. ἤκουσα δὲ

διὰ

ἀπὸ τῶν ἐμπύρων, ἔξω τῆς ἀπὸ λιβάνου. Θυσίαις τε ἐχρῆτο ἀψύχοις. οἱ δέ φασιν ὅτι ἀλέκτορσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς, τοῖς λεγομένοις ἀπαλίαις, ἥκιστα δὲ ἄρνασιν. ὅ γε μὴν Ἀριστόξενος, πάντα μὲν τὰ ἄλλα συγχωρεῖν αὐτὸν ἐσθίειν ἔμψυχα, μόνων δὲ αὐτὸν ἀπέχεσθαι ἀροτῆρος βοὸς καὶ κριοῦ.

Οἱ δ' αὐτός φησιν (ὡς προείρηται) καὶ τὰ δόγματα λαβεῖν αὐτὸν ἀπὸ τῆς ἐν Δελφοῖς Θεμιστοκλείας. φησὶ δὲ Ἱερώνυμος κατελθόντα αὐτὸν εἰς ᾅδου, τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ ζίζουσαν· τὴν δὲ Ὁμήρου, κρεμαμένην ἀπὸ δένδρου, καὶ ὄφεις περὶ αὐτὴν, αὐθ' ὧν εἶπε περὶ θεῶν. κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας σωφρονεῖν ταῖς αὐτῶν γυναιξί. καὶ δὴ καὶ ἀπὸ τούτου τιμηθῆναι ὑπὸ τῶν ἐν Κρότωνι. φησὶ δὲ Ἀριστιππος ὁ Κυρηναῖος ἐν τῷ Περὶ φυσιολογιῶν, Πυθαγόραν αὐτὸν ὠνομασθῆναι, ὅτι τὴν ἀλήθειαν ἠγόρευεν ἐκ ἧττον τοῦ Πυθίου. λέγεται παρεγγυᾶν αὐτὸν ἑκάστοτε τοῖς μαθηταῖς, πάντα λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι.

Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

σφάγιά τε θεοῖς προσφέρειν κωλύειν, μόνον δὲ τὸν ἀναίμακτον βωμὸν προσκυνεῖν. Μηδὲ ὀμνύναι θεούς· ἀσκεῖν δὲ αὐτὸν δεῖν ἀξιόπιστον παρέχειν. Τούς τε πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους. ὡς ἐν κόσμῳ μὲν, ἀνατολὴν δύσεως· ἐν βίῳ δὲ, ἀρχὴν τελευτῆς· ἐν ζωῇ δὲ, γενέσιν φθορᾶς. καὶ θεοὺς μὲν δαιμόνων προτιμᾶν· ἥρωας δὲ, ἀνθρώπων· ἀνθρώπων δὲ μάλιστα, γονέας. ἀλλήλοις τε ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους, ἐχθροὺς μὴ ποιῆσαι· τοὺς δ' ἐχθροὺς, φίλους

ἐργάσασθαι. Ἰδιόντε μηδὲν ἡγεῖσθαι. Νόμῳ βοηθεῖν, Ἀνομίᾳ πολεμεῖν, Φυτὸν ἥμερον μήτε φθείρειν, μήτε σίνεσθαι· ἀλλὰ μηδὲ ζῶον, ὃ μὴ βλάπτει ἄνθρωπος. Αἰδῶ τε δίλαβειαν εἶναι, μήτε γέλωτι κατέχεσθαι, μήτε σκυθρωπάζειν. Φεύγειν σαρκῶν πλεονασμόν, Ὀδοιποιΐης αἴνεσιν τε ἐπίτασιν ποιεῖσθαι, Μνήμῃ ἀσκεῖν, Ἐν ὀργῇ μήτε τι λέγειν, μήτε πράσσειν, Μαντικὴν πᾶσαν τιμᾶν, Ὡδαῖς χρῆσθαι πρὸς λύραν, Τίμνῳ τε θεῶν τε καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον χάριν ἔχειν. τῆς δὲ κυάμων ἀπηγόρευεν ἔχεσθαι, διὰ τὸ πνευματώδεις ὄντας, μᾶλλον μετέχειν τῆς ψυχικῆς. καὶ ἄλλως, κοσμιωτέρας ἀπεργάζεσθαι τὰς γαστέρας, μὴ πολυφθορουμένας· καὶ διὰ τοῦτο καὶ τὰς καθύπνους φαντασίας, λείας καὶ ἀταράχους ἀποτελεῖν. φησὶ δὲ καὶ ὁ Ἀλέξανδρος ἐν ταῖς τῆς φιλοσόφων διαδοχαῖς, καὶ ταῦτα δόγματα ἐν Πυθαγορικοῖς ὑπομνήμασιν. Ἀρχὴν μὲν τῆς ἁπάντων, μονάδα· ἐκ δὲ τῆς μονάδος, ἀόριστον δυάδα, ὡς αὐ ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι· ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος, τοὺς ἀριθμούς· ἐκ δὲ τῶν ἀριθμῶν, τὰ σημεῖα· ἐκ δὲ τούτων, τὰς γραμμάς· ἐξ ὧν, τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ τῶν ἐπιπέδων τὰ στερεὰ σχήματα· ἐκ δὲ τούτων, τὰ στερεὰ σώματα, ὧν καὶ τὰ στοιχεῖα εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· ἃ μεταβάλλειν δὲ καὶ τρέπεσθαι δι' ὅλων, καὶ γίνεσθαι ἐξ αὐτῶν κόσμον ἔμψυχον, νοερὸν, σφαιροειδῆ, μέσην περιέχοντα τὴν γῆν, καὶ αὐτὴν σφαιροειδῆ, καὶ περιοικουμένην. εἶναι δὲ καὶ Ἀντίποδας· καὶ τὰ ἡμῖν κάτω, ἐκείνοις ἄνω. ἰσομοιράς τε εἶναι ἐν τῷ κόσμῳ, φῶς, καὶ σκότος, καὶ θερμὸν, καὶ ψυχρὸν, καὶ ξηρὸν, καὶ ὑγρόν· ὧν κατ' ἐπικράτειαν θέρος μὲν, θέρος γίνεσθαι· ψυχροῦ δὲ, χειμῶνα· ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιστα εἶναι τῶν ἐτῶν, ἔαρ τὸ μὲν θάλλον, ἔαρ ὑγιει-

ὑγιεινόν· τὸ δὲ φθίνον, φθινόπωρον νοσερόν. ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὸ ἕως, φθίνειν δὲ τὸ ἑσπέραν· ὅθεν καὶ νοσερωτέραν εἶναι. τόν τε περὶ τὸ γλῶ ἀέρα, ἄσειστον καὶ νοσερὸν καὶ τὰ ἐν αὐτῷ πάντα θνητά· τὸν δὲ ἀνωτάτω, ἀεικίνητόν τε εἶναι, καὶ καθαρὸν, καὶ ὑγιῆ· καὶ πάντα τὰ ἐν αὐτῷ, ἀθανάτα, καὶ διὰ τοῦτο θεῖα. ἥλιόν τε καὶ σελήνην, καὶ τοὺς ἄλλους ἀστέρας, εἶναι θεούς· ἐπικρατεῖ δὲ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ὄντι ζωῆς αἴτιον. τὴν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν, καὶ τὸ μετέχειν ἀνθρωπον θερμοῦ. διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν. εἱμαρμένην τε κατ' ὅλων εἶναι, καὶ τὰ κατὰ μέρος, αἰτίαν τῆς διοικήσεως. διήκειν τε ὑπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος τοῦ τε ψυχροῦ καὶ παχέος. καλεῖσθαι δὲ τὸν μὲν ἀέρα, ψυχρὸν αἰθέρα· τὴν δὲ θάλασσαν καὶ τὸ ὑγρὸν, παχὺν αἰθέρα. ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βάθη δύεσθαι· καὶ διὰ τοῦτο, ζωοποιεῖν πάντα. καὶ ζῆν μὲν πάντα ὅσα μετέχει τοῦ θερμοῦ· διὸ καὶ τὰ φυτὰ, ζῶα εἶναι. ψυχὴν μέντοι μὴ ἔχειν πάντα. εἶναι δὲ τὴν ψυχὴν, ἀποσπασμα αἰθέρος, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, τῷ συμμετέχειν ψυχροῦ αἰθέρος. διαφέρειν τε ψυχὴν, ζωῆς· ἀθανάτου τε εἶναι αὐτὴν, ἐπειδήπερ καὶ τὸ ἀφ' ἧς ἀπέσπασαι, ἀθανάτου ὄντος. τὰ δὲ ζῶα γεννᾶσθαι ἐξ ἀλλήλων, ἀπὸ σπερμάτων. τὴν δὲ ἐκ γῆς γένεσιν, ἀδύνατον ὑφίστασθαι. τὸ δὲ σπέρμα, εἶναι κατὰ τὸν ἐγκέφαλον ἐκλεχθὲν ἐν ἑαυτῷ θερμὸν ἀτμόν. ταύτην δὲ προσφερομένην τῇ μήτρᾳ, ἀπὸ μὲν τοῦ ἐγκεφάλου, ἰχῶρα καὶ ὑγρὸν καὶ αἷμα προΐεσθαι, ἐξ ὧν σάρκας τε καὶ νεῦρα, καὶ ὀστᾶ, καὶ τρίχας, καὶ τὸ ὅλον συνίστασθαι σῶμα· ἀπὸ δὲ τοῦ ἀτμοῦ, ψυχὴν καὶ αἴσθησιν. μορφοῦσθαι δὲ τὸ μὲν πρῶτον, περὶ ἐν ἡμέραις τεσσαράκοντα· καὶ δὲ

τὰς τῆς ἁρμονίας λόγους, ἐν ἑπτὰ, ἢ ἑνέα, ἢ δέκα τὸ πλεῖστον μησὶ τελεωθεὶν, ἀποκυίσκεσθαι τὸ βρέφος. ἔχειν δὲ ἐν αὐτῷ πάντας τοὺς λόγους τῆς ζωῆς, ὧν εἱρμοῦων, σωνέχεσθαι καὶ τοὺς τῆς ἁρμονίας λόγους, ἑκάσων ἐν πεπαγμένοις καιροῖς ἐνεγινομένων. τιμᾶσθαι τε αἰσθησιν κοινῶς, καὶ κατ' εἶδος τιμὴ ὅρασιν, ἀτμόν τινα εἶναι ἄγαν θερμόν. καὶ διὰ τοῦτο λέγεται δι' ἀέρος ὁρᾶν, καὶ δι' ὕδατος· ἀντερείδεσθαι γὰρ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ. ἐπεί τοι εἰ ψυχρὸς ἦν ὁ ἐν τοῖς ὄμμασιν ἀτμὸς, διεισήει ἂν πρὸς τὸν ὅμοιον ἀέρα· νυνὶ δὲ, ἔστιν ὃν οἷς ἡλίου πύλας καλεῖ τοὺς ὀφθαλμούς. περὶ δ' αὐτοῦ καὶ περὶ τῆς ἀκοῆς, καὶ τῶν λοιπῶν αἰσθήσεων δογματίζειν· τιμᾶσθαι δὲ ἀνθρώπου ψυχὴν διαιρεῖσθαι εἰς τε νοῦν, καὶ φρένας, καὶ θυμόν. νοῦν μὲν ἓν εἶναι καὶ θυμὸν, καὶ ἐν τοῖς ἄλλοις ζώοις· φρονίας δὲ, μόνον ἐν ἀνθρώπῳ· εἶναι δὲ τιμᾶσθαι ἀρχὰν τῆς ψυχῆς, ὑπὸ καρδίας μέχρι ἐγκεφάλου. καὶ τὸ μὲν ἐν τῇ καρδίᾳ μέρος αὐτῆς, ὑπάρχειν θυμόν· φρονίας δὲ καὶ νοῦν, τὰ ἐν τῷ ἐγκεφάλῳ. σαγήνας δὲ εἶναι τὰς αἰσθήσεις. καὶ τὸ μὲν φρόνιμον, ἀθάνατον· τὰ δὲ λοιπὰ, θνητά. βέφεσθαί τε τιμᾶσθαι ψυχὴν ὑπὸ τοῦ αἵματος. τοὺς δὲ λόγους, ψυχῆς αὐτόμους εἶναι. ἀόρατόν τε εἶναι αὐτιμᾶσθαι καὶ τοὺς λόγους· ἐπεὶ καὶ ὁ αἰθὴρ, ἀόρατος. δεσμά τε εἶναι τῆς ψυχῆς, τὰς φλέβας, καὶ τὰς ἀρτηρίας, καὶ τὰ νεῦρα. ὅταν δὲ ἰσχύσῃ, καὶ καθ' αὑτιμᾶσθαι γυμνωθῇ πρεμῇ, δεσμὰ γίνεσθαι αὐτῆς τοὺς λόγους καὶ τὰ ἔργα. ἐκπεφθεῖσαν δὲ αὐτιμᾶσθαι ὑπὸ γῆς, πλάζεσθαι ἐν τῷ ἀέρι, ὁμοίαν τῷ σώματι. τὸν δὲ Ἑρμῆν, ταμίαν εἶναι τῶν ψυχῶν· καὶ διὰ τοῦτο Πομπέα λέγεσθαι, καὶ Πυλαῖον, καὶ Χθόνιον, ἐπειδήπερ ἔστος εἰσπέμπει ὑπὸ τῶν σωμάτων τὰς ψυχὰς, ὑπό τε γῆς καὶ ἐκ θαλάττης. καὶ ἄγεσθαι μὲν τὰς καθαρὰς ὑπὸ τοῦ ὑ-

ψιστου·

ψισον· τὰς δὲ ἀκαθάρτους μήτε ἐκείναις πελάζειν, μήτε ἀλλήλαις, δεῖσθαι δ' ἐν ἀῤῥήκτοις δεσμοῖς ὑπὸ ἐλαννύων. εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ τούτους, δαίμονάς τε καὶ ἥρωας νομίζεσθαι· καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις τούς τε ὀνείρους, καὶ τὰ σημεῖα νόσους τε καὶ ὑγιείας· καὶ ἃ μόνον ἀνθρώποις, ἀλλὰ καὶ προβάτοις, καὶ τοῖς ἄλλοις κτήνεσιν. εἶς τε τούτους γίνεσθαι τάς τε καθαρμοὺς, καὶ ἀποτροπιασμοὺς, μαντικήν τε πᾶσαν, καὶ κληδόνας, καὶ τὰ ὅμοια. μέγιστον δέ φησι τῷ ἐν ἀνθρώποις εἶναι, τὴν ψυχὴν πείσαι ὅτι τὸ ἀγαθὸν, ἢ ὅτι τὸ κακόν. εὐδαιμονεῖν ἄνθρωπον ὅταν ἀγαθὴ ψυχὴ προσγένηται· μηδέποτε δὲ ἥδεσθαι, μηδὲ τὸν αὐτὸν ῥόον κρατεῖν. ὄρκιόν τε εἶναι τὸν δίκαιον· καὶ διὰ τοῦτο Δία ὅρκιον λέγεσθαι. τὴν τε ἀρετὴν, ἁρμονίαν εἶναι, καὶ τὴν ὑγίειαν, καὶ τὸ ἀγαθὸν ἅπαν, καὶ τὸν θεόν· διὸ καὶ κατ' ἁρμονίαν σωζεσθαι τὰ ὅλα. φιλίαν τε εἶναι, συναρμόσιον ἰσότητα. τιμὰς θείας δεῖν νομίζειν καὶ ἥρωσιν, μὴ τὰς ἴσας· ἄλλα θεοῖς ἀεὶ, μετ' εὐφημίας, λευχειμονοῦντας καὶ ἁγνεύοντας· ἥρωσι δὲ, ἀπὸ μέσης ἡμέρας. τὴν δὲ ἁγνείαν εἶναι διὰ καθαρμῶν, καὶ λουτρῶν, καὶ περιῤῥαντηρίων. καὶ διὰ τε αὐτὸν καθαρεύειν ἀπό τε κήδους, καὶ λέχους, καὶ μιάσματος παντὸς, καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν, καὶ τευθίδων, καὶ μελανούρων, καὶ ὠῶν, καὶ τῶν ὠοτόκων ζώων, καὶ κυάμων, καὶ τῶν ἄλλων, ὧν προκελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. φησὶ δὲ Ἀριστοτέλης ἐν τῷ Περὶ τῶν κυάμων, προαγγέλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι, ἢ ὅτι ᾅδου πύλαις· (ἀγόνατον γὰρ μόνον) ἢ ὅτι φθείρει, ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον, ἢ ὅτι ὀλιγαρχικόν· πληροῦνται γὰρ αὐτοῖς· τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι

μὴ ἀκριβάσως ἐθίειν· ἢ ὅτι ὅτε τελευτῇ τινός. Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς ἥρωσι, Μὴ γοῦν ἄττ' ἂν καπίσῃ τῆς ζαπέζης αὐτός· ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκῆς, ὅτι ἱερὸς τῆς Ζωοδότου καὶ ἱκέτης, (τὸ δὲ λευκὸν ἦν τῶν ἀγαθῶν) τῆς τε Μουσικῆς ἱερός· σημαίνει δὲ τὰς ὥρας. τῶν ἰχθύων μὴ ἅπτεσθαι, ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδὲ ἐλευθέροις καὶ δούλοις. καὶ τὸ μὲν λευκὸν, τῆς ἀγαθῆς φύσεως· τὸ δὲ μέλαν, τῆς κακῆς. ἄρτον μὴ καταγνύειν, (ὅτι ὅπερ οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ καὶ νυνὶ οἱ βάρβαροι·) μηδὲ διαιρεῖν, ὡς συνάγει αὐτούς. οἱ δὲ, πρὸς τὴν ἐν ᾅδου κρίσιν· οἱ δὲ, εἰς πόλεμον δειλίαν ποιεῖν· οἱ δὲ, ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν· τῶν δὲ ἐπιπέδων, κύκλον. γῆρας καὶ πᾶν τὸ μειούμενον, ὅμοιον· καὶ αὔξειν καὶ νέοσπα, ταυτόν. ὑγίειαν, τὴν τῆς εἰδοῦς δαμονίαν· νόσον, τὴν τούτου φθοράν. ὀμνύειν τοὺς ἁλῶντας, ὅτι δεῖ ὀμνυμένοις ὑπομένειν τὸ δίκαιον· οἱ γὰρ ἅλες πᾶν σώζουσιν ὅτι ἂν ὀμόσωσι. καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων, ὕδατος καὶ θαλάττης. καὶ ταῦτα μυθεύουσιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν ἀρρησίαι· καὶ τὰ ἐκείνων ἐχόμενα, ὁ Ἀριστοτέλης.

Τὴν δὲ σεμνοπρέπειαν τοῦ Πυθαγόρου καὶ Τίμων ἐν τοῖς Σίλλοις, δάκνων αὐτὸν, ὅμως ὑ παρέλιπεν, εἰπὼν ὅπως,

Πυθαγόρην τε γόητος ὑποκλίναντ', ὅτι δόξαν,
Θήρην ἐπ' ἀνθρώπων, σεμνηγορίης ὀαρισήν.

Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγονέναι, Ξενοφάνης ἐν Ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή,

Νῦν

Νωῦ ἔν τ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κἀλλιθον.

ὁ δὲ περὶ αὐτῆ φησιν, ὅπως ἔχει,

Καὶ ποτέ μιν συφελιζομένε σκύλακος παρεόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος.
Παῦσαι, μηδὲ ῥάπιζ'. ἐπεὶ φίλε ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης αἴων.

καὶ ταῦτα μὲν ὁ Ξενοφάνης. ἔσκωψε δὲ αὐτὸν Κρατῖνος μὲν ἐν Πυθαγοριζούσῃ· ἀλλὰ καὶ ἐν Ταραντίνοις φησὶν ὅπως,

Ἔθος ἔξιν αὐτοῖς, ἄν τιν' ἰδιώτην ποθὲν
Λάβωσιν εἰσελθόντα, διαπειρώμενοι
Τῆς τῶν λόγων ῥώμης, παράττειν καὶ κυκᾶν
Τοῖς αὐτιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι,
Τοῖς ὑποπλαίοις, τοῖς μεγέθεσιν, ῥεβυσικῶς.

Μνησίμαχος Ἀλκμαίωνι.

Ὡς Πυθαγορισῇ θύομεν τῇ Λοξίᾳ.
Ἔμψυχον ἕδεσθ' ἐθίοντες παντελῶς.

Ἀριστοφῶν Πυθαγορισῇ.

Ἔφητε καταβὰς εἰς δίαιταν τῶν κάτω,
Γνῶναι ἑκάστους· διαφέρειν δὲ πάμπολυ
Τὰς Πυθαγορικὰς τῶν νεκρῶν. μόνοισι γὰρ
Τούτοισι τὸν Πλούτωνα συσιτεῖν ἔφη,
Διὰ δυσέβειαν. δύχερῆ θεὸν λέγεις,
Εἰ τοῖς ῥύπᾳ μεσοῖσιν ἥδεται ξυών.

ἔτι ἐν τῷ αὐτῷ.

Ε᾽θίσι τε
Λάχανά τε, καὶ πίνουσιν ὅπη τύποις ὕδωρ.
Φθεῖρας δὲ καὶ ξίβωνα, τιμή τ᾽ ἀλουσίαν,
Οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

Ε᾽τελεύτα δ᾽ ὁ Πυθαγόρας τὸν βίον τὸν ξόπον· συμβαλόντος μὲν τῶν συνήθων ἐν τῇ Μύλωνος οἰκίᾳ τε, τε, ὑπό τινος τῶν μὴ ἀποδοχῆς ἀξιωθέντων, δόξαι φθονον ὑποπρηθῆναι τιμὴ οἰκίαν συμβῆ· τινὲς δ᾽ αὐτὸν τὸς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπιθέσιν ἀναλαβεμένους. τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα· καὶ πρός τινι χωρίῳ χειμάρρους πλήρει κυάμων, αὐτόθι ἔστη, εἰπών, ἁλῶναι μᾶλλον ἢ πατῆσαι· αἱρεθῆναι δὲ κρεῖττον, ἢ λαληῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ὑποσφαγῆναι. ἔπω δὲ καὶ τὸς πλείους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τετταράκοντα· διαφυγεῖν δ᾽ ὀλιγίσους, ὧν ἦν καὶ Ἀρχύτας ὁ Ταραντῖνος, καὶ Λύσις ὁ προειρημένος. φησὶ δὲ Δικαίαρχος τὸν Πυθαγόραν ὑποθανεῖν καταφυγόντα εἰς τὸ ἐν Μεταποντίῳ ἱερὸν τῶν Μουσῶν, τετταράκοντα ἡμέρας ἀσιτήσαντα. Ἡρακλείδης δέ φησιν ἐν τῇ τῶν Σατύρου βίων ἐπιτομῇ, μὴ τὸ θάψαι Φερεκύδην ἐν Δήλῳ ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ παιδαισίαν δ᾽ρόντα Μύλωνος τοῦ Κροτωνιάτου εἰς Μεταπόντιον ἐξελθεῖν, κἀκεῖ τὸν βίον καταστρέψαι ἀσιτίᾳ, μὴ βουλόμενον περαιτέρω ζῆν. Ἕρμιππος δέ φησι, πολεμούντων Ἀκραγαντίνων καὶ Συρακουσίων, ἐξελθεῖν μὲν τῶν συνήθων τὸν Πυθαγόραν, καὶ προσκῶαι τῶν Ἀκραγαντίνων. ξοπὸς δὲ χειμὼν ἐμπεσόντα αὐτὸν τὴν τῶν κυάμων χώραν, ὑπὸ τῶν Συρακουσίων αἱρεθῆναι· τὸς τε λοιπὸς, ὄντας πρὸς τοὺς πεντήκοντα, ἐν Τάραντι καταπαυθῆναι, θέλοντας ἀντιπολιτεύεσθαι τοῖς

προε-

πρεσβῶσι. Καὶ ἄλλοτι περὶ Πυθαγόρου φησὶν ὁ Ἕρμιππος· λέγει γὰρ ὡς χθόμβρος ἐν Γαπλίᾳ, καὶ γῆς οἰκίσκον ποιήσαι, καὶ τῇ μητρὶ ἐντείλασθαι τὰ γινόμενα εἰς δέλτον γράφειν, σημειωμένην καὶ τὸν χρόνον· ἔπειτα καθίσαι αὐτὴν ἐς τ' αὖ ἀνέλθῃ· τοῦτο πεῖσαι τὴν μητέρα. τὸν δὲ Πυθαγόραν μὴ χρόνον ἀνελθεῖν ἱκανὸν καὶ κατασκελετόμβρον. εἰσελθόντα τε εἰς τὴν ἐκκλησίαν, φάσκειν ὡς ἀφῖκται ἐξ ᾅδου· καὶ δὴ καὶ ἀναγίνωσκειν αὐτοῖς τὰ συμβεβηκότα. οἱ δὲ, σαινόμβροι τοῖς λεγομένοις, ἐδάκρυόν τε καὶ ὤμοζον, καὶ θεῖόν τινα εἶναι τὸν Πυθαγόραν· ὥστε καὶ τὰς γυναῖκας αὐτῷ ἀθροῦσαι, ὡς καὶ μαθησομβρίας τι τῶν αὐτοῦ· τὰς καὶ Πυθαγορικὰς κληθῆναι. καὶ ταῦτα μὲν Ἕρμιππος.

Ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνὴ, Θεανὼ ὄνομα, Βρωτίνι τοῦ Κροτωνιάτου θυγάτηρ. οἱ δὲ, γυναῖκα μὲν εἶναι Βρωτίνι, μαθήτριαν δὲ Πυθαγόρου. Ἦν αὐτῷ καὶ θυγάτηρ Δαμώ, ὥς φησι Λύσις ἐν ἐπιστολῇ τῇ πρὸς Ἵππαρχον, περὶ Πυθαγόρου λέγων ἔπος, Λέγουσι δὴ πολλοί τοι καὶ δαμοσίᾳ φιλοσοφεῖν. ὅπερ ἀπαξιῶν Πυθαγόρας, ὅς γε τὰ Δαμοῦ, τὰ ἑαυτοῦ θυγατρὶ περιπαθήμενος τὰ ὑπομνήματα, ἐκέλευσε μηδενὶ τῶν ἐκτὸς τῆς οἰκίας παραδιδόμεν. ἃ δὲ, δυναμένη πολλῶν χρημάτων ἀποδίδοσθαι πρὸς λόγου, οὐκ ἐβουλήθη. πολλὰν γὰρ καὶ τὰς τῶ παρὸς ἐπισκήψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας εἶναι. καὶ ταῦτα μὲν. ἦν καὶ Τηλαυγὴς υἱὸς αὐτοῦ, ὃς καὶ διεδέξατο τὸν πατέρα, καὶ (κατά τινας) Ἐμπεδοκλέους καθηγήσατο. Ἱππόβοτός γε τοι φησὶ λέγειν Ἐμπεδοκλέα Τηλαυγεῖ, Κλυτὲ κοῦρε Θεανοῦς Πυθαγορεώ τε. σύγγραμμα δὲ φέρεται τοῦ Τηλαυγοῦς ἕδε· τῆς δὲ μητρὸς αὐτοῦ Θεανοῦς τινά. ἀλλὰ καί φασιν αὐτὴν ἐρωτηθεῖσαν, ποσσάκι γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει; φάναι,

Ἀπὸ

Ἀπὸ μεν τε ἰδίε, φθεγμα· ὑπὸ δε τε ἀκροάε, ἐδέποτε. τῇ δε πρὸς τὸν ἴδιον ἄνδρα μελλούσῃ πορεύεσθαι, παρήνει, ἅμα τοῖς ἐνδύμασι καὶ τῷ αἰχμάλωτῳ ὑποτίθεσθαι, ἀνισαμβάλλω τε πάλιν ἅμα αὐτοῖσιν ἀναλαμβάνειν, ἐρωτηθεῖσα, Ποῖα; ἔφη, Ταῦτα δι' ἃ γυνὴ κέκλημαι.

Ὁ γὰρ Πυθαγόρας, ὡς μὲν Ἡρακλείδης φησὶν ὁ τε Σαραπίωνος, ὀγδοηκοντούτης ἐτελεύτα, καὶ τῷ ἰδίαι ὑποχαρῷ τὴν ἡλικιῶν· ὡς δε οἱ πλείες, ἐπι βιὺς ἐνενηκοντα. καὶ ἡμῶν ὄζιν εἰς αὐτὸν πεπαιγμένα ἅπως ἔχοντα,

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς.
Τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρα;
Ἀλλ' ὅταν ἐψηθῇ τι, καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
Δὴ τότε καὶ ψυχῶν ἐκ ἔχον ἐθίσμεν.

Ἄλλο

Ἦν ἄρα Πυθαγόρης τοῖος σοφὸς, ὥστε μὴ αὐτὸς
Μὴ ψαύειν κρειῶν, καὶ λέγειν ὡς ἄδικον·
Σιτίζειν δ' ἄλλες, ἄγαμαι σοφόν. αὐτὸς ἔφα μὴ
Οὐκ ἀδικεῖν, ἄλλες δ' αὐτὸς ἔα γ' ἀδικεῖν.

Καὶ ἄλλο,

Τὰς φρενὰς ἰῶ ἐθέλης τὰς Πυθαγόρεω νοῆσαι;
Ἀσπίδος Εὐφόρβε βλέφον ἐς ὀμφαλόον.
Φησὶ γὰρ, Οὗτος ἐγὼν ἰμὶ προβροπος· ὃς δ' ὅτε καὶ ἰῶ.
Φάσκεν ὅτ' ἰῶ δίπτε, καὶ αὖ ἔλω ἅτε ἦν.

Καὶ ἄλλο, ὡς ἐτελεύτα.

Αἰ,

Αἲ, ὦ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη;
Καὶ θαίνε φοιτητᾶις ἄμμιγα τοῖς ἰδίοις.
Χωρίον ὦ κυάμων· ἵνα μὴ τέτρας δέ πατήσῃ,
Ἐξ Ἀκραγαντίνων κάτθανε ἐνὶ τριόδῳ.

Ἤκμαζε δὲ κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα, καὶ αὐτῷ τὸ σύνημα διέμεινε μέχρι ἡλικιῶν ἐννεακαιδέκα. τελευταῖοι δὲ ἐγένοντο τῆς Πυθαγορείων ἕς καὶ Ἀρισόξενος εἰδε, Ξενοφιλός τε ὁ Χαλκιδεὺς, ἀπὸ Θράκης, καὶ Φαίντων ὁ Φλιάσιος, καὶ Ἐχεκράτης, καὶ Διοκλῆς, καὶ Πολύμνασος, Φλιάσιοι καὶ αὐτοί. ἦσαν δὲ ἀκροαταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων.

Γεγόνασι δὲ Πυθαγόραι τέτταρες περὶ τοὺς αὐτοὺς χρόνους, ἀπολὺ ἀπ' ἀλλήλων ἀπέχοντες· εἷς μὲν Κροτωνιάτης, τυραννικὸς ἄνθρωπος· ἕτερος Φλιάσιος, σωματασκητὴς, ἀλείπτης, ὡς φασί τινες· ἕτερος, Ζακυνθίος, ἃ φασιν εἶναι τὰ πρῶτα τῆς φιλοσοφίας, αὐτῶν διδάσκαλος· ἐφ' ἃ καὶ τὸ Αὐτὸς ἔφα, παροιμιακὸν εἰς τὸν βίον ἦλθεν. οἱ δὲ καὶ ἄλλον ἀνδριαντοποιὸν Ῥηγῖνον γεγονέναι φασὶ Πυθαγόραν, πρῶτον δοκοῦντα ῥυθμῷ καὶ συμμετρίας ἐσοχάσθαι· καὶ ἄλλον, ἀνδριαντοποιὸν Σάμιον· καὶ ἕτερον, ῥήτορα μοχθηρόν· καὶ ἰατρὸν ἄλλον, τὰ περὶ κήλης γεγραφότα, καί τινα περὶ Ὁμήρου συντεταγμένον· καὶ ἕτερον, Δωρικὰ πεπραγματευμένον, ὡς Διονύσιος ἱστορεῖ· Ἐρατοσθένης δέ φησι (καθὸ καὶ Φαβωρῖνος ἐν τῇ ἡ. παντοδαπῆς ἱστορίας φέρεται) τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα, ὅτι τῆς ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμπιάδος, κομήτην καὶ ἀλαργίδα φορέσαντα. ἐκκριθῆναί τε ἐκ τῶν παίδων, καὶ κλαυσθέντα, αὐτίκα προσβῆναι τοὺς ἄνδρας, καὶ νικῆσαι. ἁπλοῦν δὲ τύπῳ καὶ ἐπίγραμμα, ὅπερ ἐποίησε Θεαίτητος,

Πυ-

Πυθαγόρῃ, τινὰ Πυθαγόρῃ, ὦ ξεῖνε, κομήτῃ;
Αἰδόμενον πύκτῃ εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι. τὰ δ' ἔργα με εἰ τιν' ἔροιο
Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

τοῦτον ὁ Φαβωρῖνός φησιν ὅροις χρήσασθαι ἀπὸ τῆς μαθηματικῆς ὕλης, ὅτι πλέον δὲ Σωκράτει, καὶ τοῖς ἐκείνῳ πλησιάσασιν· καὶ μηδ' ταῦτα, Ἀριστοτέλει, καὶ τοῖς Στωϊκοῖς. ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον, καὶ τὴν γῆν σφαιροειδῆ· ὡς δὲ Θεόφραστος, Παρμενίδην· ὡς δὲ Ζήνων Ἡσίοδον. τοῦτῳ φασὶν αὐτιπαρατάσσεσθαι Κύδωνα, καθάπερ Ἀντίδοκον Σωκράτει. ὅτι δὲ τῷ ἀθλητῇ Πυθαγόρᾳ καὶ τοῦτο ἐλέγετο τὸ ὑπόγραμμα,

Οὗτος πύκτεύσων ἐς Ὀλύμπια παισὶν ἀνῆβος
Ἦλυθε Πυθαγόρας ὁ Κράτεω Σάμιος.

Ὁ δὲ φιλόσοφος καὶ ὧδε ἐπέσειλε.

Πυθαγόρας Ἀναξιμένει.

Καὶ σύ, ὦ λῷστε, εἰ μηδὲν ἀμείνων ἦς Πυθαγόρεω χρεὼ τε καὶ κλέος, μεταναστὰς αὖ ᾤχεο ἐκ Μιλήτου· νῦν δὲ κατερύκει σε ἡ παρόδου εὐκλεια· καὶ ἐμέ τε αὖ κατέρυκεν Ἀναξιμένει ἐοικότα. εἰ δ' ὑμεῖς οἱ ὀνῆσοι τὰς πόλεις ἐκλείψετε, ὑπὸ μὴ αὐτέων ὁ κόσμος αἱρεθήσεται, ὅπκινδυνώτερα δ' αὐτῆσι τὰ ἐκ Μήδων. ἔτε δὲ αἰεὶ καλὸν αἰθερολογεῖν, μελεδωνόντε εἶναι τῇ παρίδι κάλλιον. καὶ ἐγὼ δὲ ἃ πάντα θεοὶ τοῖς ἐμεωυτοῦ μύθοις, ἀλλὰ καὶ ἐν πολέμοις ἐς ἀφέρουσιν εἰς ἀλκήν. Ἴτε λιῶται.

Ἔπει-

Ἐπειδὴ δὲ περὶ Πυθαγόρᾳ διεληλύθαμεν, ῥητέον περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν· μεθ' ὃς περὶ τῶν ἀποράδων κατά τινας φερομένων· ἔπειθ' ὅπως ἐξάψομεν τῆς διαδοχῆς τῶν ἀξίων λόγου, ἕως Ἐπικούρου, καθὰ καὶ προειρήκαμεν. περὶ μὲν οὖν Θαλοῦ καὶ Πλάτωνος διειλέγμεθα. λεκτέον δὲ νῦν περὶ Ἐμπεδοκλέους πρῶτον· καὶ γάρ τινας, Πυθαγόρου δόξαντας.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΕΜΠΕΔΟΚΛΗΣ.

ΕΜπεδοκλῆς, ὡς φησιν Ἱππόβοτος, Μέτωνος μὲν υἱὸς τοῦ Ἐμπεδοκλέους, Ἀκραγαντῖνος. τὸ δ' αὐτὸ καὶ Τίμαιος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν ἱστοριῶν, ὀπάσημον ἄνδρα γεγονέναι τὸν Ἐμπεδοκλέα, τὸν πάππον τοῦ ποιητοῦ· ἀλλὰ καὶ Ἕρμιππος τὰ αὐτὰ τούτῳ φησίν. ὁμοίως καὶ Ἡρακλείδης ἐν τῷ περὶ νόσων, ὅτι λαμπρᾶς μὲν οἰκίας ἱπποξοφικότος τὸν πάππον. λέγει δὲ καὶ Ἑρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις, τὴν πρώτην, καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα· μάρτυρει χώμενος Ἀελιοτέλει. Ἀπολλόδωρος δὲ ὁ γραμματικὸς ἐν τοῖς χρονικοῖς φησιν, ὡς μὲν Μέτωνος μὲν υἱός. εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους Γλαῦκος ἐλθεῖν φασιν. εἶθ' ὑποβὰς, Οἱ δ' ἰσορρέποντες ὡς οἴκοθεν πεφυγὼς εἰς τὰς Συρακούσας, μετ' ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι δοκοῦσιν. ἢ γὰρ ἐκ τοῦ, ἢ παντελῶς ὑπεργεγηρακώς· ὅπερ οὐ φαίνεται. Ἀελιοτέλης γὰρ αὐτὸν, ὅτι περ Ἡρά-

κλειτ-

ἀλειτον, ἐξήκοντα ἐτῶν φησι τετελευτηκέναι. ὁ δὲ πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς κέλητι, τότε πάντως ἦν ὁμώνυμος, ὥς θ' ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. Σάτυρος δὲ ἐν τοῖς βίοις φησίν, ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον. ὅτε τε τῆς αὐτῆς Ὀλυμπιάδος τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι· τὸν δὲ υἱὸν αὐτοῦ, πάλη, ἢ (ὡς Ἡρακλείδης ἐν τῇ ἐπιτομῇ) δρόμῳ. ἐγὼ δὲ εὗρον ἐν τοῖς ὑπομνήμασι Φαβωρίνου, ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων· καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαυγης δὲ ὁ Πυθαγόρου παῖς, ἐν τῇ πρὸς Φιλόλαον ἐπιστολῇ φησὶ τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. ὅτι δὲ καὶ Ἀκραγαντῖνος ἐκ Σικελίας, αὐτὸς ἐναρχόμενος τῷ καθαρμῶν φησιν,

Ὦ φίλοι οἳ μέγα ἄστυ κατ' ἰόν Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως.

καὶ τὰ μὲν περὶ τὸ ἦθος αὐτοῦ τάδε.

Ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διά τῆς ἐνάτης ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπείᾳ τότε, (καθά καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν· μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα,

Ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
Ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον·

οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα. φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διά τῆς ποιήσεως ἐδημοσίευσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. τὸ δ' αὐτὸ καὶ Πλάτωνα φασὶ πα-

παθεῖν· καὶ διὰ τοῦτον κωλυθῆναι. τίνος μέντοι γε αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἴρηκεν. τοῦ δὲ προφερομένου πρὸς Τηλαυγῆ ὑποκολῶ, ὅτι μετέσχον Ἱππάσου καὶ Βροντίνου, μὴ εἶναι ἀξιόπιστον· ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι, καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ διὰ τοῦτο ἐν ἔπεσι τὸν Περὶ φύσεως λόγον ἐξενεγκεῖν. Ἕρμιππος δέ, ὁ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν· ᾧ καὶ συνδιατρῖψαι, καὶ μιμήσασθαι τοῦτο ἐποποιΐαν. ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῷ φυσικῷ φησι, κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου· εἶθ' ὕστερον ἀποχωρῆσαι. καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι· τὸν δὲ, Ἀναξαγόρου ἀκοῦσαι καὶ Πυθαγόρου. καὶ τὸ μὲν τοῦ σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ χήματος, τὸ δὲ τοῦ φυσιολογίαν.

Ἀριστοτέλης δὲ ἐν τῷ σοφιστῇ φησι, πρῶτον Ἐμπεδοκλέα ῥητορικὸν εὑρεῖν· Ζήνωνα δὲ, διαλεκτικόν. ἐν δὲ τῷ περὶ ποιητῶν φησιν, ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς, καὶ δεινὸς περὶ τοῦτο φράσιν γέγονε, μεταφορικός τε ὢν, καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικοῦ ἐπιτηδεύμασι χρώμενος. καὶ δὴ ὅτι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα, τοῦτο τε τὸ Ξέρξου διάβασιν, καὶ προοίμιον εἰς Ἀπόλλωνα, τοῦθ' ὕστερον κατέκαυσεν ἀδελφὴ τις αὐτοῦ ἢ θυγάτηρ, (ὥς φησιν Ἱερώνυμος) τὸ μὲν προοίμιον, ἄκυρα· τὰ δὲ Περσικὰ βελτιθέντα, καὶ τὸ ἀτελέστατα εἶναι. καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι, καὶ πολιτικά. Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος, ἑτέρους φησὶν εἶναι τοὺς τραγῳδίας· Ἱερώνυμος δὲ φησιν αὐτὸν ζῆσαι καὶ τετταράκοντα ἐντετυχηκέναι. Νεάνθης δὲ, νέον ὄντα γεγραφέναι τὰς τραγῳδίας, καὶ αὐτὸν ἔπειτα αὐταῖς ἐντετυχηκέναι. φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις, ὅτι καὶ ἰατρὸς ὢν καὶ ῥή-

ῥήτωρ ἄριστος. Γοργίαν γὰρ τὸν Λεοντῖνον αὐτῷ χρῆσθαι μαθητῇ, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ, καὶ τέχνην ὑπολελοιπότα· ὃν φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς, ἑπτὰ καὶ πρὸς τοῖς ἑκατὸν ἔτι βιῶναι.

Τοῦτον φησὶν ὁ Σάτυρος λέγειν, ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν ἀπὸ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησι,

Φάρμακα δ' ὅσα γεγάασι κακῶν, καὶ γήραος ἄλκαρ,
Πεύσῃ· ἐπεὶ μόνῳ σοὶ ἐγὼ κραναίω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μενέος, οἵτ' ἐπὶ γαῖαν
Ὀρνύμενοι πνοιῇσι καταφθινύθουσιν ἄρουρας.
Καὶ πάλιν ἢν κ' ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις.
Θήσεις δὲ ἐξ ὄμβροιο κελαινὴν καίριον αὐχμὸν
Ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
Ῥεύματα δενδρεόθρεπτα τὰ δ' ἐν θέρει ἀήσαντα.
Ἄξεις δ' εἰς ἀΐδαο καταφθιμένοιο μέθρος ἀνδρός.

Φησὶ δὲ καὶ Τίμαιος ἐν τῇ ιή, καὶ πολλὰς τόπους πεθαυμάσθαι τὸν ἄνδρα. καὶ γὰρ ἐπισίων ποτὲ σφοδρῶς πνευσάντων, ὥστε τὰς καρπὰς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι, καὶ ἀσκοὺς ποιῆσαι, πρὸς τὰς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε, πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ, Κωλυσανέμαν κληθῆναι.

Ἡρακλείδης δὲ ἐν τῷ περὶ νόσων, φησὶ καὶ Παυσανίαν ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνευν. ἦν δ' ὁ Παυσανίας, (ὡς φησιν Ἀλέξιππος καὶ Σάτυρος) ἐρώμενος αὐτοῦ, ᾧ δὴ καὶ τὰ περὶ φύσεως προσπεφώνηκεν ἔπος,

Παυ-

Παυσανία, σὺ δὲ κλῦθι δαίφρονος Ἀγχίτεω υἱέ.

ἀλλὰ καὶ ὑπόγραμμα εἰς αὐτὸν ἐποίησε,

Παυσανίην ἱερὸν ἐπώνυμον Ἀγχίτεω υἱὸν,
Φῶτ' Ἀσκληπιάδην παῖς ἔθρεψε Γέλα,
Ὃς πολλὰς μογεροῖσι μαραινομένοις καμάτοισι
Φῶτας ἀπέσρεψεν Φερσεφόνης ἀδύτων.

τὴν γῆν ἄπνουν ὁ Ἡράκλειτος φησὶ τοιοῦτόν τι εἶναι, ὡς τελέκοντα ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσηπτον τὸ σῶμα· ὅθεν καὶ εἶπεν αὐτὸν καὶ ἰατρὸν καὶ μάντιν, λαμβάνων ἅμα καὶ ἀπὸ τούτων τὴν σίχαν.

Ὦ φίλοι οἳ μέγα ἄστυ κατ' ἔξοχα Ἀκράγαντος
Ναίετ' ἄκρῃ πολέος, ἀγαθῶν μελεδήμονες ἔργων,
Χαίρετ' ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεύμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
Ταινίαις τε θάλησπτος στέφεσίν τε θαλείης.
Τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι, οἱ δ' ἅμ' ἕπονται
Μύριοι, ἐρήσιοντες ὅπῃ πρὸς κέρδος ἀταρπός.
Οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δέ τι νόσων
Παντοίων ἐπύθοντο κλυεῖν δυσηκέα βάξιν.

Μέγαν δὲ τὸν Ἀκράγαντα εἰπεῖν φησι Ποταμίλλας, ἐπεὶ μυριάδες αὐτὸν κατῴκουν ὀγδοήκοντα. ὅθεν τὸν Ἐμπεδοκλέα εἰπεῖν· ξυφώνων αὐτῶν, Ἀκραγαντῖνοι ξυφῶσι μὲν, ὡς αὔριον ἀποθανούμενοι· οἰκίας δὲ κατασκευάζονται, ὡς πάντα τὸν χρόνον βιωσόμενοι.

Αὐτὸς δὲ τέτες τὰς καθάρσεις ἐν Ὀλυμπίᾳ ῥαψῳδήσαι

σαι λέγεται Κλεομβρότου τὸν ῥαψῳδόν. ὡς καὶ Φαβωρῖνος ἐν Ὑπομνημονεύμασι.

Φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι, καὶ πάσης ἀρχῆς ἀλόγιον, εἴγε τὴν βασιλείαν αὐτῷ διδομένην παρητήσατο, (καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτὸν λέγει) τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας. τὰ δ' αὐτὰ καὶ Τίμαιος εἴρηκε, τὴν αἰτίαν ἅμα προστιθέμενος τὸ δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπάτινος τῆς ἀρχόντων, καὶ προβαίνοντος τοῦ πότου, ὡς τὸ δεῖπνον ἀνεφέρετο, τῆς δ' ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰσφέρειν. ὁ δὲ κεκλικὼς ἀπαμύνειν ἔφη τὸν τῆς βελῆς ὑπηρέτην. ὡς δὲ παρεῤῥύη, ἐξυβρίσθη συμποσίαρχος, τοῦ κεκλικότος δηλονότι καταστήσαντος, ὃς ὑπερῥάφετο τυραννίδος ἀρχήν. ἐκέλευσε γὰρ ἢ πίνειν, ἢ καταχεῖσθαι τῆς κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰσαγαγὼν εἰς δικαστήριον, ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλίτορα καὶ τὸν συμποσίαρχον. ἀρχὴ μὲν οὖν αὕτη τῆς πολιτείας ἦδε. πάλιν δὲ Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος διὰ τῆς βελῆς εἰς καπασκευὴν παῤῥησιάσματος, διὰ τὸν ἐν τοῖς ἰαμβοῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς, καί τοι καὶ τοιοῦτον ἐρωτήσας. τί δὲ ὑπερέχομεν ἐλεγεῖον, ἢ τοῦτο;

Ἄκρον ἰαμβὸν Ἄκρων' Ἀκραγαντῖνον παῤῥησίᾳ
Κρύπτει κρημνὸς ἄκρος παῤῥησίας ἀκροτάτης.

τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται,

Ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

τοῦτον τινὲς Σιμωνίδου φασὶν εἶναι. ὕστερον δ' ὁ Ἐμπεδο-

δοκλῆς καὶ τὸ τῶν χιλίων ἄθροισμα κατέλυσε σωφρόνως ἐπὶ ἔτη ξία. ὥστε οὐ μόνον ἦν τῶν πλησίον, ἀλλὰ καὶ τῶν τὰ δημοτικὰ φρονούντων. ὁ γέτοι Τίμαιος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ, (πολλάκις γὰρ αὐτῷ μνημονεύει) φησὶν ἐναντίαν τῇ πολιτείᾳ ἐσχηκέναι γνώμην αὐτὸν φαίνεσθαι. ὅπου δὲ ἀλαζόνα καὶ φίλαυτον ἐν τῇ ποιήσει ἴδοι τις αὐ· φησὶ γάρ,

Χαίρετ', ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεύμαι.

καὶ τὰ ἑξῆς. καθ' ὃν δὲ χρόνον ἐπεδήμει Ὀλυμπιάσιν, ὑπεροφῆς ἠξιοῦτο πλείονος, ὥσε μηδενὸς ἑτέρου μνείαν γίνεσθαι ἐν ταῖς ὁμιλίαις τοσαύτην ὅσην Ἐμπεδοκλέους.

Τέρον μὲν τοι τὸ Ἀκράγαντος οἰκιζομένου, αὐτέσησαν αὐτῷ τῇ καθόδῳ οἱ τῶν ἐχθρῶν ἀπόγονοι. διόπερ εἰς Πελοπόνησον ἀποχωρήσας ἐτελεύτησεν. ὁ παρῆκε δὲ οὐδὲ τοῦτον ὁ Τίμων, ἀλλ' ὥσ' αὐτὸς καθάπτεται, λέγων,

- - - - καὶ Ἐμπεδοκλῆς ἀγοραίων
Κιλλικὸς ἐπέων· ὅσα δ' ἔθσνε, πασάδε εἶλεν
Ἄρχων, ὃς διέθηκ' ἀρχὰς ἐπιδευέας ἄλλων.

Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστιν ὁ λόγος. Ἡρακλείδης μὲν γὰρ τὰ περὶ τῆς ἄφνω διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποθεῶσαι τὸν νεκρὸν ἄνθρωπον ζώσαν, φησὶν ἔτι θυσίαν συντελεῖν πρὸς τῷ Πεισιάνακτος ἄλσει. συνεκέκλιντο δὲ τῶν φίλων τινὲς, ἐν οἷς καὶ Παυσανίας. εἶτα μετὰ τινὰ διωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις, ὡς ἄλσει συνηρεφέσιν, οἱ δ' ὅπη βούλοιντο· αὐτὸς δ' ἔμεινεν

ὅπῃ τὸ τόπος ἐφ' ὅπερ κατεκέκλιτο. ὡς δὲ ἡμέρας γενομένης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος, ζητουμένου δὲ, καὶ τῶν οἰκετῶν ἀνακρινομένων, καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα· εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς ἀφνίον, καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῇ δὲ ὑστεραίᾳ τῶν χωμικῶν ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψε τινὰς ζητήσοντας. ὕστερον δὲ ἐκωλύθη πολυπραγμονεῖν, φάσκων δίκης ἄξια συμβεβηκέναι, καὶ θύειν αὐτῷ δεῖν, καθάπερ εἰ γεγονότι θεῷ. Ἕρμιππος δέ φησι Παυσανίαν Ἀκραγαντίνῳ, ἀπηλπισμένῳ ὑπὸ τῶν ἰατρῶν, θεραπεῦσαι αὐτὸν, καὶ δεῖν τοῦτο τοὺς θυσίαν ὑπατελεῖν, τοὺς δὲ κληθέντας εἶναι πρὸς τοῖς ὀγδοήκοντα. Ἱππόβοτος δ' φησὶν ἐξαναστάντα αὐτὸν ὠδύκησαι ὡς ὑπὸ τοῦ Ἀϊτίου· εἶτα προσχρήσαντα, ὑπὸ τοῦ κρατῆρος τοῦ πυρὸς ἁλέσθαι καὶ ἀφανισθῆναι· βελόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός. ὕστερον δὲ γνωσθῆναι, ἀπαρρίπτοντος αὐτοῦ μιᾶς τῶν κρηπίδων. χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς ταῦτα ὁ Παυσανίας αὐτέλεγε. Διόδωρος δὲ ὁ Ἐφέσιος περὶ Ἀναξιμάνδρου γράφων, φησὶν ὅτι τοῦτον ἐζηλώκει, μαγικὸν ἀσκῶν τύφον, καὶ σεμνὸν ἀναλαβὼν ἐσθῆτα. τοῖς δὲ Σελινουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ Ὑλλικοῦ ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι, καὶ τὰς γυναῖκας δυσκοεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα, καὶ δύο τινὰς ποταμοὺς τοῦ σείγους ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκαῖναι τὰ ῥεύματα. ἅπω δὴ λήξαντος τοῦ λοιμοῦ, καὶ τῶν Σελινουντίων ἀγομένων ποτὲ παρὰ τὸν ποταμὸν, ἐπαναλῦσαι τὸν Ἐμπεδοκλέα. τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθάπερ θεῷ. ταύτην δὲ θέλοντα βεβαιῶσαι τὴν διάληψιν, εἰς τὸ πῦρ ἐναλέ-

λέξαι. τούτοις δ' ἀναιτιᾶται Τίμαιος, ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον, καὶ τὸ σιώλου ἐκ ἐπανῆλθεν· ὅθεν αὐτῷ καὶ τοῦ τελευτοῦ ἄδηλον εἶναι. πρὸς δὲ τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τοῦ ἀντίῤῥησιν ἐν τῇ τετάρτῃ. Συρακούσιόν τε δὴ εἶναι τὸν Πεισιάνακτα, καὶ ἀγρὸν ἐκ ἔχειν ἐν Ἀκράγαντι. Παυσανίαν τε μνημεῖον πεποιηκέναι τῷ φίλῳ, πιστὸν δοκοῦντος λόγος, ἢ ἀγαλματίου τινὸς, ἢ σηκὸν οἷα θεῷ. καὶ δὴ πλούσιον εἶναι. Πῶς οὖν, φησὶν, εἰς τὰς κραπῖδας ἤλατο, ὢν σωφρονῶν ὄντων καὶ μνείαν ποτὲ ἐποιήσατο; τετελεύτηκεν ἤδη ἐν Πελοποννήσῳ. ἥδιον δὲ προσδόξων τάφον αὐτῷ μὴ φαίνεσθαι· μηδὲ γὰρ ἄλλων πολλῶν. τοιαῦτα τινὰ εἰπὼν ὁ Τίμαιος, ὑπφέρει, Ἀλλὰ δοκεῖ πανοῦργος εἶναι Ἡρακλείδης τοιοῦτος φιλοδοξολόγος, καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον λέγων. Ἱππόβοτος δέ φησιν, ὅτι ἀνδρὸς ἐγκεκαλυμμένου Ἐμπεδοκλέους ἔκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστερον δὲ πρὸ τῶν Ῥωμαίων βουλευτηρίου, ἀκάλυφος, δηλονότι μεταθέντων αὐτὸν ἐκεῖ Ῥωμαίων. γραπταὶ μὲν γάρ εἰσί τινες, καὶ νεωστὶ φέρονται. Νεάνθης δ' ὁ Κυζικηνὸς, ὁ καὶ περὶ τῶν Πυθαγορικῶν εἰπών, φησὶ Μέτωνος τελευτήσαντος τυραννίδος ἀρχὴν ἐπιφύεσθαι. εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῆς σάσεως, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν. ἔτι τε πολλοὺς τῆς πολιτείας ἀφορμὰς ὑπαρχέσας αὐτὸν προικίσαι, δέξασθαι τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν, καὶ στέφανον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ· ἔτι τε ἐμβάδας χαλκᾶς, καὶ σῆμα Δελφικόν. κόμην τε ἰῶν αὐτῷ βαθεῖαν, καὶ παῖδας ἀκόλουθον, καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' οἷς ἔπραττεν ἦν. τοιοῦτος δὴ προῆλθε, καὶ πολιτῶν εὐτυχούντων, καὶ τοῦτο ἀξιωσάντων

οἱονεὶ βασιλείας τινὸς ἀφάσημον. ὕστερον δέ, ἀφ' ἵππου παράγυιον πορευόμενον ἐφ' ἅμαξης ὡς εἰς Μεγαλώπολιν, πεσεῖν, καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου, τελευτῆσαι ἐτῶν ζ' καὶ ὀ. εἶναι δ' αὐτὸν καὶ τάφον ἐν Μεγάροις. ἄλλοι δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται. φησὶ γὰρ ἐκεῖνος ξ' ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δέ, ϟ' καὶ ρ'. ἤκμασε δὲ κατὰ τὴν δ' καὶ π' Ὀλυμπιάδα. Δημήτριος δὲ ὁ Τροιζήνιος ἐν τῇ τῶν σοφιστῶν βιβλίῳ φησὶν αὐτὸν, καθ' Ὅμηρον,

Ἀφάμαρτον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
Αὐχένι θέσκρεμάσαι, ψυχὴν δ' Ἀϊδόσδε κατελθεῖν.

ἐν δὲ τῇ προειρημένῃ Τηλαυγὲς ἐπιστολίῳ, λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθήσαντα τελευτῆσαι. καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα. φέρεται δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἐν τῷ παμμέτρῳ σκωπτικὸν μέν, τοῦτον δ' ἔχον τὸν τρόπον,

Καί σύποτ' Ἐμπεδόκλεις διερῇ φλογὶ σῶμα καθήρας,
Πῦρ ἐπὶ κρητήρων ἔκπιες ἀθανάτων.
Οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες εἰς ῥόον Αἴτνης,
Ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

Καὶ ἄλλο,

Ναὶ μὰν Ἐμπεδοκλῆα θανεῖν λόγος, ὥς ποθ' ἅμάξης
Ἔκπεσε, καὶ μηρὸν κλάσατο δεξιτερόν.
Εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο, καὶ πίε τὸ ζῆν,
Πῶς αὖ ἔτ' ἐν Μεγάροις δείκνυτο τῶδε τάφος;

Ἐδό-

Ε'δόκει δὲ αὐτῷ πάδε. Στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· φιλίαν τε ᾗ συγκρίνεται, καὶ νεῖκος ᾧ διακρίνεται. φησὶ δ' ὅπω,

Ζεὺς ἀργὴς, Η"ρη τε φερέσβιος, ἠδ' Α'ϊδωνεὺς,
Νῆστίς θ' ἣ δακρύοις τεγγεῖ κρουνὸν βρότειον.

Δία μὲν, τὸ πῦρ λέγων· Η"ρην δὲ, τὴν γῆν· Α'ϊδωνέα δὲ, τὸν ἀέρα· Νῆστιν δὲ, τὸ ὕδωρ. καὶ ταῦτα, φησὶν, ἀλλαττόμενα διαμένει ἀδαμῆ λήγει, ὡς ἂν ἀϊδίου τῆς τοιαύτης διακοσμήσεως οὔσης. ὑποφέρει γοῦν,

Α'λλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
Α'λλοτε δ' αὖ δίχ' ἕκαστα φορεόμενα νείκεος ἔχθει.

καὶ τὸν μὲν ἥλιον φησὶ πυρὸς ἄθροισμα μέγα, καὶ τῆς σελήνης μείζω· τὴν δὲ σελήνην, δισκοειδῆ· αὐτὸν δὲ τὸν οὐρανὸν, κρυσταλλοειδῆ. καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζώων καὶ φυτῶν ἐνδύεσθαι. φησὶ γοῦν,

Η"δη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε.
Θάμνος τ' οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

Τὰ μὲν οὖν περὶ φύσεως αὐτῷ, καὶ οἱ καθαρμοὶ, εἰς ἔπη τείνουσι πεντακισχίλια, ὁ δὲ ἰατρικὸς λόγος εἰς ἔπη ἑξακόσια. περὶ δὲ τῆς τραγῳδίων προαιρήκαμεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΕΠΙΧΑΡΜΟΣ.

Ἐπίχαρμος Ἡλοθαλεῦς, Κῷος, ἢ ἔτος ἤκμασε Πυθαγόρᾳ. ξυμμαιὸς δ' ὑπάρχων, ἀπῳκίσθη τῆς Σικελίας εἰς Μέγαρα. ἐντεῦθεν δὲ εἰς Συράκουσας, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς συγγράμμασι. καὶ αὐτῷ ὅδε τὸ ἐπίγραμμα ἐπιγέγραπται τόδε,

Εἴ τι φρονέοντι φαέθων μέγας ἄλιος ἄστρων,
Καὶ πόντος ποταμῶν μείζονα δύναται·
Φησὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
Ὅν παῖδες ἐσέφανσαν ἄδε Συρακοσίων.

Οὗτος ὑπομνήματα καταλέλοιπεν, ἐν οἷς φυσιολογεῖ, γνωμολογεῖ, ἰαμβολογεῖ· καὶ φλυακίδια τοῖς πλείστοις τῶν ὑπομνημάτων πεποίηκεν, οἷς διασαφεῖ ὅτι αὐτὸς ὀρθῶς τὰ συγγράμματα.

Βιοὺς δὲ ἔτη ἐνενήκοντα, κατέστρεψεν τὸν ζῆν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΑΡΧΥΤΑΣ.

Ἀρχύτας Μνησαγόρᾳ, Ταραντῖνος, ὡς δὲ Ἀριστόξενος, Ἑστιαίᾳ, Πυθαγορικὸς καὶ αὐτός.

Οὗ-

Οὗτός ἐστιν ὁ Πλάτωνα ῥυσάμενος δι' ἐπιστολῆς, καὶ μὴ Διονυσίῳ μέλοντα ἀναιρεῖσθαι.

Ἐθαυμάζετο δὲ καὶ καὶ παρὰ τοῖς πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ· καὶ δὴ ἐπτάκις τῆς πολιτῶν ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτὸν στρατηγούντων, διὰ τὸ κωλύειν τὸν νόμον.

Πρὸς τοῦτον καὶ Πλάτων γέγραφεν ἐπιστολὰς δύο, ἐπειδήπερ αὐτῷ πρότερος ἐγεγράφει τοῦτον τὸν τρόπον.

Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀῤῥωστίας. ταῦτα γὰρ αὐτός τε ἐπίσταλκας, καί τοι καὶ περὶ Δαμισκοῦ ἀπάγγελον. καὶ περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες, καὶ ἀνήλθομες ὡς Λοκροὺς, καὶ ἐντυχόμες τοῖς Φιλόλαο ἐκγόνοις. τὰ μὲν οὖν περὶ νόμου, καὶ βασιληΐας, καὶ ὁσιότατος, καὶ τᾶς τῶ παντὸς φύσιος, αὐτοί τε ἔχομες, καί τινα ἀπεσταλκάμες· τὰ δὲ λοιπὰ ἔτοιμα γεγένηται δίφθερα. αἱ δέκα δίφθεραι, ἴσχει τοι.

Ὧδε μὲν ὁ Ἀρχύτας· ὁ δὲ Πλάτων ἀντιπιστέλλει τοῦτον τὸν τρόπον.

Πλάτων Ἀρχύτᾳ εὖ πράττειν.

Τὰ μὲν καὶ σὲ ἐλθόντα ὑπομνήματα θαυμαστῶς ἄσμενοί τε ἐλάβομεν, καὶ τῷ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς σοὶ μάλιστα. καὶ ἔδοξεν ἡμῖν αὐτὸν ἄξιος εἶναι τῶν παλαιῶν προγόνων. λέγονται γὰρ οἱ ἄνδρες ἔτοι Μυραῖοι εἶναι. ἔτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξανασάντων Τρώων, ἄνδρες ἀγαθοὶ, ὡς ὁ παλαιὸς μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα, περὶ ὧν ἐπέστειλας,

λας, ἱκανῶς μὴ ἅπω ἔχει· ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσαλκάσοι. περὶ δὲ τῆς φυλακῆς ἀμφότεροι συμφωνεῖμεν· ὥστε ἀδὲν δεῖ προσκελεύεσθαι. ἔρρωσο.

Καὶ ὧδε μὴ πρὸς ἀλλήλους αὐτοῖς ἔχουσιν αἱ διατριβαί.

Γεγόνασι δ' Ἀρχύται τέτταρες. πρῶτος, αὐτὸς ὅτος. δεύτερος, Μιτυληναῖος, μουσικός. τρίτος, περὶ γεωργίας συγγεγραφώς. τέταρτος, διαγραμματοποιός. οἱ δὲ καὶ πέμπτον ἀρχιτέκτονα φασὶν, ὃς φέρεται βιβλίον περὶ μηχανῆς, ἀρχὴν ἔχον ταύτην, Τάδε φησὶ Τεύκρος Καρχηδονίοις διήκουσα. περὶ δὲ τῆς μουσικῆς φέρεται καὶ τάδε, ὡς ὀνειδιζόμενος ὅτι τῆς μὲν ἐξακούεται, εἶποι, Τὸ γὰρ ὄργανον ὑπὲρ ἐμὲ διαγωνιζόμενον λαλεῖ.

Τὸν δὲ Πυθαγορικὸν Ἀρίστοξενος φησὶ μηδέποτε στρατηγῆσαι πεπηθῆναι. φθονούμενον δ' ἅπαξ, ἐκχωρῆσαι τῆς στρατηγίας, καὶ τὰς αὐτίκα ληφθῆναι.

Οὗτος πρῶτος τὰ μηχανικὰ ταῖς μηχανικαῖς προσχρησάμενος ἀρχαῖς ἐμεθόδευσε, καὶ πρῶτος κίνησιν ὀργανικὴν διαγράμματι γεωμετρικῷ προσήγαγε, διὰ τῆς τομῆς τὸ ἡμικυλίνδρε δύο μέσας αὐτὰ λόγον λαβεῖν ζητῶν, εἰς τὸν τὸ κύβε διπλασιασμόν. καὶ γεωμετρίᾳ πρῶτος κύβε διπλασιασμὸν εὗρεν, ὡς φησι Πλάτων ἐν πολιτείᾳ.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΑΛΚΜΑΙΩΝ.

Α'λκμαίων Κροτωνιάτης, ἢ ἕτος Πυθαγόρᾳ δὶηκέσε, καὶ τὰ πλεῖσά γε ἰατρικὰ λέγει. ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε, λέγων, Δύο τὰ πολλάζοι τῆ ἀνθρωπίνων. δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθάφησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, καὶ τὴν σελήνην καθόλε ταύτην ἔχειν ἀΐδιον φύσιν.

Η'ν δὲ Πειθέα υἱὸς, ὡς αὐτὸς ἐναρχόμενος τῶ συγγράμματος φησίν. Α'λκμαίων Κροτωνιάτης τάδε ἔλεξε, Πειθέα υἱὸς, Βροντίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ. Περὶ τῆ ἀφανέων, ὡς τῆ θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι· ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι. καὶ τὰ ἑξῆς. ἔφη δὲ καὶ τὴν ψυχὴν ἀθάνατον, καὶ κινεῖσθαι αὐτὴν συνεχῶς ὡς τὸν ἥλιον.

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΙΠΠΑΣΟΣ.

Ι'ππασος, Μεταποντῖνος, καὶ αὐτὸς Πυθαγορικός.

Ε'φη δὲ χρόνον ὡρισμένον εἶναι τῆς τε κόσμε μεταβολῆς, καὶ πεπερασμένον εἶναι τὸ παῦ καὶ ἀεικίνητον.

Φησὶ δ' αὐτὸν Δημήτριος ἐν ὁμωνύμοις, μηδὲν καταλιπεῖν σύγγραμμα.

Γε-

Γεγόνασι δὲ Ἵππασοι δύο· ἔπός τε, καὶ ἕτερος γεγραφὼς ἐν ἑβδόμοις Λακώνων πολιτείαν· ὧν δὲ καὶ αὐτὸς Δάκων.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΦΙΛΟΛΑΟΣ.

Φιλόλαος Κροτωνιάτης, Πυθαγορικός. οὗτος πρῶτος Πλάτων ὠνήσασθαι τὰ βιβλία τὰ Πυθαγορικὰ Δίωνι γράφει.

Ἐτελεύτα δὲ νομισθεὶς ὑπὸ τῶν τυραννίδι. καὶ ἡμῶν ὅζιν εἰς αὐτὸν,

Τὼ γὰνόσιαν πᾶσι μάλιστα λέγω θεραπεύειν.
Εἰ δ' ὃν καὶ μὴ δρᾷς, ἀλλὰ δοκῇς, ἀτυχεῖς.
Οὕτω καὶ φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάλαι,
Ὡς μὲν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Δοκεῖ δὲ αὐτῷ πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γίνεσθαι· καὶ τὴν γῆν κινεῖσθαι περὶ κύκλον, πρῶτον εἰπεῖν· οἱ δὲ, Ἱκέταν Συρακόσιον φασίν.

Γέγραφε δὲ βιβλίον εν, ὅ φησιν Ἕρμιππος λέγειν τινὰ τῶν συγγραφέων, Πλάτωνα τὸν φιλόσοφον πρεσβευόμενον εἰς Σικελίαν πρὸς Διονύσιον ὠνήσασθαι παρὰ τῶν συγγενῶν τοῦ Φιλολάου, ἀργυρίου Ἀλεξανδρινῶν μνῶν μ. καὶ ἐντεῦθεν μεταγεγραφέναι τὸν Τίμαιον. ἕτεροι δὲ λέγουσι τὸν Πλάτωνα λαβεῖν αὐτὰ παρὰ Διονυσίου, παραιτησάμενον ἐκ τῆς φυλακῆς νεανίσκον ἀπηγμένον τῶν τοῦ Φιλολάου μαθητῶν. τοῦτον φησὶν Δημήτριος

ἐν

ἐν ὁμωνύμοις, πρῶτον ἐκδῦναι τὴν Πυθαγορικῶν περὶ φύσεως, ὧν ἡ ἀρχὴ ἥδε, Φύσις δὲ ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα.

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΕΥΔΟΞΟΣ.

ΕΥ̓δοξος Αἰσχίνου, Κνίδιος, ἀστρόλογος, γεωμέτρης, ἰατρὸς, νομοθέτης.

Οὗτος τὰ μὲν γεωμετρικὰ Ἄρχυτα διήκουσε· τὰ δὲ ἰατρικὰ, Φιλιστίωνος τοῦ Σικελιώτου, καθὰ Καλλίμαχος ἐν τοῖς πίναξι φησί. Σωτίων δ' ἐν ταῖς διαδοχαῖς λέγει, καὶ Πλάτωνος αὐτὸν ἀκοῦσαι. χρόμενον γὰρ ἐτῶν γ' πρὸς καὶ ν', καὶ σεσωκέναι, κατὰ κλέος τὴν Σωκρατικῶν εἰς Ἀθήνας ἀφῖχθαι σὺν Θεομέδοντι τῷ ἰατρῷ, φερόμενον ὑπ' αὐτοῦ· οἱ δὲ, καὶ παιδικὰ ὄντα, καὶ καταχθέντα δὲ εἰς τὸν Πειραιέα, ὀσημέραι αὐλεῖσθαι Ἀθήναζε, καὶ ἀκούσαντα τοῦ σοφιστοῦ αὐτόθι, ὑποστρέφειν. δύο δὲ μησὶν διατρίψαντα, οἴκαδε ἐπανελθεῖν, καὶ πρὸς τὴν φίλων ἐρανισθέντα εἰς Αἴγυπτον ἀφῖχθαι μετὰ Χρυσίππου τοῦ ἰατροῦ, συστατικὰς φέροντα παρ' Ἀγησιλάου πρὸς Νεκτανάβιν. τὸν δὲ τοῖς ἱερεῦσιν αὐτὸν συσχεῖν. καὶ τέτταρας μῆνας πρὸς ἑαυτῷ διατρίψαντα αὐτόθι ξυρόμενόν τε ἅβλω καὶ ὀφρῦς, τὴν ὀπαιθρίδα κατά τινας συγγράψαι· ἐντεῦθέν τε γενέσθαι ἐν Κυζίκῳ καὶ τῇ Προποντίδι σοφιστεύοντα. ἀλλὰ καὶ πρὸς Μαυσωλὸν

λὸν ἀφικέσθαι. ἔπειθ' ὅπως ἐπανελθεῖν Ἀθήναζε, καὶ πολλὰς περὶ ἑαυτὸν ἔχοντα μαθητὰς, ὥς φασι τινὲς, ὑπὲρ τὸ Πλάτωνα λυπῆσαι, ὅτι τὴν ἀρχὴν αὐτὸν παρεπέμψατο. τινὲς δέ φασι καὶ συμπόσιον ἔχοντι τῷ Πλάτωνι, αὐτὴν τὴν ἡμικύκλιον κατάκλισιν, πολλῶν ὄντων, εἰσηγήσασθαι. φησὶ δ' αὐτὸν Νικόμαχος ὁ Ἀριστοτέλους τὴν ἡδονὴν λέγειν τὸ ἀγαθόν.

Ἀπεδέχθη δὲ ἐν τῇ παιδὶ μεγαλοτίμως, ὡς τό γε περὶ αὐτὸν ψήφισμα γράμμον δηλοῖ. ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπιφανέστατος ἐγένετο, γράψας τοῖς ἰδίοις πολίταις νόμους, ὥς φησιν Ἕρμιππος ἐν τετάρτῃ περὶ τῶν ἑπτὰ σοφῶν, καὶ ἀστρολογούμενα, καὶ γεωμετρούμενα, καὶ ἕτερ' ἄττα ἀξιόλογα. ἔσχε δὲ καὶ θυγατέρας τρεῖς, Ἀκτίδα, Φιλτίδα, Δελφίδα. φησὶ δ' αὐτὸν Ἐρατοσθένης ἐν τοῖς περὶ Βάτωνα, καὶ κυνῶν ἀγόλους σωθῆναι. οἱ δὲ, γεγραφέναι μὲν Αἰγυπτίοις τῇ αὐτῶν φωνῇ· τὸν δὲ μεθερμηνεύσαντα ἐκδοῦναι τοῖς Ἕλλησι. τάττε διήκουσε Χρύσιππος Ἐρίνεω Κνίδιος τά τε περὶ θεῶν καὶ κόσμου καὶ τῶν μετεωρολογουμένων· τὰ δὲ ἰατρικὰ παρὰ Φιλιστίωνος τοῦ Σικελιώτου. κατέλιπε δὲ καὶ ὑπομνήματα κάλλιστα.

Τούτου γέγονε παῖς Ἀγησαγόρας, ὃν Χρύσιππος Ἀθηλίου μαθητής· ὃν τὰ θεραπεύματα φέρεται ὁρατικὰ, τῶν φυσικῶν θεωρημάτων ὑπὸ τὴν ὄψιν αὐτοῦ πεσόντων.

Γεγόνασι δὲ Εὔδοξοι τρεῖς· αὐτὸς εἷς· ἕτερος, Ῥόδιος, ἰσοείας γεγραφώς· τρίτος, Σικελιώτης, παῖς Ἀγαθοκλέους, ποιητὴς κωμῳδίας, τίκας ἑλὼν ἀστικὰς μόνας τρεῖς, λωιτικὰς δὲ πέντε, καθάφησιν Ἀπολλόδωρος ἐν χρονικοῖς. δ' εἰσκομῶ δὲ καὶ ἄλλον ἰατρὸν Κνίδιον, περὶ ὃν φησιν Εὔδοξος ἐν γῆς περιόδῳ, ὡς εἴη περιαγγέλλων ἀεὶ, συνεχὲς κινεῖν τὰ ἄρθρα πάσῃ γυμνασίᾳ· ἀλλὰ καὶ τὰς αἰσθήσεις ὁμοίως.

Ο'

Ο' δ' αὐτός φησι τὸν Κνίδιον Εὔδοξον ἀκμάσαι κατὰ τὴν γ'. καὶ ρ Ο'λυμπιάδα, δ' ρεῖν τε τὰ περὶ τὰς καμπύλας γραμμάς. ἐτελεύτησε δὲ τρίτον ἄγων καὶ ν'. ἔτος. ὅτε δὲ σωενέχθετο ἐν Αἰγύπτῳ Γ'χόνεφι τῷ Η'λιοπολίτῃ, ὁ Α'πις αὐτῷ θοιμάτιον περιελιχμήσατο. εὔδοξον ἓν αὐτὸν ἀλλ' ὀλιγοχρόνιον ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν. ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἔτως ἔχον· Ἐν Μέμφει λόγος ὡς προμαθεῖν τὴν ἰδίαν Εὔδοξον ποτὲ μοῖραν παρὰ τῶ καλλίκερω ταύρω. κ' ὠδὴν ἔλεξε. βοῒ γὰρ πόθεν λόγος; φύσις δὲ δώκε μόχῳ λάλον Α'πιδι σῶμα. ᾠδὰς δὲ αὐτὸν λέχριος τὰς ἐλιχμήσατο σελήνη, προφανῶς τοῦτο διδάσκων. ἀποδύσει βιοτὴν ὅσον ἔπω. διὸ καὶ οἱ ταχέως ἦλθε μόρος, δεκάκις πεντε ὅτι τρεῖς εἰσιδόντι πλειάδας. Τοῦτον αὖτι Εὐδόξῳ Ε'νδοξον ἐκάλεν διὰ τὴν λαμπρότητα τῆς φύσης.

Ε'πειδὴ δὲ περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν διεληλύθαμεν, ἤδη περὶ τῶν προαιρέσεων, ὡς φασι, διαλεκθῶμεν. λεκτέον δὲ πρῶτον περὶ Η'ρακλείτου.

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΗΡΑΚΛΕΙΤΟΣ.

Ἡράκλειτος Βλύσωνος, ἢ (ὥς τινες) Ἡρακίοντος, Ἐφέσιος. ἤκμαζε μὲν κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα.

Μεγαλόφρων δὲ γέγονε παρ' ὁντινανοῦν, καὶ ὑπερόπτης· ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι, Πολυμαθίη νόον οὐ διδάσκει. Ἡσίοδον γοῦν ἂν ἐδίδαξε καὶ Πυθαγόραν, αὖθίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον. εἶναι γὰρ σοφὸν ἕνα ἐπίστασθαι γνώμην ἥτε οἰήκουβερνήσει πάντα διὰ πάντων. τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως. ἔλεγε δὲ καὶ, Τρῦφον χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν. καὶ, Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου, ὅκως ὑπὲρ τείχεος. καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων, ὅτι τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον· ἐν οἷς φησιν, Ἄξιον Ἐφεσίοις ἥβησον ἅπαντας ἀπο-

θανεῖν

θαυεῖν πᾶσι, καὶ τοῖς αὐήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἐωυτῶν ἀνηρ ὀν ἐξέβαλον λέγοντες, Ἡμέων μηδὲ εἷς ἀνηρ ἔστω· εἰ δέ τις τοιοῦτος, ἄλλη τε καὶ μετ' ἄλλων. ἀξιόμβυος δὲ καὶ νόμους θεῖναι πρὸς αὐτῶν, ὑπερεῖδε, ὡς τὸ ἤδη κεκρατῆσθαι τῇ πονηρᾷ πολιτείᾳ τὴν πόλιν. ἀναχωρήσας δὲ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος μετὰ τῶν παίδων ἠσραγάλιζε· θαυμάζοντων δ' αὐτὸν τῶν Ἐφεσίων, Τί, ὦ κάκιστοι, θαυμάζετε; ἔφη· ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι;

Καὶ τέλος, μισανθρωπήσας καὶ ἐκπατήσας, ἐν τοῖς ὄρεσι διητᾶτο, πόας σιτούμβυος καὶ βοτάνας. καὶ μηδὲ τοῦτο θεραπεὶς εἰς ὕδερον, κατῆλθεν εἰς ἄσυ, καὶ τοῖς ἰατροῖς αἰνιγματωδῶς ἐπυνθάνετο, εἰ δυνάιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι; τοῦ δὲ μὴ συνιέντων, αὐτὸν εἰς βάσασιν καταρύξας, τῇ τοῦ βολβίτου ἀλέᾳ ἤλπισεν ἐξατμισθήσεσθαι. ἐδὲν δ' αὐτῶν δ' ὅπως, ἐτελεύτα, βιὺς ἔτη ξ'. καὶ ἔσιν εἰς αὐτὸν ἡμῶν ὅπως ἔχον,

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
Ὧδε ἰατλήσας δύσμορος, εἶτ' ἔθανεν.
Σῶμα γὰρ ἀρδίσασα κακὴ νόσος ὕδατι, φέγγος
Ἔσβεσεν ἐκ βλεφάρων, καὶ σκότον ἠγάγετο.

Ἕρμιππος δέ φησι λέγειν αὐτὸν τοῖς ἰατροῖς, εἴ τις δύναται σύτερα ταπεινώσας ὑγρὸν ἐξεράσαι; ἀπειπόντων δὲ, θεῖναι αὑτὸν εἰς τὸν ἥλιον, καὶ κελεύειν τοὺς παῖδας βολβίτοις καταπλάττειν· ὅπω δὴ καπατεινόμενον, δευτεραῖον τελευτῆσαι, καὶ ταφῆναι ἐν τῇ ἀγορᾷ. Νεάνθης δ' ὁ Κυζικηνὸς φησι, μὴ δυνηθέντα αὐτὸν ἀποπάσασθαι τὰ βόλβιτα, μεῖναι, καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθέντα, κωμόβρωτον γενέσθαι.

Γέγονε δὲ θαυμάσιος ἐκ παίδων, ὅτε καὶ νέος ὢν ἔφα-

ἔφασκε μηδὲν εἰδέναι· τέλειος μόνοι θρόμβος, πάντα ἐγνωκέναι. ἤκουέ τε ὑδρωπικοῦ, ἀλλ' αὐτὸν ἔφη διζήσασθαι, ἢ μαθεῖν πάντα παρ' ἑαυτῶ. Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν ἀκηκοέναι. λέγειν τε Ἀρίσωνα ἐν τῷ περὶ Ἡρακλείτου, καὶ τὸν ὕδερον αὐτὸν θεραπεύσαι· ἀποθανεῖν δὲ ἄλλη νόσῳ. τοῦτο δὲ καὶ Ἱππόβοτός φησι.

Τὸ δὲ φερόμενον αὐτοῦ βιβλίον ὅτι μὲν ἀπὸ τοῦ συνέχοντος περὶ φύσεως διήρηται δὲ εἰς ἓξ λόγους, εἴς τε τὸν περὶ τοῦ παντὸς, καὶ πολιτικὸν, καὶ θεολογικόν· ἀνέθηκε δὲ αὐτὸ εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ὡς μέν τινες, ἐπιδόσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι προσίοιεν αὐτῷ, καὶ μὴ ἐκ τοῦ δημώδους καταφρόνητον ᾖ. τοῦτον δὲ καὶ ὁ Τίμων ὑπογράφει, λέγων,

Τοῖς δ' ἐνὶ κοκκυσὴς ὀχλολοίδορος Ἡράκλειτος
Αἰνικτὴς ἀνόρουσε.

Θεόφραστος δέ φησιν ὑπὸ μελαγχολίας τὰ μὲν, ἡμιτελῆ, τὰ δὲ ἄλλοτε ἄλλως ἔχοντα γράψαι. σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν ὑποδοχαῖς· ἐκχωρῆσαι γὰρ τἀδελφῷ τῆς Βασιλείας. τοσαύτῃ δὲ δόξῃ ἔχρῆτο τὸ σύγγραμμα, ὡς καὶ αἱρετιστὰς ἀπ' αὐτοῦ κληθῆναι τοὺς Ἡρακλειτείους.

Ἔδοξε δὲ αὐτῷ καθολικῶς μὲν τάδε. Ἐκ πυρὸς τὰ πάντα συνεστάναι, καὶ εἰς τοῦτο ἀναλύεσθαι· πάντα τε γίνεσθαι κατ' εἱμαρμένην, καὶ διὰ τῆς ἐναντιοδρομῆς ἁρμόττεσθαι τὰ ὄντα. καὶ πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη. εἴρηκέ δὲ καὶ περὶ τῶν ἐν τῷ κόσμῳ συνισταμένων πάντων παθῶν. ὅτι τε ὁ ἥλιός ἐστι τὸ μέγεθος οἷος φαίνεται. λέγεται δὲ καὶ ψυχῆς πεῖραν, ὃν οὐκ ἂν ἐξεύ-

ἐξαίρει ὁ πᾶσαν ὁπηποτοῦμβρος ὁδόν· ὕπω βαθυὺ λόγον ἔχει· τὴν τε οἴησιν, ἱερὰν ἰόσον ἔλεγε· καὶ τὴν ὅρασιν, ψεύδεσθαι. λαμπρῶς τε ἐνίοτε ἐν τῷ συγγράμματι καὶ σοφῶς ἐκβάλλει· ὥσε καὶ τὸν νωθέστατον ῥαδίως γνῶναι, καὶ δίαρμα ψυχῆς λαβεῖν· ἥτε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον· καὶ τὰ ὅτι μέρες δὲ αὐτῷ ὧδε ἔχει τῆς δογμάτων. Πῦρ εἶναι στοιχεῖον, καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα ἀραιώσει καὶ πυκνώσει τὰ γινόμενα· σαφῶς δὲ οὐδὲν ἐκτίθεται. γίνεσθαι πάντα κατ' ἐναντιότητα, καὶ ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην. πεπεράνθαί τε τὸ παν, καὶ ἕνα εἶναι κόσμον· γεγενῆσθαί τε αὐτὸν ἐκ πυρὸς, καὶ πάλιν ἐκπυρώσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα. τοῦτο δὲ γίνεσθαι καθ' εἱμαρμένην. τῆς δὲ ἐναντίων τὸ μὲν ὅτι τὴν γένεσιν ἄγον, καλεῖσθαι πόλεμον καὶ ἔριν· τὸ δ' ὅτι τὴν ἐκπύρωσιν, ὁμολογίαν καὶ εἰρήνην, καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω· γίνεσθαι κόσμον κατὰ ταύτην. πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι, συνισάμενόν τε γίνεσθαι ὕδωρ· πηγνύμενον δὲ τὸ ὕδωρ, εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν ὅτι τὸ κάτω εἶναι· πάλιν τε αὖτις τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι· ἐκ δὲ τούτου, τὰ λοιπὰ χεδὸν πάντα, ὅτι τὴν ἀναθυμίασιν ἀπάγων τὴν ἀπὸ τῆς θαλάττης. αὕτη δέ ἐστιν ἡ ὅτι τὸ ἄνω ὁδός. γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάττης, ἃς μὲν, λαμπρὰς καὶ καθαράς· ἃς δὲ, σκοτεινάς. αὔξεσθαι δὲ τὸ μὲν πῦρ, ὑπὸ τῆς λαμπρῶν· τὸ δὲ ὑγρὸν, ὑπὸ τῆς ἑτέρων. τὸ δὲ περιέχον ὁποῖόν ἐστιν, οὐ δηλοῖ. εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας καὶ κοῖλον πρὸς ἡμᾶς· ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας ἃς εἶναι τὰ ἄστρα. λαμπροτάτην δὲ εἶναι τὴν τοῦ ἡλίου

φλόγα καὶ θερμοτάτην. τὰ μὲν γὰρ ἄλλα ἄστρα πλεῖον ἀπέχειν ἀπὸ γῆς, καὶ διὰ τοῦτο ἧττον λάμπειν καὶ θάλπειν· τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν, μὴ διὰ τὸ καθαρὸν φέρεσθαι πάπη. τὸν μὲν τοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι, καὶ σύμμετρον ἀφ' ἡμῶν ἔχειν διάστημα. διὸ γάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν. ἐκλείπειν τε ἥλιον καὶ σελήνην, ἄνω τρεπομένων τῶν σκαφῶν. τάς τε κατὰ μῆνα τῆς σελήνης χηματισμοὺς γίνεσθαι, τρεπομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. ἡμέραν τε καὶ νύκτα γίνεσθαι, καὶ μῆνας, καὶ ὥρας ἐτησίους, καὶ ἐνιαυτούς, ὑετούς τε καὶ πνεύματα, καὶ τὰ τούτοις ὅμοια, κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν, φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου, ἡμέραν ποιεῖν· τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν, νύκτα ἀποτελεῖν. καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξακόμενον, θέρος ποιεῖν· ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάζον χειμῶνα ἀπεργάζεσθαι. ἀκολούθως δὲ τούτοις καὶ περὶ τῶν ἄλλων αἰτιολογεῖ. περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται, ποία τις οὖσα, οὐδὲ περὶ τῶν σκαφῶν. καὶ ταῦτα μὲν εἶναι αὐτῷ τὰ δοκοῦντα.

Τὰ δὲ περὶ Σωκράτους, καὶ ὅσα ἐντυχὼν τῷ συγγράμματι εἶπον, κομίσαντος Εὐριπίδου (καθάφησιν Ἀρίστων) ἐν τῷ περὶ Σωκράτους εἰρήκαμεν. Σέλδυκος μέντοι φησὶν ὁ γραμματικὸς, Κρόπωνα τινὰ ἱστορεῖν ἐν τῷ Κατακολυμβητῇ, Κράτητά τινα πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὸ βιβλίον· οὗ καὶ εἰπεῖν, Δηλίᾳ τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς ἐκ διαπεπηγότος ἐν αὐτῷ, διαχάρασι δὲ αὐτὸ, οἱ μὲν, Μούσας, οἱ δὲ, Περὶ φύσεως· Διόδοτος δὲ, Ἀκεσβοὺς ἀνάκτορα πρὸς σάθμιον βίου. ἄλλοι, Γνώμην ἠθῶν, ἔρωτα κόσμου ἢ τῆς ξυμπάντων.

Φα-

Φασὶ δὲ αὐτὸν ἐρωτηθέντα διὰ τί σιωπᾷ, φάναι, Ἵνα ὑμεῖς λαλῆτε.

Ἐπόθησε δὲ αὐτὸν καὶ Δαρεῖος μεταχεῖν, καὶ ἔγραψεν οὕδε πρὸς αὐτόν,

Βασιλεὺς Δαρεῖος πάρεδρος Ὑστάσπεω, Ἡράκλειτον Ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει, χαίρειν.

Κατανέβλησαι λόγον Περὶ φύσιος δυσιόητόν τε καὶ δυσεξήγητον. σὺ τίσι μὲν ἐν ἐρμηνευόμενος καὶ λέξιν σὴν, δοκεῖ διϊκνεῖν τινα σαφήνειαν τοῦ σύμπαντος, καὶ τῷ ἐν τούτῳ γινομένων· ἅπερ ὄφις ἐν θειοτάτῃ κείμενα κινήσει. τῷ δὲ πλείστων ἐποχλεῖ ἔχοντα· ὥστε καὶ τοὺς ὀπτιλεῖσον μετεχηκότας συγγραμμάτων, ἀπορεῖσθαι τῆς ὀρθῆς δοκήσεως γεγράφθαι παρά σοι δυσηγήσεως. βασιλεὺς ὁ Δαρεῖος Ὑστάσπεος βούλεται τῆς σῆς ἀπροάσεως μεταχεῖν καὶ παιδείας Ἑλληνικῆς. ἔρχε δὴ σωτόμως πρὸς ἐμὲ ὅπου, καὶ βασίλειον οἶκον. Ἕτοιμος γὰρ ὅτι τὸ πλεῖστον ἀνεπιστήμονες σοφοῖς ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς παιδείαν ἀκοὴν καὶ μάθησιν· παρ' ἐμοὶ δὲ ὑπάρχει σοι πᾶσα μὲν πρόοδος, καθ' ἡμέραν δὲ καλὴ καὶ παιδεία προσαγόρευσις, καὶ βίος ἀδόκιμος σαῖς παραινέσεσιν.

Ἡράκλειτος Ἐφέσιος βασιλεῖ Δαρείῳ πάρεδρος Ὑστάσπεω, χαίρειν.

Ὅσοι τυγχάνουσιν ὄντες ὑπήκοοι, τῆς μὲν ἀληθείης καὶ δικαιοπραγμοσύνης ἀπέχονται, ἁπλησίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι, κακῆς συνεπὰ αὐτοῖς. ἐγὼ δὲ

ἀμιμητίλω ἔχων πάσης ποιητικῆς, καὶ κόρον φεύγων παντὸς οἰκειωμένου φθόνου, καὶ διὰ τὸ φιλόσοφον ὑπεροψίας, ἐκ αὐτοῦ ἀφικόμενος εἰς Περσῶν χώρην ὀλίγοις ἀρκεσόμενος, κατ' ἐμὴν γνώμην.

Τοιοῦτος μὲν ὁ ἀνὴρ καὶ φρὸς βασιλέα.

Δημήτριος δέ φησιν ἐν τοῖς ὁμωνύμοις, καὶ Ἀθηναίων αὐτὸν ὑπερφρονῆσαι, δόξαν ἔχοντα παμπλείστην, καταφρονούμενόν τε ὑπὸ τῶν Ἐφεσίων, ἐλέσθαι μᾶλλον τὰ οἰκεῖα. μέμνηται αὐτοῦ καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

Πλεῖσοί τε εἰσὶν ὅσοι ἐζήλωται αὐτοῦ τὸ σύγγραμμα. καὶ γὰρ Ἀντισθένης καὶ Ἡρακλείδης ὁ Ποντικὸς, Κλεαίνθης τε ὁ Ποντικὸς καὶ Σφαῖρος ὁ Στωϊκός. φρὸς δέ, Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστὴς, Νικομήδης τε, καὶ Διονύσιος. τῶν δὲ γραμματικῶν, Διόδοτος, ὃς ἔφησι περὶ φύσεως εἶναι τὸ σύγγραμμα, ἀλλὰ περὶ πολιτείας· τὰ δὲ περὶ φύσεως ἐν ὑποδείγματος εἶδει κεῖσθαι. Γεράνυμος δέ φησι καὶ Σκυθῖνον, τὸν τῶν ἰάμβων ποιητὴν, ἐπιβάλλεσθαι τὸν ἐκείνου λόγον ὑπὲρ μέτρου ἐκβαλεῖν.

Πολλά τε εἰς αὐτὸν ἐπιγράμματα φέρεται, ἃ τὰρ δή καὶ τάδε,

Ἡράκλειτος ἐγώ· τί με ὦν κάκα εἶκιτ' ἄμυσσοι;
Οὐχ ὑμῖν ἐπόνεν, τοῖς δέ μ' ἐπαμβόοις.
Εἷς ἐμοὶ ἄνθρωπος, ξισμύριοι· οἱ δ' ἀνάριθμοι,
Οὐδείς· ταῦτ' αὐδῶ καὶ πρὸ Περσεφόνης.

Καὶ ἄλλο τοιόνδε,

Μὴ ταχὺς Ἡράκλειτε ἐπ' ὀμφαλὸν εἵλεο βίβλον
Τέφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.

Ὁρ-

Ὀ῾ρφνῃ ϗ σκότος ὄξιν ἀλάμπετον. ἰὼ δέ σε μύσης
Εἰσαγάγῃ, φανερᾶ λαμπροτέρη ἠελίᾳ.

Γεγόνασι δὲ Η῾ράκλειτοι πέντε· πρῶτος, αὐτὸς ἑ-
τος· δεύτερος, ποιητὴς λυρικὸς, ἔ ὅς τῷ δωδέκα θεῶν
ἐγκώμιον· τρίτος, ἐλεγείας ποιητὴς Α῾λικαρνασσὺς, εἰς
ὃν Καλλίμαχος πεποίηκεν ὅπως,

Εἶπέ τις Η῾ράκλειτε τεὸν μόρον, ἐς δ' ἐμὲ δάκρυ
Η῾γαγε· ἐμνήσθην δ' ὁσάκις ἀμφότεροι
Η῾λιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν πε,
Ξεῖν' Α῾λικαρνασεῦ, τετράπαλαι σποδιή.
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ἧσιν ὁ πάντων
Α῾ρπακτὴρ ἀΐδης οὐκ ἐθέλει χεῖρα βαλεῖν.

τέταρτος, Λέσβιος, ἱστορίαν γεγραφὼς Μακεδονικήν. πέμ-
πτος, ἀοιδογελοῖος, ἀπὸ κιθαρῳδίας μεταβεβηκὼς εἰς
τὸ εἶδος.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΧΕΝΟΦΑΝΗΣ.

Ξενοφάνης Δεξιέ, ἢ (ὡς Α῾πολόδωρος) Ὀ῾ρθο-
μένους, Κολοφώνιος, ἐπαινεῖται παρὸς τὸ Τίμωνος.
φησὶ γάρ,

Ξεινοφάνης ὑπότυφος, Ο῾μηραπάτας, ἐπικόπτης.

ἅτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας
διέζησε καὶ ἐν Κατάνῃ.

Δημήτρε δὲ κατ' ἐνίους μὲν, ὑδρεύς· κατ' ἐνίους δὲ, Βόσπορος Ἀθηναῖος. ἢ (ὥς τινες) Ἀρχελάου. καὶ (ὡς Σωτίων φησὶ) κατ' Ἀναξίμανδρον διὰ.

Γέγραφε δὲ καὶ ἐν ἔπεσι, καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσίοδον καὶ Ὅμηρον, ὅπερ ὀπτῶν αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῆν καὶ Πυθαγόραν, καθάπτεσθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὡς που καὶ αὐτὸς φησιν,

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
Βλωσυρίζοντες ἐμὸν φρουτὸν ἀν' Ἑλλάδα γῆν.
Ἐκ γενέτης δὲ τότ' ἦσαν ἐείκοσι πεντετερὸς τοῖς·
Εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, ἀπαθεῖς δέ. τὴν νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης, καὶ αἴρεσθαι αὐτὰ εἰς τὸ περιέχον. θεὸν ἀΐδιον, σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχοντα ἀνθρώπῳ. ὅλον δὲ ὁρᾶν, καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. σύμπαντά τε εἶναι, νοῦν, καὶ φρόνησιν, καὶ αἰδιον. πρῶτός τε ἀπεφήνατο, ὅτι παντὸς τὸ γινόμενον φθαρτὸν ἔστι. καὶ ἡ ψυχὴ, πνεῦμα. ἔφη δὲ καὶ τὰ πολλὰ ἥπτω νοῦ εἶναι· καὶ τοῖς τυράννοις ἐντυγχάνειν, ἢ ὡς ἤκουσα, ἢ ὡς ἤδισα. Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ ὅτι ἀνδρεῖός ἐστιν ὁ σοφὸς, Εἰκότως, ἔφη· σοφὸν γὰρ εἶναι δεῖ τὸν ὀπτησόμενον τὸν σοφόν. φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος. ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν, καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν, ἔτη δισχίλια, καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα.

Φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως, καὶ

καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ περὶ εὐθυμίας, ταῖς ἰδίαις χερσὶ θάψαι τὸν ἑαυτοῦ, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ πεφράδθαι ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκος καὶ Ὀρεσάνδρ, καθάφησι Φαβωρῖνος ἐν ὑπομνημονευμάτων πρώτῳ.

Γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης, Λέσβιος ποιητὴς ἐλεγείων. καὶ ἔτι μὲν οἱ πορφύριοι.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΑΡΜΕΝΙΔΗΣ.

Ξενοφάνης δὲ διήκουσε Παρμενίδης Πύρητος, Ἐλεάτης. τοῦτον Θεόφραστος ἐν τῇ ἐπιτομῇ, Ἀναξιμένδρ φησὶν ἀκοῦσαι. ὅμως δ' ὢν ἀκούσας καὶ Ξενοφάνους, οὐκ ἠκολούθησεν αὐτῷ ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ, καὶ Διοχαίτῃ τῷ Πυθαγορικῷ, (ὡς ἔφη Σωτίων) ἀνδρὶ πένητι μὲν, καλῷ δὲ καὶ ἀγαθῷ, ᾧ καὶ μᾶλλον ἠκολούθησε. καὶ ἀποθανόντος ἥρῳον ἱδρύσατο. πλοῦτος τε ὑπάρχων λαμπρὸς καὶ πλήσιος, ὑπὸ Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη.

Πρῶτος δὲ ἔφη τὴν γῆν ἀπέφηνε σφαιροειδῆ, καὶ ἐν μέσῳ κεῖσθαι. δύο τε εἶναι στοιχεῖα, πῦρ, καὶ γῆν· καὶ τὸ μὲν, δημιουργὸν τάξιν ἔχειν· τὴν δὲ, ὕλης. γίνεσίν τε ἀνθρώπων ἐξ ἡλίου πρῶτον γενέσθαι. αὐτὸν δὲ ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἐξ ὧν τὰ πάντα συνεστάναι. καὶ τὴν μὲν ψυχὴν, καὶ τὸν νοῦν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς φυσικοῖς, πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. διασῴζειν τε ἔφη εἶναι τὴν φιλοσο-

σοφίαν· τὴν μὲν, καὶ ἀλήθειαν· τὴν δὲ, καὶ δόξαν· διὸ καὶ φησί που,

- - - - χρεὼ δέ σε πάντα πυθέσθαι
Ἠμὲν μοι ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας, τῶν οὐκ ἔτι πίστις ἀληθής.

Καὶ αὐτὸς δὲ ἐν τοῖς ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης, καὶ Ἐμπεδοκλῆς. κεφάλαιον δὲ τὸν λόγον εἶπε. τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν· φησὶ γοῦν,

Μή σε θεὸς πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν,
Καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον.

διὸ καὶ περὶ αὐτῶν φησιν ὁ Τίμων,

Παρμενίδην τε βίᾳ μεγαλόφρονα, τὸν πολύδοξον,
Οὗς ῥ' ὅτι φαντασίας ἀπάτης αἰνείκατο ὦσεις.

εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε, Παρμενίδην ἐπιγράψας, ἢ Περὶ ἰδεῶν. ἤκμαζε δὲ κατὰ τὴν ἐνενηκοστὴν Ὀλυμπιάδα. καὶ δοκεῖ πρῶτος πεφωρακέναι, τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὡς φησὶ Φαβωρῖνος ἐν πέμπτῳ τῶν ἀπομνημονευμάτων· οἱ δὲ, Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα.

Λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων. καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ.

Γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΜΕΛΙΣΣΟΣ.

ΜΕ'λιασος Ι'αξιμβρ, Σάμιος· ἔτος ἤκμασε Παρμενίδε. ἀλλὰ καὶ εἰς λόγας ἦλθον Η'ρακλείτῳ, ὅτε κ) συνέσησεν αὐτὸν τοῖς Ε'φεσίοις ἀγνοεῖσι, καθάπερ Ι'πποκράτης Δημόκριτον Α'βδηρίταις.

Γέγονε δὲ κ) πολιτικὸς ἀνὴρ, κ) ἀποδοχῆς ἄξιος τοῖς πολίταις ἠξιωμένος. ὅθεν ναύαρχος αἱρεθεὶς, ἔτι καὶ μᾶλλον ἐθαυμάθη, διὰ τὴν οἰκείαν ἀρετήν.

Ε'δόκει δὲ αὐτῷ τὸ παν ἄπειρον εἶναι, κ) ἀκίνητον, κ) ἀκίνητον, κ) ἓν, ὅμοιον ἑαυτῷ, κ) πλῆρες. κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. ἀλλὰ κ) περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.

Φησὶ δ' Α'πολόδωρος ἀκμακέναι αὐτὸν κ) τὴν τεταρτίαν κ) ὀγδοηκοστὴν Ο'λυμπιάδα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΖΗΝΩΝ.

ΖΗ'νων, Ε'λεάτης. τοῦτον Α'πολόδωρος φησὶν εἶναι ἐν χρονικοῖς, Πύρρου· τὸν δὲ Παρμενίδου, φύσει μὲν, Τελαυταγόρα· θέσει δὲ, Παρμενίδε.

Περὶ

Περὶ τούτου καὶ Μελίσσου Τίμων φησὶ ταῦτα;

Ἀμφοτερογλώσσου τε μέγα σθένος ἐκ παλαμάων
Ζηνώνος Πλάτων ὁπλήτορος, ἠδὲ Μελίσσου
Πολλῶν φαντασμῶν ἐπαΐων, παύρων γε μὴν εἰδώς.

ὁ δὲ Ζήνων Ἐλεάτης Παρμενίδου, καὶ γέγονεν αὐτοῦ παιδικά.

Καὶ Δημήτριος, καθάφησι Πλάτων ἐν τῷ Παρμενίδῃ, ὁ δ' αὐτὸς ἐν τῷ σοφιστῇ καὶ Ἐλεατικὸν Παλαμήδην αὐτὸν καλεῖ.

Φησὶ δὲ Ἀριστοτέλης διαλεχθῆναι αὐτὸν πρώτους δύο διαλεκτικούς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικήν. γέγονε δὲ ἀνὴρ γενναιότατος, καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ. φέρεται γοῦν αὐτοῦ βιβλία πολλῆς συνέσεως γέμοντα.

Καθελεῖν δὲ θελήσας Νέαρχον τὸν τύραννον (οἱ δὲ, Διομέδοντα) συνελήφθη, καθάφησιν Ἡρακλείδης ἐν τῇ Σατύρου ἐπιτομῇ. ὅτε καὶ ἐξεταζόμενος τοὺς συνειδότας, καὶ πρὸς ἕνα ὅπλον, ὃν ἦγεν εἰς Λιπάραν, πάντας ἔφη αὐτοῦ τοὺς φίλους αὐτὰ ταῦτα συνειδέναι· βαλόμενος αὐτὸν ἔρημον κατασῆσαι· εἶπε πρός τινων εἰπὼν ἔχειν τινὰ εἰπεῖν αὐτῷ πρὸς τὸ ἔξω καὶ δακὼν, ἐκ αὐτῆκεν ἕως ἂν ἀπεκοπήθη, ταύτην Ἀριστογείτονι τῷ τυραννοκτόνῳ παθών. Δημήτριος δέφησιν ἐν τοῖς ὁμωνύμοις τὸν μυκτῆρα αὐτὸν ἀποδαγεῖν. Ἀντισθένης δὲ ἐν ταῖς διαδοχαῖς φησὶ μὴ τὸ μιῶσαι τοὺς φίλους, ἐρωτηθῆναι πρὸς τὸν τύραννον, εἴτις ἄλλος εἴη· τὸν δὲ εἰπεῖν, Σὺ ὁ τῆς πόλεως ἀληθέστατος. καθός τε τοὺς παρέσωτας φάναι, Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν οὐ νῦν ἐγὼ ἀποθνήσκω, δειλιᾶτε τὸν τύραννον· καὶ τέλος, ἀποδαγόντα τὴν γλῶτταν προσπτύσαι αὐτῷ. τοὺς δὲ πολίτας παρορμήσαντας, αὐτίκα τὸν τύραννον καταλεῦσαι, ταῦτα

δὲ

δὲ χεδὸν οἱ πλείους λαλᾶσιν. Ἕρμιππος δέ φησιν, εἰς ὅλμον αὐτὸν βληθῆναι, καὶ κατακοπῆναι. καὶ εἰς αὐτὸν ἡμεῖς εἴπομεν ὅπως,

Ἦθελες ὦ Ζηνῶν, καλὸν ἤθελες, ἄνδρα τύραννον
Κτείνας, ἐκλύσαι δεῖλοσυὰς Ἑλέας·
Ἀλλ' ἐδάμης. δὴ γάρσε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
Κόψε· τί ταῦτα λέγω; σῶμα γάρ, οὐχὶ δέ σε.

Γέγονε δὲ πάντα ἄλλα ἀγαθὸς ὁ Ζηνῶν, ἀλλὰ καὶ ὑπεροπτικὸς τῶν μειζόνων, κατ' ἴσον Ἡρακλείτῳ. καὶ γάρ ἐστος τοῦ πρότερον μὲν Ὑλλῶν, ὕστερον δὲ Ἐλέων, Φωκαέων ὄσαν ἀποικίαν, αὐτὸς δὲ πάτριδα, πόλιν δύτελῆ, καὶ μόνον ἄνδρας ἀγαθοὺς ἔχειν ὑπισχνεῖτο, ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας· οὐκ ὑπεδημήσας τὰ πολλὰ πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς.

Οὗτος καὶ τὸν Ἀχιλέα πρῶτος λόγον ἠρώτησε· Φαβωρῖνος δέ φησι Παρμενίδου, καὶ ἄλλους συχνούς.

Ἀρέσκει δὲ αὐτῷ πάνδε. κόσμους εἶναι· κενόν τε μὴ εἶναι· γεγονέναι δὲ τοὺς πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τοὺς μεταβολούς. γενέσθαι τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχοὺς κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων, καὶ μηδενὸς τούτων ὑπερέχειν.

Τέλος φασὶ λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασαμένου δέ τινος, φάναι, Ἐὰν λοιδορούμενος μὴ προσποιῶμαι, οὐδὲ ἐπαινούμενος ἡδήσομαι.

Ὅτι δὲ γεγόνασι Ζηνῶνες ὀκτὼ, ἐν τῷ Κιττιεῖ διειλέγμεθα. ἤκμαζε δὲ ὅτε καὶ τοῦ ἑνάτου καὶ ἑβδομηκοστοῦ Ὀλυμπιάδα.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

ΛΕΥΚΙΠΠΟΣ.

ΛΕύκιππος, Ἐλεάτης· ὡς δέ τινες, Ἀβδηρίτης· κατ' ἐνίους δὲ, Μήλιος.

Οὗτος ἤκουσε Ζήνωνος. ἤρεσκε δὲ αὐτῷ, ἄπειρα εἶναι τὰ πάντα, καὶ εἰς ἄλληλα μεταβάλλειν· τό, τε παν εἶναι κενὸν, καὶ πλήρες σωμάτων· τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων, καὶ ἀλλήλοις συμπλεκομένων· ἔκτε τῆς κινήσεως, καὶ τῇ αὔξησιν αὐτῶν, γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην· τὴν γῆν ὀχεῖσθαι, περὶ τὸ μέσον δινουμένην· καὶ πεπυκνῶσθαι τὸν οὐρανόν. πρῶτός τε ἀπεφήνατο ἀρχὰς ὑπεστήσατο. κεφαλαιωδῶς μὲν ταῦτα. ὅπη μέντοι δὲ ὧδε ἔχει.

Τὸ μὲν παν, ἄπειρόν φησιν, ὡς προείρηται· τούτου δὲ τὸ μὲν, πλήρες εἶναι· τὸ δὲ, κενόν· καὶ στοιχεῖα φησὶ, κόσμους τε ἐκ τούτων ἀπείρους εἶναι, καὶ διαλύεσθαι εἰς ταῦτα. γίνεσθαι δὲ τοὺς κόσμους ὧδε· φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα, παντοῖα τοῖς σχήμασιν, εἰς μέγα κενόν· ἅπερ ἀθροιζόμενα δίνῃ ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα, διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορροπῶν δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων πῶς περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττόμενα· τὰ δὲ λοιπὰ, συμμένειν, καὶ περιπλεκόμενα συνεπιτρέχειν ἀλλήλοις, καὶ ποιεῖν τε πρῶτον σύστημα σφαιροειδές. τοῦτο δὲ οἷον ὑμένα ἀφίστασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώ-

σώματα· ὧν καὶ τὰ μέσα ἀντέρεισιν παρεχόμενα, λεπτὸν γίνεσθαι τὸν περιέχοντα ὑμένα, συρρέοντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίφασιν τῆς δίνης. καὶ ἄτοπον γένεσθαι τὴν γῆν, συμπιπτόντων τῶν ἐναντίων ἐπὶ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα, οἷον ὑμένα, αὔξεσθαι καὶ τὰ ἐπέκρυσιν τῶν ἐξωθεν σωμάτων. δίνητε φερόμενον αὐτὸν ὧν καὶ ἐπιφαύειν, ταῦτα ἐπικτᾶσθαι. τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα· τὸ μὲν πρῶτον, καθυγρον καὶ πιλώδες, ξηραινόμενα καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ· εἶτ' ἐκπυρωθέντα, τὰ μὲν ἀνώτερον ἀποτελέσαι φύσιν. εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον, ὑγρότατον· τὸν δὲ τῆς σελήνης, προσγειότατον· τοὺς δὲ τῶν ἄλλων, μεταξὺ τούτων. καὶ πάντα μὲν τὰ ἄστρα φέρεσθαι τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον ὑπὸ τῶν ἀνωτέρων ἐκπυροῦσθαι. τὰ δὲ σελήνην τοῦ πυρὸς ὀλίγον μεταλαμβάνειν. ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην, τῶν κεκλίσθαι τὰ γῆν πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτον ἀεὶτε νίφεσθαι, καὶ παγετὰ εἶναι, καὶ πήγνυσθαι. καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὰ δὲ σελήνην, συνεχῶς· διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. εἶναί τε, ὥσπερ γενέσεις κόσμων, οὕτω καὶ αὐξήσεις, καὶ φθίσεις, καὶ φθοράς, κατά τινα ἀνάγκην, ἣν ὁποία ἐστὶν οὐ φράσαφεν.

ΚΕ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΔΗΜΟΚΡΙΤΟΣ.

Δημόκριτος, Ἡγησιστράτου· οἱ δέ, Ἀθηνοκρίτου· τινὲς, Δαμασίππου· Ἀβδηρίτης, ἢ (ὡς ἔνιοι) Μιλήσιος.

Οὗτος Μάγων τινῶν δόκησε, καὶ Χαλδαίων, ἔρξας τὸ βασιλέως ὑπηκόους τῆς παρ' αὐτῷ καταλιπόντος, ἵνα ἐξενίσθη παρ' αὐτῷ (καθάφησι καὶ Ἡρόδοτος) παρ' ὧν τότε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν, ἔτι παῖς ὤν. ὕστερον δὲ Λευκίππῳ παρέβαλε, καὶ Ἀναξαγόρᾳ, κατά τινας, ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. Φαβωρῖνος δέφησιν ἐν παντοδαπῇ ἱστορίᾳ, λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου, ὡς οὐκ εἴησαι αὐτοῦ αἱ δόξαι αἵτε περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι, τὸν δὲ ὑφηρῆσθαι. ἀφανίζειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τῶν ἄστρων, ἐχθρῶς ἔχοντα πρὸς αὐτὸν, ὅτι δὴ μὴ προσήκατο αὐτόν. πῶς δ' ἂν (κατά τινας) ἀκήκοεν αὐτοῦ; φησὶ δὲ Δημήτριος ἐν ὁμωνύμοις, καὶ Ἀντισθένης ἐν Διαδοχαῖς, ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον, πρὸς τοὺς ἱερέας, γεωμετρίαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν γενέσθαι. τοῖς τε Γυμνοσοφισταῖς, φασί τινες, συμμίξαι αὐτὸν ἐν Ἰνδίᾳ, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν.

Τρίτον τε ὄντα ἀδελφὸν, νείμασθαι τὴν οὐσίαν. καὶ οἱ μὲν πλείους φασὶ τὴν ἐλάττω μοῖραν ἑλέσθαι, τὴν ἐν ἀργυρίῳ, χρείαν ἔχοντα κατ' ἀποδημίαν, τὰ δὲ κτήνεα νοσήσαντα διαφθαρῆναι. ὁ δὲ Δημήτριος ὑπὲρ ἑκατὸν τά-

πάλιν τὰ φησιν εἶναι αὐτῷ τὸ μέρος, ἅπαντα δὲ καταναλῶσαι.

Λέγει δὲ ὅτι τοσοῦτον ἰῶ φιλόπονος, ὥστε τὸ θῆλυ κύπτω δωμάτιόν τι ὑπερεμόμφως, κατάκλειστος ἦν· καί ποτε τῶν παρὸς αὐτῶ πρὸς θυσίαν βοῦν ἀγαγόντος, καὶ αὐτόθι προσδήσαντος, ἱκανὸν χρόνον μὴ γνῶναι, ἕως αὐτὸν ἐκεῖνος διανασήσας, προφάσει τῆς θυσίας, καὶ τὰ περὶ τὸν βοῦν διηγήσατο.

Δοκεῖ δὲ (φησὶ) καὶ Ἀθήναζε ἐλθεῖν, καὶ μὴ παρεδάσαι γνωσθῆναι, δόξης καταφρονῶν· καὶ εἰδέναι μὲν Σωκράτη, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ. Ἦλθον γὰρ, φησὶν, εἰς Ἀθήνας, καὶ οὔτις με ἔγνωκεν. Εἴπερ οἱ Ἀντερασταὶ Πλάτωνός εἰσι, (φησὶ Θράσυλλος) ἔτος ἂν εἴη ὁ παραγενόμενος ἀνώνυμος, τῷ περὶ Οἰνοπίδου καὶ Ἀναξαγόραν ἕτερος, ἐν τῇ πρὸς Σωκράτη ὁμιλίᾳ ἐλεγόμενος περὶ φιλοσοφίας, ᾧ (φησὶν) ὡς πεπάθηκε ἔοικε ὁ φιλόσοφος. καὶ ἦν ὡς ἀληθῶς ἐν φιλοσοφίᾳ πεπαθὼς. τὰ γὰρ φυσικὰ, καὶ τὰ ἠθικὰ, ἀλλὰ καὶ τὰ μαθηματικὰ, καὶ τὰς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. τότε δῆ καὶ τὸ, Λόγος ἔργου σκιή. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇ Σωκράτους ἀπολογίᾳ, μηδὲ ἐλθεῖν φησιν αὐτὸν εἰς Ἀθήνας. τοῦτο δὲ καὶ μεῖζον, εἴγε τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τύπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τύπῳ δόξαν θεμελιῶσαι προελόμενος.

Δῆλον δὲ καὶ τῷ συγγραμμάτων, οἷος ἦν. δοκεῖ δὲ (φησὶν ὁ Θράσυλλος) ζηλωτὴς γεγονέναι καὶ τῶν Πυθαγορικῶν. ἀλλὰ καὶ αὐτοῦ τοῦ Πυθαγόρου μέμνηται, θαυμάζων αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι. πάντα δὲ δοκεῖν θεῖα τότε λαβεῖν, καὶ αὐτὸς δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὸ τῷ χρόνων ἐμάχετο. πάντως μέντοι τῷ Πυθαγορικῶν τινὸς ἀκοῦσαι φησὶν αὐτὸν Γλαῦκος ὁ Ῥηγῖνος,

καὶ τὰς αὐτὰς χρόνους αὐτῷ γεγονώς. φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς, Φιλολάῳ αὐτὸν συγγεγονέναι. ἤσκει δὲ (φησὶν ὁ Ἀντισθένης) καὶ ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρημάζων ἐνίοτε, καὶ τοῖς πάθοις ἐνδιατρίβων.

Ἐλθόντα δέ φησιν αὐτὸν ἐκ τῆς Ἀποδημίας, παρεινόπατα διάγειν, ἅτε πᾶσαν τὴν οὐσίαν καταναλωκότα. τρέφεσθαί τε διὰ τὴν ἀπορίαν ὑπὸ τἀδελφῆ Δαμάσυ. ὡς δὲ προεπών τινα τῶν μελλόντων ἀδοκίμητε, λοιπὸν ἐνδέα δόξης ἦν διὰ τοῖς πλείοσι νομιζόμενος. τόμε δὲ ὅντος τὸν ἀναλώσαντα τὴν παρ' αὐτοῦ οὐσίαν, μὴ ἀξιοῦσθαι ταφῆς ἐν τῇ πατρίδι, φησὶν ὁ Ἀντισθένης σωσάντα, μὴ ὑπὸ δήμου γενέσθαι πρός τινων φθονούντων καὶ συκοφαντούντων, ἀναγνῶναι αὐτοῖς τὸν μέγαν Διάκοσμον, ὃς ἁπάντων τῶν αὐτῷ συγγραμμάτων προέχει· καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι. μὴ μόνον δὲ, ἀλλὰ καὶ χαλκαῖς εἰκόσι. καὶ τελευτήσαντα αὐτὸν, δημοσίᾳ ταφῆναι, βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. ὁ δὲ Δημήτριος τὰς συγγενεῖς αὐτῷ φησὶν ἀναγνῶναι τὸν μέγαν Διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι. ταῦτα δὲ καὶ Ἱππόβοτός φησιν.

Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησι, Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτε συγγράμματα, ὁπόσα ἠδυνήθη συναγαγεῖν· Ἀμύκλαν δὲ καὶ Κλεινίαν τὼ Πυθαγορικὼ κωλῦσαι αὐτὸν, ὡς ὠφελος ὄφελος· διὰ πολλοῖς γὰρ εἶναι τὰ βιβλία ἤδη. καὶ δῆλον δὲ, πάντων γὰρ κεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων, οὐδαμοῦ Δημοκρίτε διαμνημονεύει, ἀλλ' οὐδὲ ἔνθα ἀντειπεῖντι αὐτῷ δέοι· δῆλον εἰδὼς ὡς πρὸς τὸν ἄριστον ἔπω τῶν φιλοσόφων ἔσοιτο· ὅν γε καὶ Τίμων τῶτον ἐπαινέσας τὸν τρόπον ἔχει,

Οἷον

Οἷον Δημόκριτόν τε περίφρονα, ποικίλα μύθων,
Ἀμφίνοον λέχθω, ἃ μὴ πρώτοισιν ἀείγνων.

Γέγονε δὲ τοῖς χρόνοις (ὡς αὐτὸς φησιν ἐν τῷ μικρῷ Διακόσμῳ) νέος καὶ πρεσβύτῃ Ἀναξαγόραν, ἔτεσιν αὐτὸν νεώτερος τετταράκοντα. συστατικὸς δὲ φησι τὸν μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως ἑκατὸν καὶ ἑπτακοσίοις. γεγόνοι δ' ἄν (ὡς μὲν Ἀπολλόδωρος ἐν χρονικοῖς) καὶ τῷ ὀγδοηκοστῷ Ὀλυμπιάδι· ὡς δὲ Θράσυλλος ἐν τῇ ἐπιγραφομένῃ τὰ πρὸ τῆς ἀναγωγῆς τῷ Δημοκρίτου βιβλίων, καὶ τὸ τρίτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἐνιαυτῷ (φησὶ) πρεσβύτερος ὢν Σωκράτους. εἴη ἂν ἐν καὶ Ἀρχέλαον τὸν Ἀναξαγόρου μαθητὴν, καὶ τὸν περὶ Οἰνοπίδην. καὶ γὰρ τούτου μέμνηται. μέμνηται δὲ καὶ περὶ τῆς τοῦ ἑνὸς δόξης τῷ περὶ Παρμενίδου καὶ Ζήνωνα, ὡς κατ' αὐτὴν μάλιστα διαβεβοημένων· καὶ Πρωταγόρου τοῦ Ἀβδηρίτου, ὃς ὁμολογεῖται κατὰ Σωκράτην γεγονέναι.

Φησὶ δὲ Ἀθηνόδωρος ἐν ἡ Περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν, κελεῦσαι κομισθῆναι γάλα, καὶ θεασάμενον τὸ γάλα, εἰπεῖν, εἶναι αἰγὸς πρωτοτόκου καὶ μελαίνης. ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι αὐτὴν, Χαῖρε κόρη· τῇ δ' ἐχομένῃ, Χαῖρε γύναι. καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη.

Τελευτῆσαι δὲ τὸν Δημόκριτον φησιν Ἕρμιππος τοῦτον τὸν τρόπον. ἤδη ὑπέργηρων ὄντα, πρὸς τῷ κατασρέφειν εἶναι. τὴν ἐν ἀδελφῇ λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι, καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴν ἐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καὶ

κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι· τοὺς δὴ ταῖς ῥίσι προσφέρων, διεκράτησεν αὐτὸν τὴν ἑορτήν. ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι (ἕξεις δὲ ἦσαν) ἀλυπότατα τὸν βίον προήκατο, ὥς φησιν Ἵππαρχος, ἐνενήκοντα πρὸς τοῖς ἑκατὸν ἔτη βιούς. ἡμεῖς τε εἰς αὐτὸν ἐν τῇ παμμέτρῳ τοῦτον ἐποιησάμην τὸν τρόπον,

Καί τις ἔφυ σοφὸς ὧδε, τίς ἔργον ἔρεξε πελώτον,
Ὅσσον ὁ παντοδαὴς μειλίσσετο Δημόκριτος;
Ὅς θαλάσσης παρεόντα τεῖ ἤματα δῶμασιν ἔσχε,
Καὶ θερμοῖς ἄρτων ἄθμασιν ἐξέσισε.

πιθανὸς μὲν ὁ βίος καὶ δρός.

Δοκεῖ δὲ αὐτῷ πάδε· Ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους, καὶ κενόν· τὰ δ' ἄλλα πάντα νενομίσθαι δοξάζεσθαι. ἀπείρους τε εἶναι κόσμους, καὶ γενητοὺς, καὶ φθαρτούς. μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος· φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. καὶ ὅπως πάντα τὰ συγκρίματα γενιᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συσήματα· ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. τὸν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων δινῶν καὶ τῶν ἁρμονικῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως· ὃ καὶ νοῦν, ταὐτὸν εἶναι. ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις. πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. τέλος δὲ εἶναι τὴν εὐθυμίαν, ἣ τὴν αὐτὴν οὖσαν τῇ εὐδαιμονίᾳ, ὡς οἱ πλείους ἐφαντάσθησαν ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς παραπομπὴν φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ, καὶ πολλοῖς ἄλλοις ὀνόμασι.

μασι· ποιητὰ δὲ νόμιμα εἶναι. φύσει δὲ ἄτομα καὶ κενόν. καὶ ταῦτα μὲν αὐτῷ ἐδόκει.

Τὰ δὲ βιβλία αὐτὸς καὶ Θρασύλλος ἀναγέγραφε κατὰ τάξιν ἕπως, ὥσπερεὶ καὶ τὰ Πλάτωνος, κατὰ τετραλογίαν. ἔστι δὲ ἠθικὰ μὲν, τάδε· Πυθαγόρης, Περὶ τῆς τῶ σοφῶ διαθέσεως, Περὶ τῆς ἐν ᾅδε, Τελεταγόρεια (τοῦτο δέ ἐστιν, ὅτι ζῶα γίνεται ἐξ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα σωμέχει) Περὶ ἀνδραγαθίας, ἢ Περὶ ἀρετῆς, Ἀληθείας κέρας, Περὶ εὐθυμίας, Γνωμικὰ ἢ οἰκεῖα. ἢ γὰρ ἐνεστὼ ἐκ εὐέστεται. καὶ ταῦτα μὲν τὰ ἠθικά. φυσικὰ δὲ, τάδε· Μέγας Διάκοσμος, ἔν οἱ περὶ Θεόφραστον Λεύκιππος φασὶν εἶναι· Μικρὸς Διάκοσμος, Κοσμογραφίη, Περὶ τῆς πλανήτων. Περὶ φύσεως ὡρῶν. Περὶ ἀνθρώπου φύσεως, ἢ Περὶ σαρκὸς, β'. Περὶ νεῦ. Περὶ αἰσθήσεων. ταῦτά τινες ὁμῶς γράφοντες, Περὶ ψυχῆς ὑπογράφουσι. Περὶ χυμῶν. Περὶ χροῶν. Περὶ τῆς διαφερόντων ῥυσμῶν. Περὶ ἀμεταῤῥύσμιων, Κρατυστήρια, ὅπερ ἐστὶν ὑπομνηματικὰ τῆς προειρημένων. Περὶ εὐδαίμονος, ἢ Περὶ φρονήσιος. Περὶ λοιμῶν κανὼν, α', β', γ'. Ἀποῤῥημάτων. ταῦτα καὶ περὶ φύσεως. τὰ δὲ ἀσυνταχτα, ἐστὶ τάδε. Αἰτίαι ἐρανίαι. Αἰτίαι ἀέριοι. Αἰτίαι ὑπίπεδοι. Αἰτίαι περὶ πυρὸς καὶ τῆς ἐν πυρί. Αἰτίαι περὶ φωνῶν. Αἰτίαι περὶ σπερμάτων, καὶ φυτῆς, καὶ καρπῶν. Αἰτίαι περὶ ζώων, γ'. Αἰτίαι σύμμικτοι. Περὶ τῆς λίθος. ταῦτα καὶ τὰ ἀσυνταχτα. μαθηματικὰ δὲ τάδε. Περὶ διαφορᾶς γνώμης, ἢ Περὶ διαύσεως κύκλου καὶ σφαίρας, Περὶ γεωμετρίας. Γεωμετρικόν. Ἀριθμοί. Περὶ ἀλόγων γραμμῶν καὶ στερεῶν, β'. Ἐπιπεδόμαπα. Μέγας ἐνιαυτὸς, ἢ ἀστρονομίη. Παράπηγμα. Ἄμιλλα. Κλεψύδρας. Οὐρανογραφίη. Γεωγραφίη. Πολογραφίη. Ἀκτινογραφίη.

τοσαῦτα καὶ τὰ μαθηματικά. μυστικὰ δὲ τάδε. Περὶ ῥυθμῶν καὶ ἁρμονίης. Περὶ ποιήσεως. Περὶ καλλασύνης ἐπέων. Περὶ εὐφώνων καὶ δυσφώνων γραμμάτων. Περὶ Ὀμήρε, ἢ ὀρθοεπείης, καὶ γλώσσεων. Περὶ ἀοιδῆς. Περὶ ῥημάτων. Ὀνομαστικόν. τοσαῦτα καὶ τὰ μυστικά. τεχνικὰ δὲ τάδε· Πρόγνωσις. Περὶ διαίτης, ἢ Διαιητικόν, ἢ ἰατρικὴ γνώμη. Αἰτίαι αἱ περὶ ἀκαιρίων καὶ ὀπακαιρίων. Περὶ γεωργίης, ἢ Γεωμετρικόν. Περὶ ζωγραφίης, Τακτικόν, καὶ Ὁπλομαχικόν. τοσαῦτα καὶ τάδε. τάττουσι δέ τινες κατ' ἰδίαν ἐκ τῆς ὑπομνημάτων καὶ ταῦτα. τὸ Περὶ τῆς ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων. Περὶ τῆς ἐν Μερόῃ ἱερῶν γραμμάτων. Περὶ ἱστορίης. Χαλδαϊκὸς λόγος. Φρύγιος λόγος. Περὶ πυρείης, καὶ τῶν ἀπὸ νόσε βιασόντων, Νομικὰ αἴτια, Χερνικὰ, ἢ Προβλήματα. τὰ δ' ἄλλα ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτὸν, τὰ μὲν ἐκ τῶν αὐτῦ διεσκεύασαι, τὰ δ' ὁμολογουμένως ἐσὶν ἀλλότρια. ταῦτα καὶ περὶ τῶν βιβλίων αὐτῦ, καὶ τοσαῦτα.

Γεγόνασι δὲ Δημόκριτοι ἕξ. πρῶτος, αὐτὸς ὗτος. δεύτερος, Χῖος μυστικὸς, κατὰ τὸν αὐτὸν χρόνον. τρίτος, ἀνδριαντοποιὸς, ὃν μέμνηται Ἀντίγονος. τέταρτος, περὶ τὸ ἱερὸν τὸ ἐν Ἐφέσῳ γεγραφὼς, καὶ τῆς πόλεως Σαμοθράκης. πέμπτος, ποιητὴς ὀπογραμμάτων σαφὴς καὶ ἐνθυμός. ἕκτος, Περγαμηνὸς, ἀπὸ ῥητορικῶν λόγων.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΠΡΩΤΑΓΟΡΑΣ.

ΠΡωταγόρας Ἀρτέμωνος, ἢ (ὡς Ἀπολλόδωρος ἐν Δίωνι ἐν Περσικοῖς) Μαιανδρίε, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων· (ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτὸν) ὡς δ' Εὔπολις ἐν Κόλαξι, Τήϊος. φησὶ γάρ,

Ἔνδοθι μὲν ὄζει Πρωταγόρας ὁ Τήϊος.

ἔτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησὶ, βαρύφωνον εἶναι τὸν Πρόδικον.

Δικήσας δὲ ὁ Πρωταγόρας Δημοκρίτε, ἐκαλεῖτό τε σοφία, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ.

Πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος, ἀντικειμένους ἀλλήλοις· οἷς καὶ σωκρώτε, πρῶτος τέτο πράξας· ἀλλὰ καὶ ἤρξατό πε τέτον τὸν τρόπον· Παντων χρημάτων μέτρον, ἄνθρωπος· τῶν μὲν ὄντων, ὡς ὄζι· τῶν δὲ οὐκ ὄντων, ὡς οὐκ ἔστιν. ἔλεγέ τε μηδὲν εἶναι ψυχῶν παρὰ τὰς αἰσθήσεις (καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ) καὶ πάντα εἶναι ἀληθῆ. καὶ ἀλλαχῆ δὲ τέτον ἤρξατο τὸν τρόπον, Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι, οὔθ' ὡς εἰσὶν, οὔθ' ὡς οὐκ εἰσίν. πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης, καὶ βραχὺς ὢν ὁ βίος τε ἀνθρώπε. Διὰ ταύτην δὲ τὴν ἀρχὴν τε συγγράμματος ἐξεβλήθη παρὰ Ἀθηναίων· καὶ τὰ βιβλία αὐτε κατέκαυσαν ἐν τῇ ἀγορᾷ, ὑπὸ κήρυκα ἀναλεξάμενοι παρ' ἑκάστε τῶν κεκτημένων.

Οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη λόγου διώρισε, καὶ καιρὸν δυώδεκα ἐξέθετο, καὶ λόγων ἀγῶνας ἐποιήσατο, καὶ σόφισμα τοῖς πραγματολογέσι προσήγαγε. καὶ τῷ διανοίαν ἀφεὶς, πρὸς τὸ νόημα διελέχθη, καὶ τὸ νῦν ὑπόλοιπον γένος τῷ εἰσικῶ ἐφύτευσεν. ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ,

Πρωταγόρης τ' ὀπάμικτος ἐριζέμεναι εὖ εἰδώς.

ἔτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνησε, καὶ τὸν Ἀντιθετικὸν λόγον, τὸν πειράσθαι ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, ἔτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ. καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ὑπαιρήσεις, ὡς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῷ πρὸς Χρύσιππον. καὶ πρῶτος τῷ καλαμῷ τύλῳ, ἐφ' οἷς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὡς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ παιδείας. φορμοφόρος δ' ἦν, ὡς καὶ Ἐπικράτης φησί. καὶ τοῦτον τὸν τρόπον ἦρθη πρὸς Δημόκριτον, ξύλα δεδεκὼς ὀφθείς. διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα· διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. οἱ δὲ, εἰς ἑπτά· διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολὴν, ἀπαγγελίαν, διάλυσιν, κλῆσιν, ἃς καὶ πυθμένας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησί· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.

Πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν περὶ θεῶν, ὃν τῷ ἀρχῷ αἴρω παρεθέμεθα. ἀνέγνω δὲ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ, ἢ (ὥς τινες) ἐν τῇ Μεγακλείδου· ἄλλοι, ἐν Λυκείῳ, μαθητοῦ τῷ φωνῷ αὐτῷ χρήσαντος Ἀρχαγόρᾳ τῷ Θεοδότου. κατηγόρησε δὲ αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων. Ἀριστοτέλης δ' Εὐαθλόν φησιν.

Ε'σι

Ε'σι δὲ τὰ σωζόμενα αὐτῦ βιβλία τάδε. Τέχνη ἐριστικῶν. Περὶ πάλης. Περὶ τῆς μαθημάτων. Περὶ πολιτείας. Περὶ φιλοτιμίας. Περὶ ἀρετῶν. Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως. Περὶ τῆς ἐν ᾅδε. Περὶ τῆς ἐκ ὀρθῶς τοῖς ἀνθρώποις διαιρουμένων. Προακτικός. Δίπλη ὑπὲρ μισθῦ. Ἀντιλογιῶν δύο. ἡ μὲν αὐτῆς τὰ βιβλία. γέγραφε δὲ ἡ Πλάτων εἰς αὐτὸν διάλογον.

Φησὶ δὲ Φιλόχορος πλέοντος αὐτῦ εἰς Σικελίαν, τὴν ναῦν καταποντισθῆναι, καὶ τῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῇ Ἰξίονι. εἶναι γὰρ τὸν ὁδὸν τελευτῆσαι αὐτὸν, βιώσαντα ἔτη πρὸς τοῖς ἑβδομήκοντα. Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα· σοφισεῦσαι δὲ πεντεκαίδεκα ἔτη, καὶ ἀκμάζειν κατὰ τὴν πεντηκοστὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἔστι δὲ εἰς τῦτον ἡμῶν ὕπως ἔχον,

Καί σε Πρωταγόρη φάτιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
Ἐκ ποτ' ἰὼν, καθ' ὁδὸν, πρέσβυς ἐὼν, ἔθορις.
Εἶλεο γάρ σε φυγεῖν Κέκροπος πόλις· ἀλλὰ σὺ μᾶλλον
Παλλάδος ἄσυ φύγες, πλεκτέα δ' ἐκ ἔφυγες.

Λέγεται δέ ποτε αὐτὸν ἀπαιτῆντα τὸν μισθὸν Εὐαθλον τὸν μαθητὴν, ἐκεῖνα εἰπόντος, Ἀλλ' ἀδέπω νενίκηκα, εἰπεῖν, Ἀλλ' ἐγὼ μὲν οὐ νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με ἔδει· ἐὰν δὲ σὺ, ὅτι σύ.

Γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας, ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων ὑπόμνημα ἔγραψε· καὶ ῥήτωρ, Σπεικὸς φιλόσοφος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΔΙΟΓΕΝΗΣ Ὁ ΑΠΟΛΛΩΝΙΑΤΗΣ.

Διογένης, Ἀπολλοθέμιδος, Ἀπολλωνιάτης, ἀνὴρ φυσικὸς καὶ ἄγαν εὐλόγιμος. ἤκμασε δὲ (φησὶν Ἀντισθένης) Ἀναξιμένους. ἦν δὲ ἐν τοῖς χρόνοις καὶ Ἀναξαγόρου. τὸν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ, σχεδὸν μέγαν φθόνον μικρὸν κινδυνεῦσαι Ἀθηναίοις.

Ἔδοξε δὲ αὐτῷ τάδε. Στοιχεῖον εἶναι τὸν ἀέρα. κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον. τόν τε ἀέρα, πυκνούμενον καὶ ἀραιούμενον, χρηστικὸν εἶναι τῶν κόσμων. ὧδε δὲ ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ὧδε εἰς τὸ μὴ ὂν φθείρεσθαι. τῷ γὰρ, προσχύλλειν, ἀπρεπισμένῳ ἐν τῷ μέσῳ, τῷ σύστασιν εἰληφέναι καὶ τὴν ἐκ τοῦ θερμοῦ φοράν, καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ. ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος ἥδε, Λόγου παντὸς ἀρχόμενον, δοκεῖ μοι χρεὼν εἶναι τινὰ ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι. τὴν δὲ ἑρμηνείαν, ἁπλῆν καὶ σεμνήν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

ΑΝΑΞΑΡΧΟΣ.

Ἀνάξαρχος, Ἀβδηρίτης. ἅτος δίκαιος Διομήδης τῆς Σμυρναίης· οἱ δὲ, Μητροδώρᾳ τῷ Χίῳ, ὃς ἔλεγε μηδὲ αὐτὸ τοῦτο εἰδέναι ὅτι οὐδὲν οἶδε. Μητρόδωρος δὲ, Νέαρχῳ τῷ Χίῳ, οἱ δὲ Δημοκρίτῳ φασὶν ἀκοῦσαι.

Οὗτος δ' ἐν Ἀνάξαρχος ἐν Ἀλεξάνδρῳ συνὼν, ἐν ἤγαγε ἐπὶ τὴν δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα, καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα, τὸν Κύπρου τύραννον. καί ποτε ἐν συμποσίῳ τῷ Ἀλεξάνδρῳ ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ δεῖπνον; εἰπεῖν φασιν, Ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σαρδάπου τινὸς παρατεθεῖσθαι· ὑπορρίπτων πρὸς τὸν Νικοκρέοντα· ὁ δὲ, μνησικακήσας, μετὰ τὴν τελευτὴν τοῦ βασιλέως, ὅτε πλέων ἀκουσίως προσωρμίσθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν ἐν εἰς ὅλμον βαλὼν, ἐκέλευσε σιδηροῖς ὑπείροις τύπτεσθαι. τὸν δὲ, ὑπερφρονήσαντα τῆς τιμωρίας, εἰπεῖν ἐκεῖνο δὴ τὸ ᾠφελημένον, Πτίασε τὸν Ἀνάξαρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις. κελεύσαντος δὲ τοῦ Νικοκρέοντος ἐν τιὼ γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποφαγόντα ἐμπτύσαι αὐτῷ. ἐν ἔστιν ἡμῶν εἰς αὐτὸν ἔπος,

Πτίασεπε μᾶλλον, ἔτι κἂν μᾶλλον, θύλακός ἐστι.
Πτίασετ'· Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι.
Καί σε χρεὼν εἶναι λιγέως δυσνεφῆ πάρος λέξει
Ῥῆμαπε Περσεφόνη, ἔρρε μυλωθρὲ κακέ.

Οὗ-

Οὕτως διὰ τὴν ἀπάθειαν καὶ δυσκολίαν τοῦ βίου, Εὐδαιμονικὸς ἐκαλεῖτο· καὶ λιὰν ἐκ τοῦ ῥᾴστου δυνατὸς σωφρονίζειν. τὸν γοῦν Ἀλέξανδρον, οἰόμενον εἶναι θεὸν, ἐπέτρεψεν. ἐπειδὴ δὲ ἔκτινος πληγῆς εἶδεν αὐτῷ καταῤῥέον αἷμα, δείξας τῇ χειρὶ πρὸς αὐτὸν φησι.

Τοῦτὶ μὲν αἷμα, καὶ ἐχ ἰχὼρ
- - - - οἷος πέρτε ῥέει μακάρεσσι θεοῖσι.

Πλούταρχος δὲ αὐτὸν Ἀλέξανδρον τοῦτο λέξαι πρὸς τοὺς φίλους φησίν. ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον, δεῖξαι τινὶ κύλικα, καὶ εἰπεῖν,

Βληθήσεται δὴ θεῶν βροτησίᾳ χειρί.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

ΠΥΡΡΩΝ.

Πύῤῥων, Ἠλεῖος, Πλειστάρχου μὲν ἦν υἱὸς, καθά καὶ Διοκλῆς ἱστορεῖ.

Ὧν φησι δὲ Ἀπολλόδωρος ἐν χρονικοῖς, πρότερον ἦν ζωγράφος, καὶ ἔπεσε Δρύσωνος τοῦ Στίλπωνος, ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς. εἶτα Ἀναξάρχῳ ξυνακολουθῶν πανταχοῦ, ὥστε καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμῖξαι, καὶ τοῖς Μάγοις.

Ὅθεν μᾶλλον δοκεῖ φιλοσοφῆσαι, τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσαγαγών, ὡς Ἀινησιδήμος ὁ Ἀβδηρίτης φησίν. οὐδὲν γὰρ ἔφασκεν εἶναι καλὸν, οὐδὲ αἰσχρὸν, οὐδὲ δίκαιον, οὐδὲ ἄδικον. καὶ ὁμοίως ἐπὶ πάντων,

πων, μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τὰς ἀνθρώπους πράττειν· ὑ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον. ἀκόλουθος δ' ὢν καὶ τῷ βίῳ, μηδὲν ἐκφεύγων, μηδὲ φυλαττόμενος, ἅπαντα ὑφιστάμενος, ἀμάξας, εἰ τύχοι, καὶ κρημνὸς, καὶ κυνὰς, καὶ ὅσα τοιαῦτα, μηδὲν ταῖς αἰσθήσεσιν ὑπείκων. σώζεσθαι μέντοι (καθάφασιν οἱ περὶ τὸν Καρύστιον Ἀντίγονον) ὑπὸ τῶν γνωρίμων παρακολουθούντων. Αἰνησίδημος δέφησι φιλοσοφεῖν μὲν αὐτὸν κατὰ τὸν τῆς ἐποχῆς λόγον, μὴ μέντοι γε ἀπροράτως ἕκαστα πράττειν. ὁ δὲ πρὸς τὰ ἐνεστηκότα ἔτι κατεβίω.

Ἀντίγονος δέφησιν ὁ Καρύστιος, ἐν τῷ περὶ Πύρρωνος, τάδε περὶ αὐτοῦ· ὅτι τὴν ἀρχὴν ἄδοξός τε ἦν καὶ πένης, καὶ ζωγράφος· σώζεσθαί τε αὐτὸν ἐν Ἤλιδι ἐν τῷ γυμνασίῳ λαμπαδίσας, μεγίως ἔχοντας. ἐκπατεῖν τε αὐτὸν, καὶ ἐρημάζειν, σπανίως ποτὲ φαινόμενον τοῖς οἴκοι. τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἀνδρέτινος ὀνειδίζοντος Ἀναξάρχῳ, ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι ἕτος ἀγαθὸν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. ἀεί τε εἶναι ἐν τῷ αὐτῷ καταστήματι· ὥστε εἴ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτὸν διαπεραίνειν τὸν λόγον· καίτοι κεκινημένον ὄντα ἐν νεότητι. πολλάκις (φησὶ) καὶ ἀπεδήμει, μηδενὶ προειπών, καὶ σωρεπορεύετο οἷς τισιν ἤθελεν. καί ποτε Ἀναξάρχου ἐς τέλμα ἐμπεσόντος, παρῆλθεν καὶ βοηθήσας. τινῶν δὲ αἰτιωμένων, αὐτὸς Ἀνάξαρχος ἐπήνει τὸ ἀδιάφορον καὶ ἄσοργον αὐτοῦ. καταταλιφθεὶς δέ ποτε καὶ ἑαυτῷ λαλῶν, καὶ ἐρωτηθεὶς τίνι αἰτίαν, ἔφη, μελετᾶν χρηστὸς εἶναι. σπουδὴ τε ταῖς ζητήσεσιν ὑπ' ἀδόξου κατεφρονεῖτο, διὰ τὸ ἐξοδικῶς λέγειν καὶ πρὸς ἐρώτησιν. ὅθεν καὶ Ναυσιφάνει, ἤδη νεανίσκον ὄντα, ἀπαθῶσαι. ἔφασκε γὰρ γίνεσθαι δεῖν τῆς μὲν διαθέ-

θέσεως τῆς Πυῤῥωνείας· τῷ δὲ λόγων, τῷ ἑαυτῶ. ἔλεγέ τε πολλάκις καὶ Ἐπίκουρον θαυμάζοντα τὸν Πύῤῥωνος ἀπαθρολῶ, συνεχὲς αὐτῶ συνδιατίθεσθαι περὶ αὐτῶ.

Οὕτω δὲ αὐτὸν ὑπὸ τῆς παρρησίας τιμηθῆναι, ὥστε καὶ ἀρχιερέα καταστῆσαι αὐτὸν, καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλειαν ψηφίσασθαι. καὶ δὴ καὶ ζηλωτὰς εἶχε πολλοὺς τῆς ἀπραγμοσύνης. ἔθος καὶ ὁ Τίμων περὶ αὐτῶ φησὶν ὅπως ἐν τῷ Πύθωνι, καὶ ἐν τοῖς Σίλλοις,

Ὦ γέρον, ὦ Πύῤῥων πῶς ἢ πόθεν ἔκδυσιν εὗρες
Λαῤῥείης, δοξῶν τε κενοφροσύνης τε σοφιστῶν;
Καὶ πάσης ἀπάτης; πειθοῦς τ' ἀπελύσαο δεσμά;
Οὐδὲ μέλεισοί ταῦτα μεταλλήσειν, τίνος αὖραι
Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὃ κυρεῖ τὰ ἕκαστα;

καὶ πάλιν ἐν τοῖς Ἰνδαλμοῖς,

Τὸν μοι, ὦ Πύῤῥων, μεῖρεται ἦτορ ἀκοῦσαι,
Πῶς ποτ' ἀνὴρ ἔτ' ἄγεις ῥᾳδίαν μετ' ἀσυχίας,
Μοῦνος ἐν ἀνθρώποισι θεὸς τρόπον ἡγεμονεύων;

Ἀθηναῖοι δὲ καὶ πολιτείᾳ αὐτὸν ἐτίμησαν, (καθά φησι Διοκλῆς) ἐπὶ τῷ Κότυν τὸν Θρᾷκα βλασφημῆσαι.

Εὐσεβῶς δὲ καὶ τῇ ἀδελφῇ συνεβίω μαίᾳ οὔσῃ, καθά φησιν Ἐρατοσθένης ἐν τῷ περὶ πλούτου καὶ πενίας, ὅτι καὶ ὅπου φέρων εἰς τὴν ἀγορὰν ὀπώρασκον ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια· καὶ τὰ ὑπὸ τῆς οἰκίας καθάροι ἀδιαφόρως. λέγεται δὲ καὶ δέλφακα λύειν αὐτὸς ὑπὸ ἀδιαφορείας. καὶ χολήσας τι περὶ τῆς ἀδελφῆς, (φιλήσα δὲ ἐκα-

ἐκαλεῖτο) πρὸς τὸν λαβόμενον εἰπεῖν, ὡς ἐκ ἐν γυναίῳ ἡ ἐπίδειξις τῆς ἀδιαφορίας. καὶ κυνός ποτε ἐπισεχθέντος διασοβηθέντα, εἰπεῖν πρὸς τὸν αἰτιασάμενον, ὡς χαλεπὸν εἴη ἐλοχερῶς ἐκδῦναι ἄνθρωπον· διαγωνίζεσθαι δὲ, ὡς οἷόν τε, πρῶτον μὲν τοῖς ἔργοις πρὸς τὰ πράγματα· εἰ δὲ μή, τῷ γε λόγῳ. φασὶ δὲ καὶ σηπτικῶν φαρμάκων, καὶ τομῶν, καὶ καύσεων ὑπ' τινος ἕλκους αὐτῷ προσενεχθέντων, ἀλλὰ μηδὲ τὰς ὀφρῦς συναγαγεῖν. καὶ ὁ Τίμων δὲ διαφαρεῖ τῇ διαθέσει αὐτῶν, ἐν οἷς πρὸς Πύθωνα διέξεισιν. ἀλλὰ καὶ Φίλων ὁ Ἀθηναῖος, γνώριμος αὐτῶν γεγονὼς, ἔλεγεν ὡς ἐμέμνητο μάλιστα μὲν Δημοκρίτου, εἶτα δὲ καὶ Ὁμήρου, θαυμάζων αὐτὸν, καὶ συνεχὲς λέγων,

Οἷη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

καὶ ὅτι φησὶ καὶ μυίαις καὶ ὀρνέοις εἰκάζει τοὺς ἀνθρώπους. προσφέρεσθαι δὲ καὶ ταῦτα,

Ἀλλὰ φίλος, θάνε καὶ σύ. τίη ὀλοφύρεαι αὔτως;

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

καὶ ὅσα συντείνει εἰς τὸ ἀβέβαιον, καὶ κενόσπουδον ἅμα καὶ παιδαριώδες τῶν ἀνθρώπων. Ποσειδώνιος δὲ καὶ πιθανότι διέξεισι περὶ αὐτῶν. τῷ γὰρ ἐμπλεόντων ἐσκυθρωπακότων ὑπὸ χειμῶνος, αὐτὸς γαλήνιος ὢν ἀπέρρωσε τὴν ψυχὴν, δείξας ἐν τῷ πλοίῳ χοιρίδιον ἐθέλον, καὶ εἰπὼν, ὡς χρὴ τὸν σοφὸν ἐν τοιαύτῃ καθεσταίαι ἀταραξίᾳ. μόνος δὲ Νεμήνιος καὶ δογματίσαι φησὶν αὐτόν.

Τούτῳ πρὸς τοῖς ἄλλοις καὶ μαθηταὶ γεγόνασιν ἐλλόγιμοι,

γιμοι, ὧν Εὐρύλοχος· ὃ φέρεται ἐλάσωμα τόδε. φασὶ γὰρ ὡς ὅπω παρωξυνθη ποτὲ, ὥστε τὸν ὀβελίσκον ἆρας μετὰ τῆς κρεῶν, ἕως τῆς ἀγορᾶς ἐδίωκε τὸν μάγειρον. καὶ ἐν Ἠλιδι καταπονέμενος ὑπὸ τῆς ζητήσεως ἐν τοῖς λόγοις, ἀπορρήξας ἱμάτιον, διεκήρυξε τὸν Ἀλφειόν. ἦν δὲ πολεμιώτατος τοῖς σοφισταῖς, ὡς καὶ Τίμων φησίν. ὁ δὲ Φίλων τὰ πλεῖστα διελέγετο· ὅθεν καὶ περὶ τούτου φησίν ἔπος,

Ἦ τὸν ἀπαίθρωπον, καὶ ἀπόσχολον, αὐτολαλητὸν,
Οὐκ ἐμπαζόμενον δόξης εἰδόντε, Φίλωνα.

πρὸς τούτοις διήκουσε τῶν Πύρρωνος Ἐναταῖός τε ὁ Ἀβδηρίτης, καὶ Τίμων ὁ Φλιάσιος ὁ τὰς σίλλους πεποιηκὼς, περὶ ἃ λέξομεν. ἔτι τε Ναυσιφάνης Τήϊος, ἃ φασί τινες ἀκοῦσαι Ἐπίκουρον.

Οὗτοι πάντες Πυρρώνειοι μὲν ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοὶ δὲ καὶ σκεπτικοὶ, καὶ ἔτι ἐφεκτικοὶ, καὶ ζητητικοὶ, ἀπὸ τοῦ οἷον δόγματος προσηγορεύοντο. ζητητικὴ μὲν ἦν φιλοσοφία, ἀπὸ τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν· σκεπτικὴ δὲ, ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ, καὶ μηδέποτε διείσκειν· ἐφεκτικὴ δὲ, ἀπὸ τοῦ μὴ τὴν ζήτησιν πάθος, λέγω δὲ τὴν ἐποχήν· ἀπορητικὴ δὲ, ἀπὸ τοῦ τὰς δογματικὰς ἀπορεῖν καὶ αὐτάς. Πυρρώνειοι δὲ, ἀπὸ Πύρρωνος. Θεοδόσιος δὲ ἐν τοῖς σκεπτικοῖς κεφαλαίοις, φησὶ δεῖν Πυρρώνειον καλεῖσθαι τὸν σκεπτικόν. εἰ γὰρ τὸ καθ' ἑκάτερον κίνημα τῆς διανοίας ἀληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὸν Πύρρωνος χαρακτῆρα. μὴ εἰδότες δὲ, ὅ Πυρρώνειοι καλοίμεθ' ἄν. Πρὸς τὸ μηδὲ πρῶτον δύνασθαι τὸν σκεπτικὸν Πύρρωνα, μηδὲ ἔχειν τι δόγμα. λέγοιτο δ' ἂν Πυρρώνειος ὁμοιοτρόπως. ταύτης δὲ τῆς αἱρέ-

αἱρέσεως ἐνιοί φασιν Ὅμηρον κατάρξαι. ἐπεὶ καὶ τῆδ αὐτῶν πραγμάτων παρ' ὁντιν' ἄλλοτε ἄλλως ὑποφαίνεται, καὶ οὐδὲν δεινῶς δογματίζει περὶ τινὶ ὑποφασιν. ἐπεὶ καὶ τὰ τῆδ ἐπτὰ σοφῶν, σκεπτικὰ εἶναι· οἷον τὸ, Μηδὲν ἄγαν· καὶ, Ἐγγύα, πάρα δ' ἄτα. δηλοῦσθαι τῷ βεβαίως καὶ πεπεισμένως διεγγυωμένῳ ἐπακολουθεῖν ἄτῃ. ἀλλὰ καὶ Ἀρχίλοχον καὶ Εὐριπίδην σκεπτικῶς ἔχειν, ἐν οἷς Ἀρχίλοχος μέν φησι,

Τοῖος ἀνθρώποισι νόος, Γλαῦκε, Λεπτίνεω παῖ,
Γίνεται θνητοῖς οἷόν Ζεὺς ἐφ' ἡμέρῃ ἄγει.

Εὐριπίδης δέ,

Τί δῆτα τοὺς τοὺς παλαιπώρους χρεὼν
Βροτοὺς λέγουσι; σοὶ γὰρ ἐξηρτήμεθα,
Δρῶμέν τε τοιαῦθ' ἃ σύ γε τυγχάνεις θέλων.

ἐμοὶ μὲν ἀλλὰ καὶ Ξενοφάνης, καὶ Ζήνων ὁ Ἐλεάτης καὶ Δημόκριτος, κατ' αὐτὸν σκεπτικοὶ τυγχάνουσιν. ὧν οἷς Ξενοφάνης μέν φησι,

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν, οὐδέ τις ἔσται
Εἰδώς.

Ζήνων δὲ τὴν κίνησιν αἱρεῖ, λέγων· Τὸ κινούμενον οὔτε ἐν ᾧ ἐστὶ τόπῳ κινεῖται, οὔτε ἐν ᾧ μὴ ἔστι. Δημόκριτος δὲ τὰς ποιότητας ἐκβάλλων· ἵνα φησὶ, Νόμῳ γλυκὺ, νόμῳ θερμόν. αἰτίη δὲ ἄτομα καὶ κενόν. καὶ πάλιν, Αἰτίη δὲ ἐόντων ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια. καὶ Πλάτωνα τὸν μὲν ἀληθῆ θεοῖς τε καὶ θεῶν παισὶν ἐκχωρεῖν· τὸν δὲ εἰκότα λόγον ζητεῖν· καὶ Εὐριπίδην λέγειν,

Τίς δ' οἶδεν εἰ τὸ ζῆν μὲν ὄντι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν νομίζεται βροτοῖς;

ἀλλὰ καὶ Ἐμπεδοκλέα ἔπος· ἐπεὶ καὶ δ' ὁρατὰ πάσ' ἀνδράσιν, ἔτ' ἐπακτά, ἔτε νόῳ ἁρμὸν ἔχοντα. καὶ ἐπαίων· Αὐτὸ μόνον πείθειν τῷ προσέχυρσεν ἕκαστος. ἔτι μὴν Ἡράκλειτον, Μὴ εἶναι τῶν περὶ τοῦ μεγίστων συμβαλώμεθα. καὶ Ἱπποκράτην ἔπειτα ἐνδιαιτᾶσθαι καὶ ἀνθρωπίνως ὑποφαίνεσθαι. καὶ περὶ Ὄμηρον,

Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτοῖσι, πολλὲς δ' ἐνὶ μῦθοι.

Καὶ,

- - - - ἐπέων δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα.

Καὶ,

Ὁπποῖόν κ' εἴπῃθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

τὴν ἰσοθένειαν λέγων καὶ ἀντίθεσιν τῶν λόγων. διετέλων δὲ οἱ σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀναῤῥέποντες, αὐτοὶ δὲ οὐδὲν ὑποφαίνοντες δογματικῶς. ἕως δὲ τὸ προφέρεσθαι τὰ τῶν ἄλλων, καὶ δυνατεῖσθαι, μηδὲν ὁρίζοντες, μηδ' αὐτὸ τοῦτο. ὥσε καὶ τὸ μὴ ὁρίζειν ἀόριστον, λέγοντες· οἷον, Οὐδὲν ὁρίζομαι, (ἐπεὶ ὥριζον ἄν) προφερόμεθα δὲ (φασὶ) τὰς ὑποφάσεις εἰς μίνυσιν τῆς ἀπροπτωσίας. ὡς εἰ καὶ νεύσαντας τοῦτο, ἐνδέχεται δηλῶσαι. διὰ τῆς ἓν Οὐδὲν ὁρίζομαι φωνῆς, τὸ τῆς παῤῥησίας πάθος δηλοῦται· ὁμοίως δὲ καὶ διὰ τῆς Οὐδὲν μᾶλλον, καὶ διὰ τῆς Παντὶ λόγῳ λόγος ἀντίκειται, καὶ ταῖς ὁμοίαις. λέγεται δὲ τὸ Οὐδὲν μᾶλλον, καὶ θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων, οἷον, Οὐδὲν μᾶλλον ὁ

περι-

πειρατὴς κακὸς ἐστιν ἢ ὁ ψεύστης· ὑπὸ δὲ τῶν σκεπτικῶν ὁ θετικῶς ἀλλ' αἱρετικῶς λέγεται. ὡς ὑπὸ τῶν ἀναστρεφόντων καὶ λέγοντος, Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ ἡ Χίμαιρα. αὐτὸ δὲ τὸ μᾶλλον, ποτὲ μὲν συγκεκτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν, Μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὸ σαφίδα· ποτὲ δὲ θετικῶς καὶ αἱρετικῶς, ὡς ὅταν φῶμεν, Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει. σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. αἱροῦσι δὲ οἱ σκεπτικοὶ καὶ αὐτὸ τὸ Οὐδὲν μᾶλλον φωνήν. ὡς γὰρ ὁ μᾶλλόν ἐστι φρόνιμος ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ Οὐδὲν μᾶλλον, ὁ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. σημαίνει δὲ ἡ φωνὴ (καθάφησι καὶ Τίμων ἐν τῷ Πύθωνι) τὸ μηδὲν δεῖζειν, ἀλλὰ ἀπροσδετεῖν. ἡ δὲ Παντὶ λόγῳ φωνὴ, καὶ αὕτη συνάγει τὸν ἐποχήν. τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων, ἀγνωσία τῆς ἀληθείας ἀκολουθεῖ· καὶ αὐτῷ δὲ τούτῳ τῷ λόγῳ λόγος ἀντίκειται· ὃς καὶ ὅτι μὴ τὸ ἀναιρεῖν τοὺς ἄλλους, αὐτὸς ὑφ' ἑαυτοῦ ἀναιρεῖται καθαρτικοῖς; ἃ τῶν ὕλων προσεκκέκαυται, καὶ αὐτὰ ὑπεκκέκαυται καὶ ἐξαπόλυται. πρὸς ὃ φασιν οἱ δογματικοὶ, μὴ αἴρειν τὸν λόγον, ἀλλὰ προσεπιχυρίζειν. μόνον δὲ ἐν ἐγκόνοις ἐχρῶντο τοῖς λόγοις. ἐν γὰρ οἷόντε ἦν μὴ λέγω λόγον ἀναιρεῖν. καθ' ὃν τρόπον εἰώθαμεν λέγειν, τόπον μὴ εἶναι, καὶ δεῖ πάντως τὸν τόπον εἰπεῖν. ἀλλ' ὁ δογματικῶς, ἀποδεικτικῶς δέ. καὶ μηδὲν γίνεσθαι κατ' ἀνάγκην, καὶ δεῖ τὴν ἀνάγκην εἰπεῖν. τοιούτῳ τινὶ τρόπῳ τῆς ἑρμηνείας ἐχρῶντο· οἷα γὰρ φαίνεται τὰ πράγματα, μὴ τοιαῦτα εἶναι τῇ φύσει, ἀλλὰ μόνον φαίνεσθαι. ζητεῖν τε ἔλεγον οὐχ ἅπερ νοοῦσιν (ὅτι γὰρ νοεῖται, δῆλον) ἀλλ' ὧν ταῖς αἰσθήσεσι μετέχουσιν. ἔστιν ἓν ὁ Πυρρώνειος λόγος, μνήμη τῶν φαινομένων,

ἢ τῆς ὑπωσδὴν νοημόνων, καθ' ἣν πάντα πᾶσι συβάλλεται, καὶ συγκεκόμμενα, πολλὴν ἀνωφέλειαν καὶ παραχὴν ἔχοντα εὑρίσκεται, καθάφησιν Αἰνεσίδημος ἐν τῇ εἰς τὰ Πυῤῥώνεια ὑποτυπώσει. πρὸς δὲ τὰς ἐν ταῖς σκέψεσιν ἀντιθέσεις, προαποδεικνύντας καθ' ἃς ἕπεσθαι τὰ πράγματα, καὶ τὰς αὐτὰς αἱρεῖν τῷ φαινομένῃ πίστιν. πείθειν γὰρ τὰδε κατ' αἴσθησιν συμφώνως ἔχοντα, καὶ τὰ μηδέποτε ἢ σπανίως γὲν μεταπίπτοντα, τά τε συνήθη καὶ τὰ νόμοις διεσταλμένα καὶ τέρποντα καὶ τὰ θαυμαζόμενα. ἐδείκνυσαν δὲ ὅτι τῆς ἐναντίων τοῖς πείθεσιν, ἴσας τὰς πιθανότητας.

Αἱ δ' ἀπορίαι κατὰ τὰς συμφωνίας τῆς φαινομένων ἢ νοημόνων, ἃς ἀπεδίδοσαν, ἦσαν καὶ δέκα τρόπος, καθ' ὃς τὸ ὑποκείμενον παρακατέκρινε φαίνεσθαι. τάτες δὲ τὰς δέκα τρόπος καθ' ὃς τίθησιν, εἷς πρῶτος, ὁ διὰ τὰς διαφορὰς τῶν ζώων πρὸς ἡδονὴν, καὶ ἀλγηδόνα, καὶ βλάβην καὶ ὠφέλειαν. συνάγεται δὲ δι' αὐτῶν, τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν προσπίπτειν φαντασίας, καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. τῶν γὰρ ζώων τὰ μὲν χωρὶς μίξεως γίνεσθαι, ὡς τὰ πυρίβια, καὶ ὁ Ἀράβιος φοίνιξ, καὶ εὐλαί· τὰ δ' ἐξ ἑπτλοκῆς, ὡς ἄνθρωποι, καὶ τὰ ἄλλα. καὶ τὰ μὲν ὕπως, τὰ δ' ὕπως συγκέκριται. διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν, ὀξύτατοι· κύνες δὲ, ὀσφρητικώτατοι. εὔλογον δὲν τοῖς διαφόροις τὰς ὀφθαλμὰς, διάφορα καὶ τὰ φαντάσματα προσπίπτειν. καὶ τῇ μὲν αἰγὶ τὸν θαλλὸν εἶναι ἐδώδιμον, ἀνθρώπῳ δὲ, πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν βόφιμον, ἀνθρώπῳ δὲ θανάσιμον· καὶ ὁ ὑπόπατος ὑὶ μὲν ἐδώδιμος, ἵππῳ δὲ ὄ. δεύτερος, ὁ διὰ τὰς τῆς ἀνθρώπων φύσεις, κατὰ ἔθη καὶ συγκρίσεις. Δημοφῶν γ' ὅν ὁ Ἀλεξανδρεὺς ξαπεζοκόμος, ἐν σπιᾷ ἐθάλπετο,

το, ἐν ἡλίῳ δὲ ἐρρίγη. Ἄνδρων δὲ ὁ Ἀργεῖος (ὡς φησιν Ἀριστοτέλης) διὰ τῆς αὐδρὸς Λιβύης ὥδευσεν ἄποπος. καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ γεωργίας, ἄλλος ἐμπορείας ἀρέγεται· καὶ ταὐτὰ ὃς μὲν βλάπτει, ὃς δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον. τέλος, περὶ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. τὸ γὰρ μῆλον, ὁράσει μὲν ὠχρὸν, γεύσει δὲ γλυκὺ, ὀσφρήσει δὲ εὐώδες ὑποπίπτει. καὶ ἡ αὐτὴ δὲ μορφὴ περὶ τὰς διαφορὰς τῶν κατόπτρων ἀλλοία θεωρεῖται. ἀκολουθεῖ δὲ μὴ μᾶλλον εἶναι τοῖον τὸ φαινόμενον, ἢ ἀλλοῖον. τέταρτος, ὁ περὶ τὰς διαθέσεις, καὶ κοινῶς, περὶ παθῶν· οἷον, ὑγίειαν, νόσον, ὕπνον, ἐγρήγορσιν, χαρὰν, λύπην, νεότητα, γῆρας, θάρσος, φόβον, εὐδειαν, πλήρωσιν, μῖσος, φιλίαν, θερμασίαν, ψύξιν· περὶ τὸ πνεῖν, περὶ τὸ πιεσθῆναι τὰς πόρας. ἀλλοῖα δὲ φαίνεται τὰ προσίπτοντα περὶ τὰς ποιὰς διαθέσεις. οὐδὲ γὰρ οἱ μαινόμενοι περὶ φύσιν ἔχουσι. τί γὰρ μᾶλλον ἐκεῖνοι ἢ ἡμεῖς; καὶ γὰρ ἡμεῖς τὸν ἥλιον ὡς ἐσῶτα βλέπομεν. Θέων δὲ ὁ Τιθωρεὺς ὁ Στωϊκὸς, κοιμώμενος περιπάτει ἐν τῷ ὕπνῳ, καὶ Περικλέους δῆλος ἦν τὸ σέγος ἄκρον. πέμπτος, περὶ τὰς ἀγωγὰς, καὶ τὰς νόμους, καὶ τὰς μυθικὰς πίστεις, καὶ τεχνικὰς συνθήκας, καὶ δογματικὰς ὑπολήψεις. ἐν τούτῳ περιέχεται τὰ περὶ καλῶν καὶ αἰσχρῶν, περὶ ἀληθῶν καὶ ψευδῶν, περὶ τῶν ἀγαθῶν καὶ κακῶν, περὶ θεῶν, καὶ χρήσεως, καὶ φθορᾶς τῶν φαινομένων πάντων. τὸ γὰρ αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθὸν, ἄλλοις δὲ κακόν. Πέρσαι μὲν γὰρ οὐκ ἄτοπον ἡγοῦνται, θυγατρὶ μίγνυσθαι· Ἕλληνες δὲ, ἐκθεσμον· καὶ Μασσαγέται μὲν (ὡς φησι καὶ Εὔδοξος ἐν τῇ πρώτῃ τῆς περιόδου) κοινὰς ἔχουσι τὰς γυναῖκας. Ἕλληνες δὲ, οὔ. Κίλικές τε λῃστεῖα ἔχαιρον, ἀλλ' οὐχ Ἕλλη-

λήνες. θεός τε ἄλλοι ἄλλως ἡγοῦνται· καὶ οἱ μὲν προοεῖδαι, οἱ δ' οὔ. θάπτουσι δὲ Αἰγύπτιοι μὲν, παριχεύοντες· Ῥωμαῖοι δὲ καίοντες· Παίονες δὲ, εἰς τὰς λίμνας ῥιπτοῦντες. ὅθεν ωδὲ τἀληθὲς ἡ ἐποχή· ἔκτος, ὁ ωδὲ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς ὁδὸν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτὶ, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. ἡ γὲν πορφύρα διάφορον ὑποφαίνει χρῶμα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ λύχνῳ, καὶ τὸ ἡμέτερον χρῶμα, ἀλλοῖον ὑπὸ τῇ μεσυμβρίᾳ φαίνεται, καὶ ὁ ἥλιος. καὶ ὁ ἐν ἀέρι ὑπὸ δυοῖν κυφιζόμβος λίθος, ἐν ὕδατι ῥᾳδίως μεταπίθεται· ὅτοι βαρὺς ὢν καὶ ὑπὸ τὸ ὕδατος κυφιζόμενος, ἢ ἐλαφρὸς ὢν καὶ ὑπὸ τὸ ἀέρος βαρυνόμβος. ἀγνοεῖται ἓν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ. ἕβδομος, ὁ ωδὲ τὰς ὑποστάσεις καὶ ποιὰς θέσεις, καὶ τὰς τόπους, καὶ τὰ ἐν τοῖς τόποις· κατὰ τὸν τὸν ζόφον τὰ δοκοῦντα εἶναι μεγάλα, μικρὰ φαίνεται· τὰ τετράγωνα, στρογγύλα· τὰ ὀμαλὰ, ἐξοχὰς ἔχοντα· τὰ ὀρθὰ, κεκλασμένα· τὰ ὠχρὰ, ἑτερόχροα. ὁ γὲν ἥλιος ωδὲ τὸ διάστημα πόρρωθεν φαίνεται· καὶ τὰ ὄρη πόρρωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν δὲ ζαχέα. ἔτι ὁ ἥλιος αὐίχων μὲν, ἀλλοῖος· μεσουρανῶν δὲ, οὐχ ὅμοιος. καὶ τὸ αὐτὸ σῶμα ἐν μὴ ἄλσει, ἀλλοῖον· ἐν δὲ ψιλῇ γῇ, ἕτερον. καὶ ἡ εἰκὼν ωδὲ τιὼ ποιὼ θέσιν· ὅ,τε τῆς θελυσερᾶς ζάχνλος, ωδὲ τιὼ στροφιῶ. ἐπεὶ ἓν οὐκ ἔξω τόπων καὶ θέσεων ταῦτα κατανοῆσαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν. ὄγδοος, ὁ παρὰ τὰς ποσότητας αὐτῷ, ἢ θερμότητας ἢ ψυχρότητας, ἢ ταχύτητας ἢ βραδύτητας, ἢ ὠχρότητας, ἢ ἑτεροχροιότητας. ὁ γὲν οἶνος, μέζιος μὲν ληφθεὶς ῥώννυσι, πλεί-

πλείων δὲ παρίησιν· ὁμοίως καὶ ἡ ζοφὴ, καὶ τὰ ὅμοια. ἔννατος, ὁ παρὰ τὸ ἐνδελεχὲς, ἢ ξυνὸν, ἢ σπάνιον· οἱ γὰρ σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται, οὐ θαυμάζονται· διὸ ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται. τὸν ἔννατον Φαβωρῖνος ὄγδοον· Σέξτος δὲ καὶ Αἰνεσίδημος, δέκατον. ἀλλὰ καὶ τὸν δέκατον Σέξτος ὄγδοόν φησι. Φαβωρῖνος δὲ ἔννατον. δέκατος, ὁ κατὰ τινὰ πρὸς ἄλλα σύμβλησιν· καθάπερ τὸ κοῦφον, παρὰ τὸ βαρύ· τὸ ἰσχυρὸν, παρὰ τὸ ἀσθενές· τὸ μεῖζον, παρὰ τὸ ἔλαττον· τὸ ἄνω, παρὰ τὸ κάτω. τὸ γοῦν δεξιὸν, φύσει μὲν οὐκ ἔστι δεξιὸν, κατὰ δὲ τινὰ ὡς πρὸς τὸ ἕτερον σχέσιν νοεῖται. μετατεθέντος γὰρ ἐκείνου, οὐκ ἔσται δεξιόν. ὁμοίως καὶ πατὴρ καὶ ἀδελφὸς, ὡς πρός τι. καὶ ἡμέρα, ὡς πρὸς τὸν ἥλιον· καὶ πάντα ὡς πρὸς τινὰ διάνοιαν. ἄγνωστα δὲ τὰ πρός τι ὡς καθ' ἑαυτά. καὶ ἔστι μὲν οἱ δέκα τρόποι.

Οἱ δὲ περὶ Ἀγρίππαν τούτοις ἄλλους πέντε προσεισάγουσι· τόν τε ἀπὸ τῆς διαφωνίας, καὶ τὸν εἰς ἄπειρον ἐκβάλλοντα, καὶ τὸν πρός τι, καὶ τὸν ἐξ ὑποθέσεως, καὶ τὸν δι' ἀλλήλων. ὁ μὲν οὖν ἀπὸ τῆς διαφωνίας, ὃ ἂν προτεθῇ ζήτημα παρὰ τοῖς φιλοσόφοις ἢ τῇ συνηθείᾳ, πλείσης μάχης καὶ παραχῆς πλήρες ἀποδεικνύει· ὁ δὲ εἰς ἄπειρον ἐκβάλλων, οὐκ ἐᾷ βεβαιοῦσθαι τὸ ζητούμενον, διὰ τὸ ἄλλο ἀπ' ἄλλου τὴν πίστιν λαμβάνειν, καὶ ἄπως εἰς ἄπειρον. ὁ δὲ πρός τι, οὐδέν φησι καθ' ἑαυτὸ λαμβάνεσθαι, ἀλλὰ μεθ' ἑτέρου· ὅθεν ἄγνωστα εἶναι. ὁ δ' ἐξ ὑποθέσεως τρόπος συνίσταται, οἰομένων τινῶν τὰ πρῶτα τῶν πραγμάτων ἀνυπόθετον δεῖν λαμβάνειν ὡς πιστὰ, καὶ μὴ αἰτεῖσθαι· (ὅ ἐστι μάταιον· τὸ ἐναντίον γάρ τις ὑποθήσεται.) ὁ δὲ δι' ἀλλήλων τρόπος συνίσταται, ὅταν τὸ ὀφεῖλον τὸ ζητούμενον πράγματος εἶναι βεβαιωτικὸν, χρείαν ἔχῃ τοῦ ἐκ τοῦ ζητουμένου πίστεως. οἷον, εἰ τὸ

εἶναι πόρους τὰς βεβαίους, διὰ τὸ ἀπορρύσεως γίνεσθαι, αὐτὸ προσλαμβάνει πρὸς βεβαίωσιν τὸ ἀπορρύσεως γίνεσθαι.

Ἀνήρουν δ' ἔτοι καὶ πᾶσαν ἀπόδειξιν, καὶ κριτήριον, καὶ σημεῖον, καὶ αἴτιον, καὶ κίνησιν, καὶ μάθησιν, καὶ γένεσιν, τὸ φύσει τί εἶναι ἀγαθὸν ἢ κακόν· πᾶσα γὰρ ἀπόδειξις (φασὶν) ἢ ἐξ ἀποδεδειγμένων σύγκειται χρημάτων, ἢ ἐξ ἀναποδείκτων. εἰ μὲν ἐξ ἀποδεδειγμένων, καὶκεῖνα δεήσεται τινὸς ἀποδείξεως, κἀντεῦθεν εἰς ἄπειρον. εἰ δὲ ἐξ ἀναποδείκτων, ἤτοι πάντων, ἢ τινῶν, ἢ καὶ ἑνὸς μόνου διαζομένου, καὶ τὸ ὅλον εἶναι ἀναπόδεικτον. εἰ δὲ δοκεῖ (φασὶν) ὑπάρχειν τινὰ, μηδεμιᾶς ἀποδείξεως δεόμενα, θαυμασοὶ τῆς γνώμης, εἰ μὴ συνίασιν ὅτι εἰς αὐτὸ τοῦτο πρῶτον, ὡς ἄρα ἐξ αὐτοῦ ἔχει τὴν πίστιν, ἀποδείξεως χρεία. ὅδε γὰρ τὸ τέτταρα εἶναι τὰ στοιχεῖα, ἐκ τοῦ τέτταρα εἶναι τὰ στοιχεῖα, βεβαιωτέον. πρὸς τῷ, καὶ τῶν κατὰ μέρος ἀποδείξεων ἀπισευμένων ἄπιστον εἶναι καὶ τὴν γενικὴν ἀπόδειξιν. ἵνα τε γνῶμεν ὅτι ἔστιν ἀπόδειξις, κριτηρίου δεῖ· καὶ ὅτι ἐστὶ κριτήριον, ἀποδείξεως δεῖ· ὥστε ἑκάτερα ἀκατάληπτα ἀναπεμπόμενα ἐπ' ἄλληλα. πῶς ἂν ἔν καταλαμβάνοιτο τὰ ἄδηλα, τῆς ἀποδείξεως ἀγνοουμένης; ζητεῖται δὲ ἐκ εἰ φαίνεται τοιοῦτα, ἀλλ' εἰ καθ' ὑπόστασιν ἅπερ ἔχει. ἀνήθεις δὲ τοὺς δογματικοὺς ἀπέφαινεν. τὸ γὰρ ἐξ ὑποθέσεως περαινόμενον, ἀ σκέψεως ἀλλὰ θέσεως ἔχει λόγον· τοιοῦτον δὲ λόγῳ καὶ ὑπὲρ ἀδυνάτων ἐστὶν ὑπειρεῖν. τοὺς δὲ οἰομένους μὴ δεῖν ἐκ τοῦ κατὰ φαίνεσιν κρίνειν ταληθὲς, μηδ' ἐκ τοῦ κατὰ φύσιν νομοθετεῖν, ἔλεγον αὐτοῖς μέγα τοῦ πάντων δείζειν, ἐκ ὁρῶντας ὅτι πᾶν τὸ φαινόμενον, κατὰ ἀντίθεσίν καὶ θέσιν φαίνεται.

ἤτοι

ὅπῃ γὰν πάντα ἀληθῆ ῥητέον, ἢ πάντα ψεύδη. εἰ δ' οὐκ ἔστιν ἀληθῆ, τίνι διακριτέον; ὅτε γὰρ αἰσθήσει τὰ κατὰ αἴσθησιν, πάντων ἴσων αὐτῇ φαινομένων, ὅτε νοήσει, διὰ τίνα αὐτὴν αἰτίαν. ἄλλη δὲ παρὰ ταύτας εἰς ἐπίκρισιν δύναμις οὐχ ὁρᾶται. ὃ ἓν (φασὶ) τῷ τινος διαβεβαιώμενος αἰσθητὰ ἢ νοητὰ, πρότερον ὀφείλει τὰς τῶν ἄλλων δόξας κατασκῆσαι. οἱ μὲν γὰρ ταῦτα, οἱ δὲ ταῦτα ἀνῄρηκασι.) δεῖ δὲ ἢ δι' αἰσθητὰ ἢ νοητὰ κρίνεσθαι. ἑκάτερα δὲ ἀμφισβητεῖται. ὑ τοίνυν δυνατὸν τὰς τῶν αἰσθητῶν ἢ νοητῶν ἐπικρῖναι δόξας, εἴτε διὰ τινὸς ἐν ταῖς νοήσεσι μάχιμου ἀπαιτητέον, πᾶσιν αἱρεθήσεται τὸ μεῖζον, ᾧ δοκεῖ τὰ πάντα διακρίβεσθαι. πᾶν γὰν ἴσον ἡγήσονται. ἔτι φησὶν ὁ συζητῶν ἡμῖν, Τὸ φαινόμενον πιστὸν ὄντιν, ἢ ὄ; εἰ μὲν ἓν πιστὸν ὄντιν, ὑδὲν ἔξει λέγειν πρὸς τὸν ᾧ φαίνεται τἐναντίον. ὡς γὰ αὐτὸς πιστὸς τὸ φαινόμενον λέγων, ἔπω κὴ ὁ ἐναντίος· εἰ δ' ἄπιστον, κὴ αὐτὸς ἀπιστηθήσεται, τὸ φαινόμενον λέγων. τὸ τε πεῖθον οὐχ ὑπολητέον ἀληθὲς ὑπάρχειν. ὑ γὰρ πάντας τὸ αὐτὸ πείθειν, ὑδὲ τὰς αὐτὰς συνεχές. γίνεται δὲ κὴ παρὰ τὸ ἐκτὸς ἢ πιθανότης, παρὰ τὸ εὔδοξον τῶ λέγοντος, ἢ παρὰ τὸ φροντιστικὸν, ἢ παρὰ τὸ αἰμύλον, ἢ παρὰ τὸ σωφιστὲς, ἢ παρὰ τὸ κεχαρισμένον. ἀνῄρηται δὲ κὴ τὸ κριτήριον, λόγῳ τοιῷδε. ὅπῃ κέκριται κὴ τὸ κριτήριον, ἢ ἄκριτόν ὄντιν. ἀλλ' εἰ μὲν ἄκριτόν ὄντιν, ἄπιστον καθέστηκε, κὴ διημάρτηκε τῶ ἀληθῶς κὴ τῶ ψεύδους· εἰ δὲ κέκριται, εἰ τῷ κατὰ μέρος χρήσεται κρινόμενον· ὥς ἀὴ τὸ αὐτὸ κὴ κρίνειν, κὴ κρίνεσθαι, τὸ κεκριτὸς τὸ κριτήριον ὑφ' ἑτέρω κριθήσεται, κἀκεῖνο ὑπὸ ἄλλε, κὴ ὕπως εἰς ἄπειρον. πρὸς τῷ κὴ διαφωνεῖσθαι τὸ κριτήριον· τῷ μὲν, τὸν ἄνθρωπον κριτήριον εἶναι λεγόντων, τῷ δὲ, τὰς αἰσθήσεις· ἄλλων, τὸν λόγον· ἐνίων, τινὶ κατα-

λη-

παλληπτικὴν φαντασίαν. καὶ ὁ μὲν ἄνθρωπος καὶ πρὸς αὐτὸν διαφωνεῖται, καὶ πρὸς τοὺς ἄλλους· ὡς δῆλον ἐκ τῆς διαφόρων νόμων καὶ ἐθῶν. αἱ δὲ αἰσθήσεις ψεύδονται· ὁ δὲ λόγος, ἀψευδής. ἡ δὲ καταληπτικὴ φαντασία ὑπὸ νοῦ κρίνεται, καὶ ὁ νοῦς ποικίλως κρίπεται. ἄγνωστον ἄρ' ἐστὶ τὸ κριτήριον, καὶ ἀπ' αὐτοῦ ἡ ἀλήθεια. σημεῖόν τε οὐκ εἶναι. εἰ γάρ ἐστι (φασὶ σημεῖον, ἤτοι αἰσθητόν ἐστιν, ἢ νοητόν. αἰσθητὸν μὲν οὐκ ἔστιν· ἐπεὶ τὸ αἰσθητὸν κοινόν ἐστι· τὸ δὲ σημεῖον, ἴδιον. καὶ τὸ μὲν αἰσθητὸν καὶ διαφορά· τὸ δὲ σημεῖον, τινός τι. νοητὸν δὲ οὐκ ἔστιν· ἐπεὶ εἰ ἔστι νοητὸν, ἤτοι φαινόμενόν ἐστι φαινομένου, ἢ ἀφανὲς ἀφανοῦς, ἢ ἀφανὲς φαινομένου, ἢ φαινόμενον ἀφανοῦς. οὐδὲν δὲ τούτων ἐστίν· οὐκ ἄρα ἐστὶ σημεῖον. φαινόμενον μὲν οὖν φαινομένου οὐκ ἔστιν, ἐπεὶ τὸ φαινόμενον οὐ δεῖται σημείου· ἀφανὲς δὲ ἀφανοῦς οὐκ ἔστιν, ἐπειδὴ δεῖ φαίνεσθαι τὸ ἐκκαλυπτόμενόν τινος. ἀφανὲς δὲ φαινομένου οὐ δύναται, καθότι δεῖ φαίνεσθαι τῷ ἑτέρῳ, παρέχον ἀφορμὴν ἀποκαλύψεως. φαινόμενον δὲ ἀφανοῦς οὐκ ἔστιν, ὅτι τὸ σημεῖον, τινός τι ὄν, συγκαταλαμβάνεσθαι ὀφείλει τοῦ ὅ ἐστι σημεῖον· τὸ δὲ μὴ ἔστιν. οὐδὲν ἄρα τῶν ἀδήλων ἂν καταλαμβάνοιτο· δεῖ γὰρ τῶν σημείων λέγεται τὰ ἄδηλα καταλαμβάνεσθαι. ἀναιροῦσι δὲ τὸ αἴτιον ὧδε· τὸ αἴτιον τῶν πρός τι ἐστί· πρὸς γάρ τι αἰτιατόν ἐστι· τὰ δὲ πρός τι ὁπωσοῦν μόνον, ὑπάρχει δὲ ἄ. καὶ τὸ αἴτιον ἂν ὁπωσοῦν μόνον. ἐπεὶ εἴπερ ἔστιν αἴτιον, ὀφείλειν ἔχειν τὸ ὃ λέγεται αἴτιον, ἐπεὶ οὐκ ἔσαι αἴτιον. καὶ ὥσπερ ὁ πατὴρ, μὴ παρόντος τοῦ πρὸς ὃν λέγεται πατὴρ, οὐκ ἂν εἴη πατὴρ, οὕτωσὶ δὲ καὶ τὸ αἴτιον. οὐ πάρεστι δὲ πρὸς ὃ νοεῖται τὸ αἴτιον· (ἅτε γὰρ φύσει, ἅτε φθορᾷ, ἅτε ἄλλῳ τινί) οὐκ ἄρα ἐστὶν αἴτιον. καὶ μὴν εἰ ἔστιν αἴτιον, ἤτοι σῶμα σώματός ἐστιν αἴ-

τιον

αἴτιον, ἢ ἀσώματον ἀσωμάτῳ· οὐδὲν δὲ τούτων· οὐκ ἄρα ὄξιν αἴτιον. σῶμα μὲν οὖν σώματος οὐκ ἂν εἴη αἴτιον, ἐπείπερ ἀμφότερα τὼ αὐτὼ ἔχει φύσιν. καὶ εἰ τὸ ἕτερον αἴτιον λέγεται, παρ' ὅσον ἐστὶ σῶμα, καὶ τὸ λοιπὸν σῶμα ὂν, αἴτιον ἔσται. κοινῶς δὲ ἀμφοτέρων αἰτίων ὄντων, οὐδὲν ἔσαι τὸ πάσχον. ἀσώματον δὲ ἀσωμάτῳ οὐκ ἂν εἴη αἴτιον, διὰ τὸν αὐτὸν λόγον. ἀσώματον δὲ σώματος οὐκ ἔστιν αἴτιον· ἐπεὶ οὐδὲν ἀσώματον ποιεῖ σῶμα. σῶμα δὲ ἀσωμάτῳ οὐκ ἂν εἴη αἴτιον· ὅτι τὸ γειόμενον, τῆς παθούσης ὕλης ὀφείλει εἶναι. μηδὲν δὲ πάσχον, διὰ τὸ ἀσώματον εἶναι, οὐδ' ἂν ὑπό τινος γένοιτο. οὐκ ἔστι πίνων αἴτιον. ᾧ συνεισάγεται τὸ ἀνυποστάτους εἶναι τὰς τῶν ὅλων ἀρχάς. δεῖ γὰρ εἶναί τι τὸ ποιοῦν καὶ δρῶν. ἀλλὰ μὴν οὐδὲ κίνησίς ὄξι. τὸ γὰρ κινούμενον, ἤτοι ἐν ᾧ ὄξι τόπῳ κινεῖται, ἢ ἐν ᾧ μὴ ἔστιν. καὶ ἐν ᾧ μὲν ὄξι τόπῳ, οὐ κινεῖται· ἐν ᾧ δέ οὐκ ἔστιν, οὐδὲ κινεῖται. οὐκ ἔστιν ἓν κίνησις. ἀνάγκη δὲ καὶ μάθησιν. εἴπερ (φασὶ) διδάσκεταί τι, ἤτοι τὸ ὂν τῷ εἶναι διδάσκεται· ἢ τὸ μὴ ὄν, τῷ μὴ εἶναι. ἔτε δὲ τὸ ὂν τῷ εἶναι διδάσκεται· (ἡ γὰρ τῶν ὄντων φύσις πᾶσι φαίνεται καὶ γινώσκεται) ἔτε τὸ μὴ ὂν, τῷ μὴ ὄντι. (τῷ γὰρ μὴ ὄντι οὐδὲν συμβέβηκεν) ὥστε ἔτε τὸ διδάσκεσθαι. οὐδὲ μὴν γένεσίς ὄξι (φασὶν) ἔτε γὰρ τὸ ὂν γίνεται. (ἔστι γὰρ) ἔτε τὸ μὴ ὄν. (οὐδὲ γὰρ ὑφέστηκε) τὸ δὲ μὴ ὑφεστὼς, μηδὲ ὄν, οὐδὲ τὸ γίνεσθαι δύτυχηκε. φύσει τε μὴ εἶναι ἀγαθὸν ἢ κακόν. εἰ γάρτι ἐστὶ φύσει ἀγαθὸν καὶ κακὸν, πᾶσιν ὀφείλει ἀγαθὸν ἢ κακὸν ὑπάρχειν, ὥσπερ ἡ χιὼν πᾶσι ψυχρόν. κοινὸν δὲ οὐδὲν πάντων ἀγαθὸν ἢ κακόν ἐστιν. οὐκ ἄρα ὄξὶ φύσει ἀγαθὸν ἢ κακόν. ἤτοι γὰρ παῦ τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθὸν, ἢ οὐ παῦ. καὶ παῦ μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ

τὸ

τὸ ὑφ' ἕ μὲν δοξάζεται ἀγαθὸν ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου· ὑφ' ἕ δὲ κακόν, ὡς ὑπὸ Ἀντισθένους. συμβήσεται τοίνυν τὸ αὐτὸ, ἀγαθόν τε εἶναι καὶ κακόν. εἰ δ' ἃ παῦ λέγομεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθὸν, δείσει ἡμᾶς δραπείνειν τὰς δόξας. ὅπερ ἂν ἐνδεχόμενόν ὄζῃ, δραπετὼν ἰσοθεΐειαν τῷ λόγων. ἄγνωσον ἂν τὸ φύσει ἀγαθόν. ἔστι δὲ καὶ τὸν ὅλον τῆς σωαγωγῆς αὐτῶν ζόπον συνιδεῖν ἐκ τῷ ἀπολειφθεισῶν συμπάξεων.

Αὐτὸς μὲν γὰρ ὁ Πύῤῥων οὐδὲν ἀπέλιπεν, οἱ μὴν τοι σωήθεις αὐτῷ, Τίμων καὶ Αἰνεσίδημος καὶ Νεμήνιος καὶ Ναυσιφάνης, καὶ ἄλλοι τοιοῦτοι.

Οἷς ἀντιλέγοντες οἱ δογματικοί φασιν, αὐτὸς καταλαμβάνεσθαι καὶ δογματίζειν· ἐν ᾧ γὰρ δοκοῦσι διελέγχειν, καταλαμβάνονται. καὶ γὰρ ἐν τῷ αὐτῷ κρατυύσει καὶ δογματίζουσι. καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν, καὶ παντὶ λόγῳ λόγον ἀντικεῖσθαι, αὐτὰ ταῦτα καὶ ὁρίζονται καὶ δογματίζουσι. πρὸς ἃς ἀποκρίνονται, Περὶ μὲν ὧν ὡς ἀνθρωποι πάσχομεν, ὁμολογοῦμεν. καὶ γὰρ ὅτι ἡμέρα ὄζῃ, καὶ ὅτι ζῶμεν, καὶ ἄλλα πολλὰ τῷ ἐν τῷ βίῳ φαινομένων, διαγινώσκομεν· περὶ δὲ ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατειλῆφθαι, ἐπέχομεν περὶ τούτων ὡς ἀδήλων· μόνα δὲ τὰ πάθη γινώσκομεν. τὸ μὲν γὰρ ὅτι ὁρῶμεν, ὁμολογοῦμεν, καὶ τὸ ὅτι τόδε νοοῦμεν, γινώσκομεν· πῶς δὲ ὁρῶμεν, ἢ πῶς νοοῦμεν, ἀγνοοῦμεν. καὶ ὅτι τόδε λευκὸν φαίνεται, διηγηματικῶς λέγομεν, οὐ διαβεβαιούμενοι εἰ καὶ ὄντως ὄζῃ· περὶ δὲ τῆς Οὐδὲν ὁρίζω φωνῆς, καὶ τῷ ὁμοίων, λέγομεν ὡς οὐ δογμάτων· οὐ γάρ εἰσιν ὅμοια τῷ λέγειν ὅτι σφαιροειδής ὄζῃν ὁ κόσμος· ἀλλὰ τὸ μὲν, ἄδηλον· αἱ δὲ, ὁμολογήσεις εἰσί. ἐν ᾧ δὲ λέγομεν μηδὲν ὁρίζειν, οὐδ' αὐτὸ τοῦτο ὁριζόμεθα. πάλιν οἱ δογματικοί φασι καὶ τὸν

βίον

βίον αὐτὸς αἱρεῖν, ἐν ᾧ πάντα ἐκβάλλουσιν ἐξ ὧν ὁ βίος συνέστηκεν. οἱ δὲ φιλόδοξοι φασιν αὐτός· ἐ γὰρ τὸ ὁρᾶν αἱρεῖν, ἀλλὰ τὸ πῶς ὁρᾶν ἀγνοεῖν. καὶ γὰρ τὸ φαινόμενον τιθέμεθα, ἐχ ὡς κὴ τοιοῦτον ὄν. καὶ ὅτι πῦρ καίει αἰσθανόμεθα· εἰ δὲ φύσιν ἔχει καυστικὴν, ἐπέχομεν. κὴ ὅτι κινεῖται τὰ βλέπομεν, κὴ ὅτι φθείρεται· πῶς δὲ ταῦτα γίνεται, οὐκ ἴσμεν. μόνον ἄν (φασὶν) αἰθησάμεθα πρὸς τὰ παρυφισάμενα τοῖς φαινομένοις ἄδηλα. καὶ γὰρ ὅτε τινὶ εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν, τὸ φαινόμενον ἐμφαίνομεν· ὅταν δὲ εἴπωμεν μὴ ἔχειν αὐτὴν ἐξοχὰς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν· ὅθεν κὴ ὁ Τίμων ἐν τῷ Πύθωνί φησι, μὴ ἐκβεβηκέναι τὴν συνήθειαν. κὴ ἐν τοῖς ἰνδαλμοῖς ὅπου λέγει,

Ἀλλὰ τὸ φαινόμενον παντὶ θνητῷ ἕπεται ὅπερ ἂν ἔλθῃ,

κὴ ἐν τοῖς περὶ αἰσθήσεών φησι, Τὸ μὲν ὅτι γλυκύ, ἢ τίθημι· τὸ δὲ ὅτι φαίνεται, ὁμολογῶ. κὴ Αἰνησίδημος ἐν τῷ πρώτῳ τῶν Πυῤῥωνείων λόγων, οὐδὲν φησιν ὀρίζειν τὸν Πύῤῥωνα δογματικῶς, ἀλλὰ τινὶ ἀντιλογίαν, τοῖς δὲ φαινομένοις ἀκολουθεῖν. ταῦτα δὲ λέγει καὶ ἐν τῷ κατὰ σοφίας, καὶ ἐν τῷ περὶ ζητήσεως. ἀλλὰ κὴ Ζεῦξις ὁ Αἰνησιδήμου γνώριμος ἐν τῷ περὶ διττῶν λόγων, καὶ Ἀντίοχος ὁ Λαοδικεὺς κὴ Ἀπελλᾶς ἐν τῷ Ἀρίππῳ, τιθέασι τὰ φαινόμενα μόνα. ἔστιν ἓν κριτήριον κὴ τῆς σκεπτικῆς τὸ φαινόμενον, ὡς κὴ Αἰνησίδημός φησιν. ὅπου δὲ κὴ Ἐπίκουρος. Δημόκριτος δὲ, μηδὲν εἶναι τῶν φαινομένων· τὰ δὲ, μὴ εἶναι. πρὸς τοῦτο τὸ κριτήριον τῶν φαινομένων οἱ δογματικοί φασιν, ὅτι ὅτε διὰ τῶν αὐτῶν διαφόροι προσπίπτουσι φαντασίαι, ὡς διὰ τοῦ πύργου ἢ στρογγύλε, ἢ τετραγώνε, ὁ σκεπτικὸς εἰ ἑκατέραν προκείνῃ, ἀπρακτήσει· εἰ δὲ τὴν ἑτέραν παρακολουθήσει, οὐκέτι

τι

τι τὸ ἰσοσθενὲς (φασὶ) τοῖς φαινομένοις ἀποδώσει. πρὸς ἃς οἱ σκεπτικοί φασιν, ὅτι ὅτε προσπίπτουσιν ἀλλοῖαι φαντασίαι, ἑκατέρας ἐρέμνου φαίνεσθαι· καὶ δηλ. τοῦτο τὰ φαινόμενα τιθέναι ὅτι φαίνεται. τέλος δὲ οἱ σκεπτικοί φασι τῷ ἐποχῇ, ἢ σκιᾶς δίκην ἐπακολουθεῖ ἡ ἀταραξία, ὡς φασιν οἵ τε περὶ τὸν Τίμωνα καὶ Αἰνησίδημον. ἅτε γὰρ πάσδε ἐλαίμεθα, ἢ ταῦτα φθεγξόμεθα ὅσα περὶ ἡμᾶς ἔχει. τὰ δὲ ὅσα περὶ ἡμᾶς οὐκ ἔστιν, ἀλλὰ κατ' ἀνάγκην, ἃ δυνάμεθα φθέγγειν· ὡς τὸ πεινῆν, διψῆν, ἀλγεῖν· οὐκ ἔστι γὰρ λόγῳ θεραπεῦσαι ταῦτα. λεγόντων δὲ τῶν δογματικῶν, πῶς δυνήσεται βιῶναι ὁ σκεπτικὸς μὴ φθέγγων τὸ, εἰ μὴ κελεύσειεν, κρεουργεῖν τὸν πατέρα; φασὶν οἱ σκεπτικοὶ πρὸς τοὺς δογματικῶν, πῶς δυνήσεται βιῶναι δογματικὸς ζητήσεων ἀπέχων, καὶ πρὸς τοὺς βιωτικῶν καὶ πρητικῶν; ὥστε καὶ αἱρέμεθά τι καὶ τινὶ σωτηρίαν καὶ φθέγγομεν, καὶ νόμοις χρώμεθα. τινὲς δὲ, καὶ τινὶ ἀπάθειαν, ἄλλοι δὲ τινὶ πραότητα. τέλος εἰπεῖν φασι τὸς σκεπτικούς.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

ΤΙΜΩΝ.

Ἀπολλωνίδης ὁ Νικαεύς, ὁ παρ' ἡμῶν, ἐν τῷ πρώτῳ τῶν εἰς τοὺς Σίλλους ὑπομνημάτων, ἃ προσφωνεῖ Τιβερίῳ Καίσαρι, φησὶ τὸν Τίμωνα εἶναι πατρὸς μὲν Τιμάρχου, Φλιάσιον δὲ τὸ γένος· νέον δὲ καταλειφθέντα, χορδεύειν, ἔπειτα καπηλεύοντα, ἀποδημῆσαι εἰς

εἰς Μέγαρα πρὸς Στίλπωνα· κἀκείνῳ συμδιαξίφαντα αὖθις ἐπανελθεῖν οἴκαδε καὶ γῆμαι. εἶτα πρὸς Πύρρωνα εἰς Ἦλιν ἀποδημῆσαι μετὰ γυναικός, κἀκεῖ διαξίβειν, ἕως αὐτῷ παῖδες ἐγένοντο· ὧν τὸν μὲν πρεσβύτερον, Ξανθὸν ἐκάλεσε, καὶ ἰαμδικῶν ἐδίδαξε, καὶ διάδοχον τῆς βίβλου κατέλιπεν. ὁ δὲ Τίμων ἐλλόγιμος ἦν, ὡς καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ φησίν. ἀπορῶν μέντοι βοφῶν, ἀπῆρεν εἰς τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα· ἐν Χαλκηδόνι τε σοφιστῶν ὁπλέον ἀποδοχῆς ἠξιώθη· ἐντεῦθεν τε ποτισάμενος, ἀπῆρεν εἰς Ἀθήνας· κἀκεῖ διέτριβε μέχρι καὶ τελευτῆς, ὀλίγον χρόνον εἰς Θήβας διαδραμών. ἐγνώθη δὲ καὶ Ἀντιγόνῳ τῷ βασιλεῖ, καὶ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ὡς αὐτὸς ἐν τοῖς ἰάμδοις αὐτῶν μαρτυρεῖ.

Ἦν δὲ (φησὶν Ἀντίγονος) καὶ φιλοπότης, καὶ ἀπὸ τῆς φιλοσόφων ἐσχόλαζε. καὶ γὰρ ποιήματα συνέγραφε, καὶ ἔπη, καὶ τραγῳδίας, καὶ σατύρους, καὶ δράματα κωμικὰ διάκοντα, τραγικὰ δὲ ἑξήκοντα, Σίλλους τε καὶ κιναίδους. φέρεται δὲ αὐτῶν καὶ παπαλογάδων βιβλία, εἰς ἐπῶν τείνοντα μυριάδας δύο, ὧν καὶ Ἀντίγονος ὁ Καρύστιος μέμνηται, ἀναγεγραφὼς αὐτῶν καὶ αὐτὸς τὸν βίον. τῆς δὲ Σίλλων τρία ἐσίν· ἐν οἷς, ὡς ἂν σκεπτικὸς ὤν, πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικούς, ἐν παρῳδίας εἴδει. ὧν τὸ μὲν πρῶτον αὐτοδιήγητον ἔχει τὴν ἑρμηνείαν· τὸ δὲ δεύτερον καὶ τρίτον ἐν διαλόγου σχήματι. φαίνεται γὰρ ἀνακρίνων Ξενοφάνη τὸν Κολοφώνιον περὶ ἑκάστων· ὁ δὲ, αὐτοδιηγούμενός ἐστι. καὶ ἐν μὲν τῷ δευτέρῳ, περὶ τῆς ἀρχαιοτέρων· ἐν δὲ τῷ τρίτῳ, περὶ τῆς ὑστέρων. ὅθεν δή τινες καὶ ὁπίλογον ἐπέγραψαν. τὸ δὲ πρῶτον ταῦτα περιέχει πράγματα, πλὴν ὅτι μονοπρόσωπός ἐστιν ἡ ποίησις. ἀρχὴ δὲ αὐτῆς ἥδε,

Ἔπε-

Ἔασετε νεῶμοι ὅσοι πολυπράγμονες ἐσὲ σοφίσαι.

Ἐτελεύτησε δὲ ἐγγὺς ἐτῶν ἐνενήκοντα, ὡς φησὶν ὁ Ἀντίγονος, καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ. τοῦτον ἐγὼ καὶ ἑπερόφθαλμον ἔπεσα, ἐπεὶ καὶ αὐτὸς αὑτὸν Κύκλωπα ἐκάλει.

Γέγονε δὲ καὶ ἕτερος Τίμων, ὁ μισάνθρωπος.

Οὗ δ' ἦν φιλόσοφος, καὶ φιλόκωπος ἦν σφόδρα καὶ ἰδιοπράγμων, ὡς καὶ Ἀντίγονός φησι. λόγος γάρ εἰπεῖν Ἐρώνυμον τὸν Περιπατητικὸν ἐπ' αὐτῷ, ὡς ὥσπερ τοῖς Σκύθαις καὶ οἱ φιλόγοντες τοξεύεται καὶ οἱ διώκοντες· οὕτω τῷ φιλοσόφων οἱ μὲν διώκοντες θηρῶσι τὰς μαθητάς, οἱ δὲ φιλόγοντες, καθάπερ καὶ ὁ Τίμων.

Ἦν δὲ καὶ ὀξὺς νοῆσαι, καὶ διαμνημονεῦσαι· φιλογράμματός τε, καὶ τοῖς ποιηταῖς μύθους γράψαι ἱκανός, καὶ δράμασι σωδιατιθέναι. μετεδίδε δὲ τῷ ξαγῳδιῶν Ἀλεξάνδρῳ καὶ Ὁμήρῳ. θορυβέμενός τε ὑπὸ τῶν θεραπαινῶν καὶ κυνῶν, ἐποίει μηδὲν, ἀπειλοῦσαν δὲ τὸ ῥόπαλον ζῆν. φασὶ δὲ καὶ Ἄρατον πυθέσθαι αὐτὸν πῶς τὰ Ὁμήρου ποίησιν ἀσφαλῶς κτήσαιτο; τὸν δὲ εἰπεῖν, Εἰ τοῖς ἀρχαίοις αὐτιγράφοις ἐντύχοι, καὶ μὴ τοῖς ἤδη διωρθωμένοις. εἰκῆ τε αὐτῷ ἔκειτο τὰ ποιήματα, ἐνίοτε ἡμίβρωτα· ὥστε καὶ Ζωπύρῳ τῷ ῥήτορι ἀναγινώσκοντι ὀπτυλίττειν, καὶ μὴ τὸ ἐπελθὸν διεξιέναι· ἐλθόντα τε ἐφ' ἡμισείας, ὅπως δύρειν τὸ ἀπόσπασμα, πῶς ἀγνοεῖται τοσοῦτον ἦν ἀδιάφορος; ἀλλὰ καὶ εὔρες, ὡς μηδὲ ἀνεξάν συγχωρεῖν. φασὶ δὲ αὐτὸν Ἀρκεσίλαον θεασάμενον ἐν τῷ Κεραμεικῷ ἰόντα, εἰπεῖν, Τί σὺ δεῦρο, σὺ θάπερ ἡμεῖς οἱ ἐλεύθεροι; συνεχές τε ὀπλίζειν εἰώθει πρὸς τὰς, τὰς αἰσθήσεις μετ' ὀπμαρτυρόντος τοῦ νοῦ ἐγκεινομένας,

πας, Σωπλθον Α'τταγᾶς τε καὶ Νεμιλιος. εἰώθει δὲ καὶ παίζειν τοιαῦτα. πρὸς ἕν τὸν θαυμάζοντα πάντα, ἔφη, Τί δ' ἐθαυμάζεις ὅτι ξεῖς ὄντες τέτταρας ἔχομεν ὀφθαλμούς; ἦν δὲ αὐτὸς ἑτερόφθαλμος, καὶ ὁ Διοσκορίδης, μαθητὴς αὐτοῦ· καὶ ὁ πρὸς ὃν ἔλεγε, ὑγιής. ἐρωτηθεὶς δέ ποτε ὑπὸ Α'ρκεσιλάου τί παρείη ἐκ Θηβῶν; ἔφη, Ἵνα ὑμᾶς ἀπαπεπταμένους ὁρῶν γελῶ. ὅμως δὲ καθαπτόμενος Α'ρκεσιλάου ἐν τοῖς Σίλλοις ἐπῄνεσεν αὐτὸν τῷ ἐπιγραφομένῳ Α'ρκεσιλάου πρὸς δείπνου.

Τούτου διάδοχος (ὡς μὲν Μιλτόδοτός φησι) γέγονεν ἀδείς· ἀλλὰ διέλιπεν ἡ ἀγωγή, ἕως αὐτὴν Πτολεμαῖος ὁ Κυρηναῖος ἀνεκτήσατο. ὡς δὲ Ι'ππόβοτός φησι καὶ Σωτίων, διήκουσαν αὐτοῦ Διοσκορίδης Κύπριος, καὶ Νικόλοχος Ρ'όδιος, καὶ Εὐφράνωρ Σελευκεύς, Πραύλος τε ὁπὸ Τρωάδος· ὃς ἔπαιρτερικὸς ἐγένετο, καθά φησι Φύλαρχος ἱστορῶν, ὥστε ἀδίκως ὑπομεῖναι ὡς ὅπλ προδοσίας κολασθῆναι, μηδὲ λόγου τοὺς πολίτας καταξιώσας. Εὐφρανόρος δὲ διήκουσεν Εὔβουλος Α'λεξανδρεύς· ἔ Πτολεμαῖος, ἔ Σαρπηδών, καὶ Η'ρακλείδης. Η'ρακλείδου δὲ Αἰνησίδημος Κνώσιος, ὃς καὶ Πυρρώνειον λόγον ὀκτὼ συνέγραψε βιβλία· ἔ Ζεύξιππος ὁ Πολίτης, ἔ Ζεῦξις ὁ Γωνιόπους, ἔ Α'ντίοχος Λαοδικεύς ὁπὸ Λύκου. τούτου δὲ Μιλτόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικὸς, καὶ Θειώδας Λαοδικεύς. Μιλτοδότου δὲ, Η'ρόδοτος Α'θηναῖος Ταρσεύς. Η'ροδότου δὲ διήκουσε Σέξτος ὁ ἐμπειρικὸς, ἃ καὶ τὰ δέκα τῶν σκεπτικῶν, καὶ ἄλλα πάμπολλα. Σέξτου δὲ διήκουσε Σατορνῖνος ὁ Κυθηνᾶς, ἐμπειρικὸς καὶ αὐτός.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΟΝΟΝ.

ΕΠΙΚΟΥΡΟΣ.

Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, τὸν δῆμον Γαργήττιος, γένους τῶν τῆς Φιλαϊδῶν, ὡς φησι Μητρόδωρος ἐν τῷ περὶ εὐγνωμοσύνης. τὸν φασὶν ἄλλοι τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ, κληρουχησάντων Ἀθηναίων τὴν Σάμον, ἐκεῖ γραφῆναι, ὀκτωκαιδεκαέτη δὲ ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν Ἀκαδημίᾳ, Ἀρκεσιλάου δ' ἐν Χαλκίδι διατρίβοντος. πεπυσμένος δὲ Ἀλεξάνδρου τὸν Μακεδόνος, καὶ τὴν Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκα, μεταθεῖν εἰς Κολοφῶνα πρὸς τὸν πατέρα.

Χρόνον δέ τινα διατρίψαντα αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα, πάλιν ἐπανελθεῖν εἰς Ἀθήνας, ὅτε Ἀναξικράτης· καὶ μέχρι μήτινος κατ' ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ πως τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσασθαι. ἐφάψασθαί τε φιλοσοφίας αὐτός φησιν,

ἐπὶ

ἔτη γεγονὼς τέτταρα καὶ δέκα. Ἀπολόδωρος δ' ὁ Ἐπικούρειος ἐν τῷ πρώτῳ περὶ τοῦ Ἐπικούρου βίου, φησὶν ἐλθεῖν αὐτὸν ἐπὶ φιλοσοφίαν καταγνόντα τῶν σοφιστῶν καὶ γραμματιστῶν, ἐπειδὴ μὴ ἐδυνήθησαν ἑρμηνεῦσαι αὐτῷ τὰ περὶ τοῦ παρ' Ἡσιόδῳ χάους. φησὶ δὲ Ἕρμιππος γραμματοδιδάσκαλον αὐτὸν γενέσθαι. ἔπειτα μέντοι περιτυχόντα τοῖς Δημοκρείτου βιβλίοις, ἐπὶ φιλοσοφίαν αἴξαι. διὸ καὶ τὸν Τίμωνα φάσκειν περὶ αὐτοῦ,

Τῶν πάντων αὖ φυσικῶν καὶ κωφότατος ἐκ Σάμου ἐλθών,
Γραμματοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

συνεφιλοσόφουν δὲ αὐτῷ προσεφαμίλλω καὶ οἱ ἀδελφοὶ ξεῖς ὄντες, Νεοκλῆς, Χαιρέδημος, Ἀρισόβουλος· καθά φησι Φιλόδημος ὁ Ἐπικούρειος ἐν τῷ δεκάτῳ τῆς τῶν φιλοσόφων συντάξεως. ἀλλὰ καὶ δοῦλος Μῦς ὄνομα, καθά φησι Μυρωνιανὸς ἐν τοῖς ἰσοσικοῖς κεφαλαίοις.

Διότιμος δὲ ὁ Στωϊκὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν, πικρότατα αὐτὸν διαβέβληκεν, ὀψωνίας φέρων ἀσυντάκτους ἀσελγεῖς, ὡς Ἐπικούρου· καὶ τὰ εἰς Χρύσιππον ἀναφερόμενα ὀψώνια, ὡς Ἐπικούρου συντάξαντος. ἀλλὰ καὶ οἱ περὶ Ποσειδώνιον τὸν Στωϊκὸν, καὶ Νικόλαος, καὶ Σωτίων ἐν τῷ δωδεκάτῳ τῶν ὑπογραφομένων Διωκλείων ἐλέγχων, ὅς ἐστι περὶ τῆς κδ'. καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς. καὶ γὰρ συνὼν τῇ μητρὶ περιϊόντα αὐτὸν εἰς τὰ οἰκίδια, καθαρμοὺς ἀναγινώσκειν· καὶ συνὼν τῷ πατρὶ γράμματα διδάσκειν λυπρῆ τινος μισθοῦ. ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν, Λεοντίῳ τε συνεῖναι τῇ ἑταίρᾳ· τὰ δὲ Δημοκρείτου περὶ τῶν ἀτόμων, καὶ Ἀρισίππου περὶ τῆς ἡδονῆς, ὡς ἴδια λέγειν. μὴ εἶναί τε γνησίως ἀστὸν, ὡς Τιμοκράτης φησὶ, καὶ Ἡρόδοτος ἐν

τῷ περὶ Ἐπικούρου ἐφηβείας. Μίθρην τε αἰσχρῶς κολακεύειν, τὸν Λυσιμάχου διοικητήν, ἐν ταῖς ὑπηρεσίαις Παιᾶνα καὶ ἄνακτα καλοῦντα. ἀλλὰ καὶ Γλαυκίαν καὶ Ἡρόδοτον καὶ Τιμοκράτην, τοὺς ἔκπυστα αὐτῷ τὰ κρύφια ποιήσαντας, ἐγκωμιάζειν καὶ κολακεύειν. αὐτὸ τοῦτο τε τοῖς ὑπηρεσίαις, πρὸς μὲν Λεόντιον, Παιᾶνα ἄναξ, φίλον Λεοντέως, οἷα κροπεθορύβα ἡμᾶς ἐνέπλησεν ἀναγνόντας σου τὸ ὑπόμνημα· πρὸς δὲ Θεμίσωνα τὸν Λέοντος γυναῖκα, Οἷός τε, φησὶν, εἰμὶ, ἐὰν μὴ ὑμεῖς πρός με ἀφίκησθε, αὐτὸς ἔκπυλίσος, ὅπου ἂν ὑμεῖς καὶ Θεμίσα βούλησθε, ὠθεῖσθαι. πρὸς δὲ Πυθοκλέα ὠρχῆσθαι ὄντα, Καθεδοῦμαι, φησὶ, προσδοκῶν τὸν ἱμερτὸν καὶ ἰσόθεον σε εἴσοδον. καὶ πάλιν πρὸς Θεμίσωνα γράφων, νομίζει αὐτῇ παραινεῖν, κατάφησι Θεόδοτος, ὡς ἐν τῷ τετάρτῳ τῶν πρὸς Ἐπίκουρον. καὶ ἄλλας δὲ πολλὰς ἑταίρας γράφειν, καὶ μάλιστα Λεοντίῳ, ἧς καὶ Μιξόδωρον ἐρᾶσθαι. εἴ τε τῷ περὶ τέλους γράφειν ὅπως, Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω ἀγαθὸν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονὰς, ἀφαιρῶν δὲ καὶ τὰς δι' ἀφροδισίων, καὶ τὰς δι' ἀκροαμάτων, καὶ τὰς διὰ μορφῆς. εἴ τε τῇ πρὸς Πυθοκλέα ὑπηρεσίᾳ γράφειν, Παιδείαν δὲ πᾶσαν, μακάριοι, φεύγετε. Ἐπίκτητός τε κιναιδολόγον αὐτὸν καλεῖ, καὶ τὰ μάλιστα λοιδορεῖ. καὶ μὴν καὶ Τιμοκράτης, ὁ Μιξοδώρου μὲν ἀδελφὸς, μαθητὴς δὲ αὐτοῦ τῆς σχολῆς ἐκφοιτήσας, ἐν τοῖς ὑπερφυοῦς δυφραστοῖς, φησὶν, αὐτὸν δὶς τῆς ἡμέρας ἐμεῖν ὑπὸ τρυφῆς. ἑαυτόν τε διηγεῖται μόγις ἐκφυγεῖν ἰσχύσαι τὰς νυκτερινὰς ἐκείνας φιλοσοφίας, καὶ τὴν μυσικὴν ἐκείνην συναγωγήν. τόν τε Ἐπίκουρον πολλὰ καὶ τὸν λόγον ἠγνοηκέναι, καὶ πολὺ μᾶλλον καὶ τὸν βίον, τότε σῶμα ἐλευθέρως διακεῖσθαι, ὡς πολλῶν ἐτῶν μὴ δυνάσθαι ὑπὸ τῶν φορείων διακομίζεσθαι· μεγάντε αἰσ-

ἀναλίσκειν ἡμερησίαν εἰς τὴν ξάπεζαν, ὡς αὐτὸς ἐν τῇ πρὸς Λεόντιον ἐπιστολῇ γράφει, καὶ ἐν ταῖς πρὸς τὰς ἐν Μιτυλήνῃ φιλοσόφους. σωεῖναί τε αὐτῷ τε καὶ Μητροδώρῳ ἑταίρας καὶ ἄλλας Μαρμάριον καὶ Ἡδεῖαν, καὶ Ἐρώτιον, καὶ Νικίδιον.

Καὶ ἐν ταῖς ἑπτὰ καὶ ξιάκοντα βίβλοις ταῖς περὶ φύσεως, τὰ πλεῖστα ταὐτὰ λέγειν, καὶ αὐτιγράφειν ἐν αὐταῖς, ἄλλοις τε καὶ Ναυσιφάνει τὰ πλεῖστα, καὶ αὐτῇ λέξει φάσκειν ἅπως, Ἀλλ' εἴ τις ἄλλος, ἐιχε κἀκεῖνος, ὠδίνων τὴν δόξαν τὸ στόματος καύχησιν, τὴν σοφιστικὴν, καθάπερ καὶ ἄλλοι πολλοὶ τῶν ἀνδραποδῶν. καὶ αὐτὸν Ἐπίκουρον ἐν ταῖς ἐπιστολαῖς φησὶ Ναυσιφάνους λέγειν· ταῦτα ἡγαθὴ αὐτὸν εἰς ἕκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι, καὶ ἀποκαλεῖν διδάσκαλον. πλάσματά τε αὐτὸν ἐκάλει, καὶ ἀγράμματον, καὶ ἀπατεῶνα, καὶ πόρνον· πρός τε τοὺς Πλάτωνα, Διονυσοκόλακας, καὶ αὐτὸν Πλάτωνα, χρυσοῦν· καὶ Ἀριστοτέλην, ἄσωτον, καταφαγόντα τὴν πατρῴαν οὐσίαν, στρατεύεσθαι, καὶ φαρμακοπωλεῖν· φορμοφόρον τε Πρωταγόραν, καὶ γραφέα Δημοκρίτου, καὶ ἐν κώμαις γράμματα διδάσκειν. Ἡράκλειτόν τε, κυκητήν· καὶ Δημόκριτον, Ληρόκριτον· καὶ Ἀντίδωρον, Σανίδωρον· τοὺς δὲ Κυζικηνοὺς, ἐχθροὺς τῆς Ἑλλάδος· καὶ τοὺς Ῥοδίους, πολυφθονεροὺς· Πύῤῥωνα δὲ, ἀμαθῆ καὶ ἀπαίδευτον.

Μεμῖσασι δὲ ἔτι. τὸ δ' ἀνδρὸς μάρτυρες ἱκανοὶ τῆς ὑπερβλήτου πρὸς πάντας ἀγνωμοσύνης, ἥ τε παρὰ χαλκοῦς εἰκόσι τιμήσασα, οἵ τε φίλοι, τοσοῦτοι τὸ πλῆθος ὡς μηδ' ἂν πόλεσιν ὅλαις μάχεσθαι δύνασθαι. οἵ τε γνώριμοι πάντες, ταῖς δογματικαῖς αὐτοῦ σειρῆσι προκαταχθέντες, πλὴν Μητροδώρου τοῦ Σταρατονικέως πρὸς Καρνεάδην ἀποχωρήσαντος, πάλαι βαρυνθέντος ταῖς ὑπερβλήτοις αὐτοῦ χρησάμοις· ἥ τε δόξα, πασῶν χε-

δὸν ἐκλιπεσῶν τὴν ἄλλων, ἐσαεὶ δραμοῦσα, καὶ ἀενάους ἀρχὰς ὑποκύσασα, ἄλλων ἐξ ἄλλης, τὴν γνωσίμων. ἥ τε πρὸς τὰς γονέας εὐχαριστία, καὶ ἡ πρὸς τὰς ἀδελφὰς εὐποιΐα, πρός τε τὰς οἰκέτας ἡμερότης, ὡς δῆλον καὶ τὴν ἐγκρατῶν αὐτῶ· καὶ ὅτι αὐτοὶ συνεφιλοσόφουν αὐτῷ, ὧν ἓν ἐνδοξότατος ὁ προειρημένος Μῦς· καθόλε δὲ ἡ πρὸς πάντας αὐτῶ φιλανθρωπία. τῆς μὲν γὰρ πρὸς θεὰς ὁσιότητος, καὶ πρὸς πατρίδα φιλίας, ἄλεκτος ἡ ἐγκρατεια. ὑπερβολὴ γὰρ ἐπιεικείας, ἐδὲ πολιτείας ἥψατο. καὶ χαλεπωτάτων δὲ καιρῶν καταχόντων τὴν καθ' ἡμᾶς τὴν Ἑλλάδα, αὐτόθι καταβιῶναι, δίς ἢ καὶ ξὶς ἐπὶ τὰς περὶ τὴν Ἰωνίαν τόπας ἐκδραμόντα πρὸς τὰς φίλας, οἳ καὶ παντα χόθεν πρὸς αὐτὸν ἀφικνέοντο, καὶ συνεβίων αὐτῷ ἐν τῷ κήπῳ, καθάφησι καὶ Ἀπολλόδωρος· ὃν καὶ ὀγδοήκοντα μνῶν πρίασθαι.

Διοκλῆς δὲ ἐν τῇ ξίτῃ τῆς ἐπιδρομῆς φησιν αὐτὸν ἐλέσθαι καὶ λιτότατα διαιτώμενον. κοτύλῃ γὰρ (φησὶν) οἰνιδίῳ ἠρκεῖτο· τὸ δὲ πᾶν ὕδωρ ἦν αὐτοῖς ποτόν. τόν τε Ἐπίκουρον μὴ ἀξιοῦν εἰς τὸ κοινὸν καταθίθεσθαι τὰς οὐσίας, καθάπερ τὸν Πυθαγόραν, κοινὰ τὰ τῶν φίλων λέγοντα. ἀπιστοῦντων γὰρ εἶναι τὸ τοιοῦτον· εἰ δ' ἀπίστων, οὐδὲ φίλων. αὐτός τε φησὶν ἐν ταῖς ἐπιστολαῖς, ὕδατι μόνον ἀρκεῖσθαι, καὶ ἄρτῳ λιτῷ. Καὶ, πέμψον μοι τυρὸν (φησὶ) κυθρίδα, ἵν' ὅταν βάλωμαι πολυτελίσασθαι, δύνωμαι. τοιοῦτος δὴ ὁ τὴν ἡδονὴν εἶναι τέλος δογματίζων. ὃν καὶ Ἀθηναῖος δι' ἐπιγράμματος ὧδέ πως ὑμνεῖ,

Ἄνθρωποι μοχθεῖτε τί χείρονα, καὶ δρᾶ κέρδος
Ἄπληστον γεικῶν ἄρχετε καὶ πολέμων;

Τὰς

Τᾶς φύσιος δ' ὁ πλᾶτος ὅρον τινὰ βαιὸν ὑπέχει.
Αἱ δὲ κενὰι κείσιες, ταὶ ἀπέραντον ὁδόν·
Τᾶτο Νεοκλῆος πινυτὸν τέκος, ἢ θεὰ Μεσῶν
Ἔκλυεν, ἢ Πυθᾶς ἐξ ἱερᾶν ξιπόδων.

εἰσόμεθα δὲ καὶ μᾶλλον φροϊόντες, ἔκ τε τῶν δογμάτων ἔκ τε τῶν ῥημάτων αὐτᾶ.

Μάλιστα δὲ ἀπεδέχετο (φησὶ Διοκλῆς) τῶν ἀρχαίων Ἀναξαγόραν, (καίτοι συντισιν αὐτειρηκὼς αὐτῷ) καὶ Ἀρχέλαον τὸν Σωκράτες διδάσκαλον. ἐγύμναζε δὲ (φησὶ) τὰς γνωείμας, καὶ ἐκ μνήμης ἔχειν τὰ ἑαυτᾶ συγγράμματα. τᾶτον, Ἀπολλόδορος ἐν χρονικοῖς, Λυσιφάνες ἀκᾶσαι φησὶ καὶ Πραξιφάνης· αὐτὸς δὲ ἔφησιν, ἀλλ' ἑαυτᾶ, ἐν τῇ πρὸς Εὐρύδικον ἐπιστολῇ. ἀλλ' ὑδὲ Λεύκιππόν τινα γεγονῆθαι φησὶ φιλόσοφον, ὅτ' αὐτὸς, ὅθ' Ἕρμαχος. ὃν ἐνιοί φασι, καὶ Ἀπολλόδωρος ὁ Ἐπικούρειος, διδάσκαλον Δημοκείτε γεγονῆθαι. Δημήτριος δέ φησιν ὁ Μάγνης, καὶ Ξενοκράτες αὐτὸν ἀκᾶσαι.

Κέχρηται δὲ λέξει κυρία κατὰ τῶν πραγμάτων, ὧν, ὅτι ἰδιωτάτη ὄξιν, Ἀριστοφάνης ὁ γραμματικὸς αἰτιᾶται. σαφὴς δ' ὧν ἕπως, ὡς καὶ ἐν τῷ περὶ τᾶς ῥητορικᾶς ἀξιοῖ μηδὲν ἄλλο ἢ σαφήνειαν ἀπαιτεῖν. καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτὶ τᾶ Χαίρειν, Εὖ πράττειν· καὶ, Σπουδαίως ζῆν ἄριστον. οἱ δέ φασιν ἐν τῷ Ἐπικούρᾳ βίῳ, τὸν κανόνα γράψαι αὐτὸν ἐκ τᾶ Ναυσιφάνους ξιπόδος, ἃ καὶ ἀκᾶσαι φασὶν αὐτόν. ἀλλὰ καὶ Παμφίλα τᾶ Πλατωνικᾶ ἐν Σάμῳ.

Ἄρξασθαί τε φιλοσοφεῖν ἐτῶν ὑπάρχοντα δυοκαίδεκα· ἀφηγήσασθαι δὲ τᾶς χολᾶς, ἐτῶν ὄντα δύο πρὸς τοῖς ἑξήκοντα. ἐγεννήθη δὲ (φησὶν Ἀπολλόδωρος ἐν χρονικοῖς.)

νικοῖς) κατὰ τὸ ξίπτον ἔτος τῆς ἑνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ Σωσιγένους ἄρχοντος, μηνὸς Γαμηλιῶνος ἑβδόμῃ, ἔτεσιν ὕστερον τῆς Πλάτωνος τελευτῆς ἑπτά. ὑπάρχοντα δὲ αὐτὸν ἐτῶν δύο καὶ ξιάκοντα, ἐν Μιτυλήνῃ καὶ Λαμψάκῳ, ὡρῶτον συνήσθαι σχολὴν ἐπὶ ἔτη πέντε· ἔπειθ' ὕστερον εἰς Ἀθήνας μετελθεῖν, καὶ τελευτῆσαι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδομήκοντα, καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ Πυθαράτου, ἔτη βιώσαντα δύο δέοντα τῶν ἑβδομήκοντα· τελευτῆσαι σχολὴν διαδεξάσθαι Ἕρμαχον Ἀγεμάρχου Μιτυληναῖον. τελευτῆσαι δὲ αὐτὸν λίθῳ τὴν ὄρχιν βληθέντα, (ὡς φησι καὶ Ἕρμαχος ἐν ἐπιστολαῖς) ἡμέρας νοσήσαντα τετταρακαίδεκα. ὅτε καί φησιν Ἕρμιππος ἐμβάντα αὐτὸν εἰς πύελον χαλκῆν, κεκραμμένου ὕδατι θερμῷ, καὶ αἰτήσαντα ἄκρατον, ῥοφῆσαι. τοῖς τε φίλοις παραγγείλαντα τῶν δογμάτων μεμνῆσθαι, ἅπερ τελευτῆσαι. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν ἅπερ,

Χαίρετε, καὶ μέμνησθε τὰ δόγματα. τῶν' Ἐπίκουρος
Τοῦτον εἶπε φίλοις οἷσιν ὑποφθίμενος.
Θερμὸν ἐς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρατον
Ἔσπασεν, εἶτ' αἶψα ψυχρὸν ἐπεσπάσατο.

ἔτος μὲν ὁ βίος τἀνδρός, ἥδε δὲ ἡ τελευτή.

Καὶ διέθετο ὧδε· Κατὰ πάδε δίδωμι τὰ ἐμαυτοῦ πάντα Ἀμυνομάχῳ Φιλοκράτους Βαιῆθεν, καὶ Τιμοκράτει Δημητρίου Ποταμίῳ, καὶ τοῦ ἐν τῷ Μητρῴῳ ἀναγεγραμμένου ἑκατέρῳ δόσιν, ἐφ' ᾧτε τὸν μὲν κῆπον καὶ τὰ προσόντα αὐτῷ παρέξεσιν Ἕρμάχῳ Ἀγεμάρχου Μιτυληναίῳ, καὶ τοῖς συμφιλοσοφοῦσιν αὐτῷ, καὶ οἷς ἂν Ἕρμαχος καταλίπῃ διαδόχοις τῆς φιλοσοφίας, ἐνδιατρίβειν κατὰ φιλοσοφίαν. καὶ ἀεὶ δὲ τοῖς φιλοσοφοῦσιν ὑπὸ

ἡμῶν,

ἡμῶν, ὅπως αὖ συνδιασώσωσιν Ἀμυνομάχῳ καὶ Τιμοκράτει καὶ τὸ δυνατὸν τιμὴ ἐν τῷ κήπῳ διαιτᾶσθαι, παρακαταθέμενοι τοῖς τ' αὐτῶν κληρονόμοις, ἐν ᾧ αὖ τρόπῳ ἀσφαλέστατον ἦ, ὅπως αὖ κἀκεῖνοι διαφυλάττωσι τὸν κῆπον, καθάπερ καὶ αὐτοί, οἷς αὖ οἱ ἀπὸ ἡμῶν φιλοσοφοῦντες παραδιδῶσι. τιμὴ δὲ οἰκίας τιμῆ ἐν Μελίτῃ παρεχέτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης συνοικεῖν Ἑρμάχῳ καὶ τοῖς μετ' αὐτὸν φιλοσοφοῦσιν, ἕως αὖ Ἕρμαχος ζῇ. ἐκ δὲ τῶν γινομένων προσόδων τῶν δεδομένων ὑφ' ἡμῶν Ἀμυνομάχῳ καὶ Τιμοκράτει, καὶ τὸ δυνατὸν μειζέσθωσαν μεθ' Ἑρμάχου σκοπέμενοι, εἴς τε τὰ ἀναγκαῖα τῷ τε παιδὶ καὶ τῇ μητρὶ, καὶ τοῖς ἀδελφοῖς, καὶ ἡμῖν εἰς τιμὴ εἰθισμένου ἄγεσθαι χρήσιμον ἡμέραν, ἑκάστου ἔτους τῇ προτέρᾳ δεκάτῃ τοῦ Γαμηλιῶνος. ἔτι δὲ καὶ εἰς τιμὴ γινομένου συόδου ἑκάστου μηνὸς ταῖς εἰκάσι, τῶν συμφιλοσοφούντων ἡμῖν, εἰς τιμὴ ἡμῶν τε καὶ Μητροδώρου μνήμιον καταπεταγμένου. συντελείτωσαν δὲ καὶ τιμὴ τῶν ἀδελφῶν ἡμέραν τοῦ Ποσειδεῶνος, καθάπερ καὶ ἡμεῖς. συντελείτωσαν δὲ καὶ τιμὴ Πολυαίνου, τοῦ Μητροδωριανοῦ. ἐπιμελείσθω δὲ καὶ Ἀμυνόμαχος καὶ Τιμοκράτης τοῦ υἱέος τοῦ Μητροδώρου Ἐπικούρου, καὶ τοῦ υἱέος τοῦ Πολυαίνου, φιλοσοφούντων αὐτῶν, καὶ συζώντων μεθ' Ἑρμάχου. ὡσαύτως δὲ καὶ τῆς θυγατρὸς τῆς Μητροδώρου τιμὴ ἐπιμέλειαν ποιείσθωσαν· καὶ εἰς ἡλικίαν ἐλθοῦσαν ἐκδότωσαν ᾧ αὖ Ἕρμαχος ἕληται τῶν φιλοσοφούντων μετ' αὐτὸν, ἔσης αὐτῆς διδάκτης, καὶ πειθαρχούσης Ἑρμάχῳ. δεδότωσαν δὲ Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐκ τῶν ὑπαρχουσῶν ἡμῖν προσόδων, εἰς τροφὴν πάσης, ὅτι αὖ αὐτοῖς κατ' ἐνιαυτὸν ἐπιδέχεσθαι δοκῇ, σκοπέμενοι μεθ' Ἑρμάχου. ποιείσθωσαν δὲ μεθ' ἑαυτῶν καὶ Ἕρμαχον κύριον τῶν προσόδων, ἵνα μετ' αὐτοῦ, συγκαταγεγραμμένου

ἡμῖν

ἡμῖν ἐν φιλοσοφίᾳ, καὶ καταλελειμμένοις ἡγεμόσιν τῷ συμφιλοσοφούντων ἡμῖν, ἕκαστα χρῆται. τοῦτο δὲ προῖκα τῷ θέλει παιδίῳ, ἐπειδὰν εἰς ἡλικίαν ἔλθῃ, μεμισάτωσαν Ἀμμωνόμαχος καὶ Τιμοκράτης, ὅσον αὖ δύνηται τοῦτο τῶν ὑπαρχόντων ἀφαιρούντες, μὴ τῆς Ἑρμάχου γνώμης· ἐπιμελείσθωσαν δὲ καὶ Νικαύορος, καθάπερ καὶ ἡμεῖς, ἵν' ὅσοι τῶν συμφιλοσοφούντων ἡμῖν χρείαν ἐν τοῖς ἰδίοις παρεχήμενοι, καὶ τοῦ πᾶσαν οἰκειότητα ἐνδεδειγμένοι, συγκαταγηράσκειν μεθ' ἡμῶν προείλοντο ἐν φιλοσοφίᾳ, μηδενὸς τῶν ἀναγκαίων ἐνδεεῖς καθεστήκωσιν κατὰ τοῦτο ἡμετέραν δύναμιν. δεῖναι δὲ τὰ βιβλία τὰ ὑπάρχοντα ἡμῖν πάντα Ἑρμάχῳ, ἐὰν δέ τι τῶν ἀνθρωπίνων περὶ Ἕρμαχον γίνηται, πρὸ τὰ τὰ Μητροδώρου παιδία εἰς ἡλικίαν ἐλθεῖν, δεῖναι Ἀμμωνόμαχον καὶ Τιμοκράτους, ὅπως ἂν διὰ πάντων αὐτῶν ἕκαστα γένηται τῶν ἀναγκαίων, καὶ τὸ δυνατὸν, ἀπὸ τῶν καταλελειμμένων ὑφ' ἡμῶν πρόσοδων. καὶ τῶν λοιπῶν ἁπάντων ὡς σπουδαιοτάτην ἐπιμελείσθωσαν, ὅπως δὴ κατὰ τὸ ἐνδεχόμενον ἕκαστα γίγνηται. ἀφίημι δὲ τῶν παίδων ἐλευθέραν Μυῖ, Νικίαν, Λύκωνα. ἀφίημι δὲ καὶ Φαίδριον ἐλευθέραν. ἤδη δὲ τελευτῶν χρόνῳ πρὸς Γοργίαν τοῦ δὲ ὀψωνίου. Τοῦ μακαρίαν ἄγοντες καὶ ἅμα τελευτῶντες ἡμέραν τὸν βίον, ἐγράφομεν ὑμῖν ταυτί· στραγγουρία τε παρηκολουθήκει, καὶ δυσεντερικὰ πάθη, ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους. ἀντιπαρεπάτει δὲ πᾶσι τούτοις τὸ καὶ ψυχικὸν χαῖρον ὅτε τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ. σὺ δὲ ἀξίως τῆς εἰς μειρακίου εὐθυμίας πρὸς ἐμὲ καὶ φιλοσοφίαν, ἐπιμελοῦ τῶν παίδων Μητροδώρου. καὶ διέθετο μὲν ὧδε.

Μαθηταὶ δὲ ἔσχε πολλοὺς μὲν, σφόδρα δὲ ἐλλογίμους, Μητόδωρον, καὶ Ἀθήναιον, καὶ Τιμοκράτους, καὶ

Σαν-

Σαΐδιω Λαμψακηνόν· ὃς ἀφ' ἧς πὺν ἄνδρα ἔγνω, ἐκ ἀπέστη ἀπ' αὐτῆς πλὴν ἓξ μιῶν εἰς τὴν οἰκίαν· ἔπειτα ἐπανῆλθε. γέγονε δὲ ἀγαθὸς κὴ πάντα, καθὰ κὴ Ἐπίκουρος ἐν προηγεμώναις γράφει. μαρτυρεῖ δὲ κὴ ἐν τῷ ξίτῳ Τιμοκράτης. τοιοῦτος δὲ ὢν, κὴ τὴν ἀδελφὴν Βατίδα ἐξέδοτο Ἰδομενεῖ, κὴ Λεόντιον τὴν Ἀττικὴν ἑταίραν ἀναλαβὼν, εἶχε παλλακήν. ἦν δὲ κὴ ἀκατάπληκτος πρός τε τὰς ὀχλήσεις κὴ τὸν θάνατον, ὡς Ἐπίκουρος ἐν τῷ πρώτῳ Μητροδώρῳ φησί. φασὶ δὲ κὴ πρὸ ἑπτὰ ἐτῶν αὐτὸν τελευτῆσαι, πεντηκοστὸν ξίτον ἔτος ἄγοντα. κὴ αὐτὸς Ἐπίκουρος ἐν ταῖς προειρημέναις ἀναθήκαις, ὡς προαποθανόντος αὐτῷ δηλονότι, ἐπισκήπτει περὶ τῆς ἐπιμελείας αὐτῷ τῶν παίδων. ἔσχε δὲ κὴ τὸν προειρημένον οἰκεῖόν τινα, ἀδελφὸν τὸν Μητροδώρου, Τιμοκράτην. βιβλία δ' ὄντι τοῦ Μητροδώρου τάδε. Πρὸς τὰς ἀρχὰς, ξία. Περὶ αἰσθήσεων, πρὸς Τιμοκράτην. Περὶ μεγαλοψυχίας. Περὶ τῆς Ἐπικούρου ἀρρωστίας. Πρὸς τοὺς διαλεκτικούς. Πρὸς τοὺς σοφιστὰς, ἐννέα. Περὶ τῆς ἐπὶ σοφίαν πορείας. Περὶ τῆς μεταβολῆς. Περὶ πλούτου. Πρὸς Δημόκριτον. Περὶ εὐφυΐας.

Ἦν κὴ Πολύαινος, Ἀθηνοδώρου Λαμψακηνὸς, ἑταιρικὸς κὴ φιλικὸς, ὡς οἱ περὶ Φιλόδημόν φασι.

Καὶ ὁ διάδοχος αὐτοῦ Ἕρμαχος Ἀγεμάρχου, Μιτυληναῖος ἀνὴρ, παχὺς μὲν πὺν ποτὲ, τὰς δὲ ἀρχὰς προσέχων ῥητορικοῖς. φέρεται κὴ τότε βιβλία κάλλιστα τάδε. Ἐπιστολικὰ πρὸς Ἐμπεδοκλέους, κβ'. Περὶ τῶν μαθημάτων, πρὸς Πλάτωνα, πρὸς Ἀριστοτέλην. ἐτελεύτα δὲ πρὸς Λυσίᾳ, ἑκατὸν ἀνήρ.

Λεοντέως τε Λαμψακηνὸς ὁμοίως, κὴ ἡ τότε γυνὴ Θεμίστα, πρὸς ἣν κὴ γέγραφεν ὁ Ἐπίκουρος.

Ἔτι τε Κολώτης, κὴ Ἰδομενεὺς, κὴ αὐτοὶ Λαμψακηνοί.

τοί. καὶ ἔτι μᾶλλον ἐλλόγιμοι, ὧν ἦν καὶ Πολύστρατος, ὁ διαδεξάμενος Ἕρμαχον· ἐν διεδέξατο Δισνύσιος, ὃν Βασιλίδης. καὶ Ἀπολλόδωρος δὲ, ὁ Κηποτύραννος, γέγονεν ἐλλόγιμος, ὃς ὑπὲρ τετρακόσια συνέγραψε βιβλία. δύο τε Πτολεμαῖοι Ἀλεξανδρεῖς, ὅ τε Μέλας καὶ ὁ Λύκος· Ζήνων τε ὁ Σιδώνιος, ἀκροατὴς Ἀπολλοδώρου, πολυγράφος ἀνήρ· καὶ Δημήτριος ὁ ἐπικληθεὶς Λάκων· Διογένης τε ὁ Ταρσεύς, ὁ τὰς ἐπιλέκτους σχολὰς συγγράψας· καὶ Ὠρείων, καὶ ἄλλοι οὓς οἱ γνήσιοι Ἐπικούρειοι σοφισὰς ἀποκαλοῦσιν.

Ἦσαν δὲ καὶ ἄλλοι Ἐπίκουροι τρεῖς, ὅ τε Λεοντέως υἱὸς καὶ Θεμίστας· ἕτερος, Μάγνης· τέταρτος, ὁπλομάχος.

Γέγονε δὲ πολυγραφώτατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλόμενος πλήθει βιβλίων. κύλινδροι μὲν γὰρ πρὸς τριακοσίοις εἰσί. γέγραπται δὲ μαρτύριον ἔξωθεν ἐν αὐτοῖς ἑδεῖ· ἀλλ' αὗται εἰσὶν Ἐπικούρου φωναί. ἐζήλωσε δὲ αὐτὸν Χρύσιππος ἐν πολυγραφίᾳ· καθάφησι Καρνεάδης, φάσιπον αὐτῷ τῶν βιβλίων ἀποκαλῶν. εἰ γάρ τι γράφαι ὁ Ἐπίκουρος, ἐφιλονείκει τοσοῦτο γράψαι ὁ Χρύσιππος. καὶ διὰ τοῦτο καὶ πολλάκις αὐτὰ γέγραφε, τὰ μὴ ἐπελθεῖν· καὶ διόρθωτα εἶλκε, τὰ ἐπεῖχεσθαι. καὶ τὰ μαρτύρια πασαῦτα ὄζειν, ὡς ἐκείνων μόνων γέμειν τὰ βιβλία· καθάπερ καὶ φάσκα Ζήνωνί ὄζειν δρῦν, καὶ φάσκα Ἀριστοτέλει. καὶ τὰ συγγράμματα μὲν Ἐπικούρῳ τοσαῦτα καὶ τηλικαῦτα, ὧν τὰ βέλτιστά ὄζει τάδε. Περὶ φύσεως, λζ'. Περὶ ἀτόμων καὶ κενοῦ. Περὶ ἔρωτος. Ἐπιτομὴ τῶν πρὸς τὰς φυσικάς. Πρὸς τὰς Μεγαρικὰς διαπορίαι. Κύριαι δόξαι. Περὶ αἱρέσεων. Περὶ φυτῶν. Περὶ τέλους. Περὶ κριτηρίου, ἢ κανών. Χαιρέδημος, ἢ Περὶ θεῶν. Περὶ ὁσιότητος, ἢ Ἠγησιάναξ.

ναξ. Περὶ βίων, δ'. Περὶ δικαιοπραγίας. Νεοκλῆς πρὸς Θεμίσαν. Συμπόσιον. Εὐρύλοχος. Πρὸς Μητρόδωρον. Περὶ τῦ ὁρᾶν. Περὶ τῆς ἐν τῇ ἀτόμῳ γωνίας. Περὶ ἁφῆς. Περὶ εἱμαρμένης. Περὶ παθῶν δόξαι, πρὸς Τιμοκράτην. Προγνωστικόν. Προληπτικός. Περὶ εἰδώλων. Περὶ φαντασίας. Ἀετοβόλος. Περὶ μουσικῆς. Περὶ δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν. Περὶ δώρων καὶ χάριτος. Πολυμήδης. Τιμοκράτης, γ'. Μητρόδωρος, ε'. Ἀντίδωρος, β'. Περὶ νόσων δόξαι, πρὸς Μίδρην. Καλλισόλας. Περὶ βασιλείας. Ἀναξιμένης. Ἐπιστολαί.

Ἐπιτομὴν δὲ αὐτῶν, τίνα δοκεῖ ἐν αὐτοῖς, ἐκθέσθαι πειράσομαι, τρεῖς ἐπιστολὰς αὐτὸς Διογένης, ἐν αἷς πᾶσαν τὴν ἑαυτῦ φιλοσοφίαν ἐπιτέτμηται. Θήσομαι δὲ καὶ τὰς κυρίας αὐτῦ δόξας, καὶ εἴτι ἔδοξεν ἐκλογῆς ἀξίως ἀνεφθέγχθαι. ὥστε σὲ παντάχοθεν καταμαθεῖν τὸν ἄνδρα, καὶμὲ κρίνειν, εἰ οἶδα κρίνειν. τὴν μὲν ἓν πρώτην ἐπιστολὴν γράφει πρὸς Ἡρόδοτον, περὶ τῶν φυσικῶν· δευτέραν, πρὸς Πυθοκλέα, ἥτις ἐστὶ περὶ μετεωρίων· τὴν τρίτην, πρὸς Μενοικέα· ἔστι δ' ἐν αὐτῇ τὰ περὶ βίων. ἀρκτέον δὴ ἀπὸ τῆς πρώτης, ὀλίγα προεκθέντα περὶ τῆς διαιρέσεως τῆς κατ' αὐτὸν φιλοσοφίας.

Διαιρεῖται τοίνυν εἰς τρία. τό τε κανονικὸν, καὶ φυσικὸν, καὶ ἠθικόν. τὸ μὲν οὖν κανονικὸν ἐφόδους ἐπὶ τὴν πραγματείαν ἔχει, καὶ ἔστιν ἐν οἷς τῇ ἐπιγραφομένῳ κανών. τὸ δὲ φυσικὸν, τὴν περὶ φύσεως θεωρίαν πᾶσαν, καὶ ἔστιν ἐν ταῖς περὶ φύσεως βίβλοις λζ', καὶ ἐν ταῖς ἐπιστολαῖς κδ' στοιχεῖον. τὸ δὲ ἠθικὸν, τὰ περὶ αἱρέσεως καὶ φυγῆς. ἔστι δὲ καὶ ἐν ταῖς περὶ βίων βίβλοις, καὶ ἐν ἐπιστολαῖς, καὶ ἐν τῇ περὶ τέλους. εἰώθασι μεν-

τοι

τοι τὸ κανονικὸν ὁμοῦ τῷ φυσικῷ συνπάττειν. καλοῦσι δὲ αὐτὸ Περὶ κριτηρίου, καὶ ἀρχῆς, καὶ στοιχειωτικόν· τὸ δὲ φυσικὸν, Περὶ γενέσεως, καὶ φθορᾶς, καὶ περὶ φύσεως· τὸ δὲ ἠθικὸν, Περὶ αἱρετῶν καὶ φευκτῶν, καὶ Περὶ βίων, καὶ τέλους.

Τῶν δὲ διαλεκτικῶν δὲ ὡς παρέλκουσαν ἀποδοκιμάζουσιν. ἀρκεῖν γὰρ τὰς φυσικὰς χωρεῖν καὶ τὰς τῶν πραγμάτων φθόγγους. ἐν τοίνυν τῷ κανόνι λέγει ὁ Ἐπίκουρος, κριτήρια τῆς ἀληθείας εἶναι τὰς αἰσθήσεις, καὶ τὰς προλήψεις, καὶ τὰ πάθη· οἱ δ' Ἐπικούρειοι, καὶ τὰς φαντασικὰς ἐπιβολὰς τῆς διανοίας. λέγει δὲ καὶ ἐν τῇ πρὸς Ἡρόδοτον ἐπιστολῇ, καὶ ἐν ταῖς κυρίαις δόξαις. Πᾶσα γὰρ (φησὶν) αἴσθησις, ἄλογός ἐστι, καὶ μνήμης οὐδεμιᾶς δεκτική· οὔτε γὰρ ὑφ' αὑτῆς κινεῖται, οὔτε ὑφ' ἑτέρας κινηθεῖσα, δύναταί τι προσθεῖναι ἢ ἀφελεῖν, οὐδ' ἔστι τὸ δυνάμενον αὐτὰς διελέγξαι. οὔτε γὰρ ἡ ὁμοιογενὴς αἴσθησις τὴν ὁμοιογενῆ, διὰ τὴν ἰσοδυνάμειαν· οὔθ' ἡ ἀνομοιογενὴς τὴν ἀνομοιογενῆ. οὐ γὰρ τῶν αὐτῶν εἰσι κριτικαί, οὔθ' ἡ ἑτέρα τὴν ἑτέραν· πάσαις γὰρ προσέχομεν. οὔτε μὴν ὁ λόγος· πᾶς γὰρ λόγος ἀπὸ τῶν αἰσθήσεων ἤρτηται. καὶ τὸ τὰ ἐπαισθήματα δὲ ὑφεστάναι, πίστιν τὴν τῶν αἰσθήσεων ἀλήθειαν. ὑφέστηκε δὲ τό, τε ὁρᾶν ἡμᾶς καὶ ἀκούειν, ὥσπερ τὸ ἀλγεῖν. ὅθεν καὶ περὶ τῶν ἀδήλων ἀπὸ τῶν φαινομένων χρὴ σημειοῦσθαι. καὶ γὰρ καὶ ὑπόνοιαι πᾶσαι ἀπὸ τῶν αἰσθήσεων γεγόνασι κατά τε περίπτωσιν καὶ ἀναλογίαν, καὶ ὁμοιότητα, καὶ συνθέσιν, συμβαλλομένου τι καὶ τοῦ λογισμοῦ. τά τε τῶν μαινομένων φαντάσματα, καὶ τὰ κατ' ὄναρ, ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὂν, οὐ κινεῖ.

Τῶν δὲ προλήψιν λέγουσιν οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθὴν, ἢ ἔννοιαν, ἢ καθολικὴν γνῶσιν ἐναποκειμένην,

μβάλω, τετέσι μνήμλω τὰ πολλάκις ἔξωθεν φαινόμενα. οἷον τὸ, Τοιοῦτόν ἐστιν ἄνθρωπος. ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, διὰ τὰς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτὸς νοεῖται, προηγεμβάντων καὶ αἰσθήσεων. παντὸς οὖν πράγματος ὀνόματι τῷ πρώτως ὑπιπτεμβάντι, ἐναργές ἐστι. καὶ ἐκ ἂν ἐζητήσαμβ τὸ ζητούμβνον, εἰ μὴ πρότερον ἐγνωκειμβν αὐτό. οἷον, Τὸ πόρρω ἐστὸς, ἵππος ἐστὶν ἢ βοῦς. δεῖ γὰρ καὶ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. εἶτ' ἂν ὀνομάσαιμέν τι, μὴ πρότερον αὐτὸ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις.

Καὶ τὸ δοξαστὸν, ὑπὸ προτέρας τινὸς ἐναργοῦς ἥπται. ἐφ' ὃ ἀναφέροντες λέγομβν· οἷον, Πόθεν ἴσμβν εἰ τοῦτό ἐστιν ἄνθρωπος; Τὴν δὲ δόξαν, καὶ ὑπόληψιν λέγουσιν. ἀληθῆ τέφασι καὶ ψευδῆ· ἂν μὲν οὖν ὑπμαρτυρῆται, ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ὑπμαρτυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ τυγχάνειν. ὅθεν τὸ προσμβῖναι καὶ ἐγγὺς γμέσθαι τῷ πύργῳ, καὶ μαθεῖν ὁποῖος ἐγγὺς φαίνεται.

Πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα· ἐπάμβα δὲ πᾶν ζῷον. καὶ τὴν μὲν, οἰκεῖον· τὴν δὲ, ἀλλότριον· δι' ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς. ἔθη τε ζητήσεων εἶναι τὰς μὲν περὶ τῶν πραγμάτων· τὰς δὲ, περὶ φιλίαν τὴν φωνήν. καὶ ταῦτα δὲ περὶ τῆς διαιρέσεως, καὶ τὰ κριτήρια στοιχειωδῶς.

Ἀκριτέον δὲ ὑπὸ τὴν ὑπόληψιν.

Ἐπί-

Ἐπίκουρος Ἡροδότῳ χαίρειν.

Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε, ἕκαστα τῶν κατὰ φύσεως ἡμῖν ἀναγεγραμμένων ἐξακριβοῦν, μηδὲ τὰς μείζους τῶν συντεταγμένων βίβλων διαθρεῖν, ἐπιτομὴν τῆς ὅλης πραγματείας, εἰς τὸ καταχεῖν τῶν ὁλοχερεστάτων δοξῶν τὴν μνήμην ἱκανῶς, αὐτοῖς παρεσκεύασα· ἵνα παρ' ἑκάστας τῶν καιρῶν ἐν τοῖς κυριωτάτοις βοηθεῖν αὐτοῖς δύωνται, καθ' ὅσον αὖ ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. καὶ τὰς προβεβηκότας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει, τὸν τύπον τῆς ὅλης πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν. τῆς γὰρ ἀθρόας ἐπιβολῆς πυκνὸν δέομεθα· τῆς δὲ κατὰ μέρος, οὐχ ὁμοίως. βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα, καὶ συνεχῶς ἐν τῇ μνήμῃ τοσοῦτον ποιητέον, ἀφ' ἕ ποτε κυριωτάτη ἐπιβολὴ ἐπὶ τὰ πράγματα ἔσαι, καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκείβωμα πᾶν ἐξευρεθήσεται, τῶν ὁλοχερεστάτων τύπων ἐμπεπερασμένων, καὶ μνημονευομένων· ἐπεὶ καὶ τὸ τετελεσιουργημένον τοῦτο κυριώτατον τὸ παντὸς ἀκειβωμένου γίνεται, τὸ ταῖς ἐπιβολαῖς ὀξέως δυνάσθαι χρῆσθαι, καὶ πρὸς ἁπλᾶ στοιχειώματα καὶ φωνὰς συναγομένων. ὁ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἰδέναι, μὴ δυνάμενον ἅμα βραχέων φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὐτῷ ὃν καὶ κατὰ μέρος πρότερον ἐξακριβωθέν. ὅθεν δὴ πᾶσι χρησίμως ἔσται, τοῖς ὠκειωμένοις φυσιολογίᾳ, τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶπαν συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ, καὶ τῶν μάλιστα τούτῳ ἐγγαλλωιζώντων τῷ βίῳ, ποιήσασθαι δεῖ καὶ τοιαύτην τινὰ ἐπιτομὴν καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν. πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις (ὦ Ἡρόδοτε) δεῖ ἐπιφέρειν, ὅπως

πως αὖ τὰ δοξαζόμενα, ἢ ζητούμενα, ἢ ἀπορούμενα ἔχωμεν εἰς ὃ ἀνάγοντες δυνησόμεθα κρίνειν, καὶ μὴ ἄπειρα πάντα ἡμῖν εἰς ἄπειρον ἀποδεικνύωσιν, ἢ κενὰς φθόγγους ἔχωμεν. ἀνάγκη γὰρ τὸ πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι, καὶ μηδὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἔξομεν τὸ ζητούμενον, ἢ ἀπορούμενον, καὶ δοξαζόμενον ἐφ' ὃ ἀνάξομεν. εἶτα κατὰ τὰς αἰσθήσεις δεῖ πάντα κρίνειν, καὶ ἁπλῶς κατὰ τὰς παρούσας ἐμφάσεις, εἴτε διανοίας, εἴθ' ὁτουδήποτε τῶν κριτηρίων. ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη· ὅπως ἂν καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα. παῦτα δὲ λαβόντας συλλαβὰς ἤδη δεῖ περὶ τῶν ἀδήλων. πρῶτον μέν, ὅτι αἰσθανόμεθα ἐκ τοῦ μὴ ὄντος. πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἄν, σπερμάτων γε αἰσθανόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν ἀπολώλει τὰ πράγματα, ἐκ ὄντων τῶν εἰς ἃ διελύετο. καὶ μὲν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νυνὶ ἔστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. αἰσθανόμενον γάρ ἐστιν εἰς ὃ μεταβάλλει. φαμὲν δὲ τὸ πᾶν αἰσθανόμενον εἶναι, εἰς ὃ ἂν εἰσελθὸν αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο. ἀλλὰ μὴν καὶ τοῦτο καὶ ἐν τῇ μεγάλῃ διατομῇ φησι κατ' ἀρχήν. καὶ ἐν τῇ πρώτῃ περὶ φύσεως· τὸ πᾶν ἐστὶ σώματα· τὰ μὲν γὰρ σώματα ὡς ἔστιν, ἡ αὐτὴ αἴσθησις διὰ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον τὸ πρόσθεν· εἰ μὴ ἦν ὃ κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν, οὐδ' δι' ἃ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα. φαμὲν δὲ ταῦτα αἰσθανόμενα ὅτε ἐπινοηθῆναι δύναται, ὅτε προλήψεως, ὅτε ἀναλόγως τοῖς προλήψεσι, ὡς καθ' ὅλας φύσεις λαμβανόμενα, καὶ μὴ ὡς τὰ τούτων συμπτώματα, ἢ συμβεβηκότα, λεγόμενα. καὶ μὴν

καὶ ταὐτὸ τοῦτο ἐν τῇ πρώτῃ περὶ φύσεως φησι, καὶ ἐν τῇ τετταρακαιδεκάτῃ καὶ πεντεκαιδεκάτῃ, καὶ ἐν τῇ μεγάλῃ διακοσμήσει. τῶν σωμάτων τὰ μὲν ἔξει συγκρίσεις, τὰ δ' ἐξ ὧν αἱ συγκρίσεις πεποίηνται. ταῦτα δέ ἐστιν ἄτομα καὶ ἀμετάβλητα, εἴπερ μὴ μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι· ἀλλ' ἰσχύοντα ὑπομένειν, ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων, πλήρη τὴν φύσιν ὄντα, καὶ οὐκ ἔχοντα ὅπη ἢ ὅπως διαλυθήσεται. ὥστε τὰς ἀρχὰς, ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις. ἀλλὰ μὴν καὶ τὸ πᾶν, ἄπειρόν ἐστι. τὸ γὰρ πεπερασμένον, ἄκρον ἔχει· τὸ δὲ ἄκρον, παρ' ἕτερόν τι θεωρεῖται· ὥστε τὸ μὴ ἔχον ἄκρον, πέρας οὐκ ἔχει· πέρας δὲ οὐκ ἔχον, ἄπειρον ἂν εἴη, καὶ ἐ πεπερασμένον. καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων ἄπειρόν ἐστι τὸ πᾶν, καὶ τῷ μεγέθει τοῦ κενοῦ. εἴτε γὰρ ἦν τὸ κενὸν ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐδαμοῦ ἂν ἔμενε τὰ σώματα, ἀλλ' ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρμένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα καὶ τὰς ἀντικοπάς· εἴτε τὸ κενὸν ἦν ὡρισμένον, τὰ δὲ σώματα ἄπειρα· οὐκ ἂν εἶχε τὰ ἄπειρα σώματα ὅπου ἂν ἔστη. πρός τε τούτοις, τὰ ἄτομα τῶν σωμάτων καὶ μεσὰ, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται, καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων· οὐ γὰρ δυνατὸν φθεῖραι τὰς τοσαύτας διαφορὰς τῶν σχημάτων ἐκ τῶν ἀτόμων ὠφελημμένων. καὶ καθ' ἑκάστην δὲ σχηματισιν ἁπλῶς ἄπειροί εἰσιν ἄτομοι. ταῖς δὲ διαφοραῖς οὐχ ἁπλῶς ἄπειροι, ἀλλὰ μόνον ἀπερίληπτοι. οὐδὲ γὰρ, φησὶν Ἐπικούρειος, εἰς ἄπειρον τὴν τομὴν τυγχάνειν. λέγει δὲ, ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται, εἰ μέλλει τις μὴ καὶ τοῖς μεγέθεσιν ἁπλῶς εἰς ἄπειρον αὐτὰς ἐκβάλλειν. κινοῦνται τε συνεχῶς αἱ ἄτομοι. φησὶ δὲ Ἐπικούρειος, καὶ

ἰσο-

ἰσοταχῶς αὐτὰς κινεῖσθαι, τὸ κενὸν τὴν ἴξιν ὁμοίαν παρεχομένοις καὶ τῇ κουφοτάτῃ καὶ τῇ βαρυτάτῃ εἰς τὸν αἰῶνα. καὶ αἱ μὲν, εἰς μακρὰν ἀπ' ἀλλήλων διίστανται· αἱ δὲ, αὐτὸν τὸν παλμὸν ἴσχουσιν, ὅταν τύχωσιν ὑπὸ τὴν ἁπλοκὴν κεκλιμέναι, ἢ συναζόμεναι ἀπὸ τῶν πλεκτικῶν. ἥτε γὰρ τοῦ κενοῦ φύσις, ἡ διορίζουσα ἑκάστου ἄτομον, τοῦτο ἀπομαλάζει, τὴν ὑπέρεισιν ἔχ οἵα τε ὄσα ποιεῖσθαι· ἥτε στερεότης ἡ ὑπάρχουσα αὐταῖς καὶ τὴν σύγκρισιν, τὸν ἀποπαλμὸν ποιεῖ, ἐφ' ὁπόσον ἂν ἡ ἁπλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρίσεως διδῷ. ἀρχὴ δὲ τούτων ἐκ ἔστιν, αἰτίων τῶν ἀτόμων ὄντων καὶ τοῦ κενοῦ. φησὶ δ' ἐνδοτέρω, μηδὲ ποιότητα τινὰ περὶ τὰς ἀτόμους εἶναι, πλὴν σχήματος, καὶ μεγέθους, καὶ βάρους· τὸ δὲ χρῶμα ἀπὸ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεσθαι, ἐν τῇ δωδεκάτῃ τῶν στοιχειώσεων φησι. πᾶν τε μέγεθος μὴ εἶναι ἀπὸ αὐτάς· ἀδέποτε γὰρ ἄτομος ἄφθη αἰσθήσει. αὖτη δ' ἡ φωνὴ, τούτων πάντων μνημονευομένων, τὸν ἱκανὸν τύπον ὑποβάλλει τῆς τῶν ὄντων φύσεως ὑπονοίας. ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροι εἰσὶν, εἴθ' ὅμοιοι τούτῳ, εἴτ' ἀνόμοιοι. αἵτε γὰ ἄτομοι ἄπειροι οὖσαι (ὡς ἄρτι ἀπεδείχθη) φέρονται καὶ πορρωτάτω. ἐ γὰρ κατιωάλωνται αἱ τοιαῦται ἄτομοι ἐξ ὧν ἂν γένοιτο κόσμος, ἢ ὑφ' ὧν ἂν ποιηθείη, οὔτ' εἰς ἕν, οὔτ' εἰς πεπερασμένους, οὔθ' ὅσοι τοιοῦτοι, οὔθ' ὅσοι διάφοροι τούτῳ. ὥστε οὐδὲν τὸ ἐμποδίζον ἔξι πρὸς τὴν ἀπειρίαν τῶν τοιούτων κόσμων. καὶ μὴν καὶ τύποι ὁμοιοχήμονες τοῖς στερεμνίοις εἰσὶ, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. οὔτε γὰρ ὑποσάσεις ἀδυνατοῦσιν ἐν τῷ περέχοντι γίνεσθαι τοιαῦται, οὔτε ὑπιδειότητες, κατὰ τὰς κατεργασίας τῶν κοιλωμάτων καὶ λεπτοτήτων γίνεσθαι, οὔτε ὑπόῤῥοιαι τὴν ἐξῆς θέσιν

καὶ βάσιν ἔχειν, ὧν περ καὶ ἐν τοῖς στερεμνίοις εἴχον. τύπους δὲ τὰς τύπας εἴδωλα προσαγορεύομεν. καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοπτόντων γινομένη, πᾶν μῆκος ἐλλιπὲς ἐν ἀπειρονόητῳ χρόνῳ συντελεῖ. βραδύτητος γὰρ καὶ τάχους ἀντικοπὴ καὶ οὐκ ἀντικοπή, ὁμοίωμα λαμβάνει. ὁ μὴν οὐδὲ ἅμα κατὰ τοὺς διὰ λόγου θεωρητοὺς χρόνους τὸ κάτω φερόμενον σῶμα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται (ἀδιανόητον γὰρ καὶ τοῦτο) συναφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅσον δή ποθεν τὸ ἀπείρον, οὐκ ἐξ οὗ ἂν ἐπιλάβωμεθα τοῦ φορᾶν τόπου ἴσαι ἀφιξόμενον. ἀντικοπὴ γὰρ ὁμοίων ἔσαι, κἂν μέχρι ποσοῦ τὸ τάχος τῆς φορᾶς μὴ ἀντικοπτόμενον καταλίπωμεν. χρήσιμον δὲ καὶ τοῦτο καταχεῖν τὸ στοιχεῖον, εἴθ' ὅτι τὰ χρησὰ εἴδωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται. ᾧ μηδὲν ἀντιμαρτυρεῖ τῶν φαινομένων, ὅσον καὶ τάχει ἀνυπέρβλητα ἔχει, πάντα πόρον σύμμετρον ἔχοντα· πρὸς τῷ ἀπείρῳ αὐτῶν μηδὲν ἀντικόπτειν, ἢ ὀλίγα ἀντικόπτειν, πολλαῖς δὲ καὶ ἀπείροις οὐθὲν ἀντικόπτειν τί. πρός τε τούτοις, ὅτι ἡ γένεσις τῶν εἰδώλων ἅμα νοήματι συμβαίνει. καὶ γὰρ ῥεῦσις ἀπὸ τῆς τῶν σωμάτων ὑπολλῆς συνεχὴς συμβαίνει, οὐκ ὑπόδηλος αἰσθήσει διὰ τὴν ἀνταναπλήρωσιν, σώζεται τὴν ὑπὸ τὰ στερεμνίων θέσιν καὶ τάξιν τῶν ἀτόμων ὑπὸ πολλοῦ χρόνου, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει. καὶ συστάσεις ἐν τῷ περιέχοντι ὄξεσθαι, διὰ τὸ μὴ δεῖν καὶ βάθος τὸ συμπλήρωμα γίνεσθαι. καὶ ἄλλοι δὲ τρόποι τινὲς γνωστικοὶ τῶν πιθανῶν φύσεών εἰσιν. ὅθεν καὶ τόπων ἀντιμαρτυρεῖ ταῖς αἰσθήσεσιν, ἂν βλέπῃ τις, τίνα τρόπον τὰς ἐνεργείας τὰ εἴδωλα ποιεῖται, ἵνα καὶ τὰς συμπα-

θείας

θείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς ἀνοίσῃ. δεῖ δὲ καὶ νομίζειν, ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν, τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι. ἢ γὰρ ἂν ἄλλως ἀποσφραγίσαιτο τὰ ἔξωθεν τῷ ἑαυτῶν φύσιν, τοῦ τε χρώματος καὶ τῆς μορφῆς, ἢ διὰ τὸ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀκείνων, καὶ διὰ τῶν ἀντίνων, ἢ θείων δή ποτε ῥευμάτων, ἀφ' ἡμῶν πρὸς ἐκεῖνα ἀποδιγνυμένων. ὥστε ὁρᾶν ἡμᾶς, τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων, ἀπὸ χροῶντε καὶ ὁμοιομόρφων, κατὰ τὸ ἐναρμόττον μέγεθος, εἰς τῷ ὄψιν ἢ τῷ διάνοιαν, ὡκέως ταῖς φοραῖς χωμένων. εἶτα διὰ ταύτην τὴν αἰτίαν τὸ ἑνὸς καὶ συνεχοῦς τὴν φαντασίαν ἀποδιδόντες, καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου σώζοντες κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν, ἐπὶ τῆς κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πλάσεως, καὶ διὰ ἂν λάβωμεν φαντασίαν, ὑπολλητικῶς τῇ διανοίᾳ ἢ τοῖς αἰσθητηρίοις, εἴτε μορφῆς, εἴτε συμβεβηκότων. μορφὴ δὲ ἐστὶ καὶ τὸ στερεμνίου, γινομένη καὶ τὸ ἑξῆς πύκνωμα, ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου. τὸ δὲ ψεῦδος καὶ τὸ διημαρτημένον, ἐν τῇ προσδοξαζομένῃ ἀεί ἐστιν ὑπομαρτυρηθήσεσθαι ἢ μὴ ἀντιμαρτυρηθήσεσθαι. εἶτ' ἐπὶ ὑπομαρτυρουμένῳ καὶ τῇ κίνησιν ἐν ἡμῖν αὐτοῖς συμπαρομένῃ τῇ φανταστικῇ ὑπολήψει, ἀλήθειαν δὲ ἐχούσῃ, καθ' ἣν τὸ ψεῦδος γίνεται. ἤτε γὰρ ὁμοιότης τῶν φαντασμάτων οἱονεὶ ἐν εἰκόνι λαμβανομένων, ἢ καθ' ὕπνους γινομένων, ἢ κατ' ἄλλας τινὰς ὑπολήψεις τῆς διανοίας, ἢ τῶν λοιπῶν κριτηρίων, ἐξ ὧν ποτε ὑπῆρχε τοῖς ἐσί τε καὶ ἀληθέσι προσαγορευομένοις, εἰ μὴ ἦν τινα καὶ ταῦτα πρὸς ὃ βάλλομεν. τὸ δὲ διημαρτημένον ἐξ ὧν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς, συμπαρομένην, ἀλήθειαν δὲ ἔχουσαν.

καὶ δὲ ταύτῃ τῇ συμμιγείσῃ τῇ φαντασικῇ ὑπολήψει, διαλείψειν δὲ ἔχουσαν, ἐὰν μὴ μὴ ὑπομαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δὲ ὑπομαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές. καὶ ταύτῃ δὴ σφόδρα γε δεῖ τῇ δόξῃ κατέχειν, ἵνα μήτε τὰ κριτήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐνεργείας, μήτε τὸ διμαρτυρούμενον ὁμοίως βεβαιούμενον πάντα συνταράττῃ. ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται, πνεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος, ἢ ἠχοῦντος, ἢ ψοφοῦντος, ἢ ὅπως δήποτε ἀκουστικοῦ πάθους ἀπεργαζομένου. τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς ὄγκους διαπείρεται, ἅματινα διασώζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ σύντονα ἰδιόζοπον διατείνουσαν πρὸς ὃ ἀποστέλλεται, καὶ τὴν ἐπαίθησιν τὴν ἀπ' ἐκείνου ὡς τὰ πολλὰ ποιοῦσαν· εἰ δὲ μήγε, τὸ ἔξωθεν μόνον σύδηλον ἀπεργαζόμενον. αἴσθ γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας, οὐκ ἂν γένοιτο ἡ παύτη ἐπαίθησις. οὐκ αὐτὸν δὲ δεῖ νομίζειν τὸν ἀέρα διὰ τῆς προϊεμένης φωνῆς, ἢ καὶ τὴν ὁμογλώων, χηματίζεσθαι, πολλὴν γὰρ σύδειαν ἔξει τοῦτο πάσχειν ὑπ' ἐκείνης· ἀλλ' ἑνὸς τοῦ γινομένου πληγὴν ἐν ἡμῖν ὅταν φανῇ ἀφίεμένου, τοιαύτῃ ἐκτινῶν ὄγκων ῥεύματος πνευματώδης ἀποτελεσικῶν ποιεῖσθαι, ἢ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν ἀπεργάζεσθαι. καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥσπερ καὶ τὴν ἀκοήν, οὐκ ἄν ποτε πάθος αἴσθησιν ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τῶν σωμάτων ἀποφερόμενοι, σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν· οἱ μὲν τοῖοι, παραγμένως καὶ ἀλόγως· οἱ δὲ τοῖοι, ἀπαράχως καὶ οἰκείως ἔχοντες. καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον, μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι, πλὴν χήματος, καὶ βάρους, καὶ μεγέθους, καὶ ὅσα ἐξ ἀνάγκης χήματος συμφυῆ ἐστι. ποιότης γὰρ πᾶσα μετα-

μεταβάλλει· αἱ δὲ ἄτομοι, ἐδὲν μεταβάλλουσιν. ἐπειδήπερ δεῖ τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκείσεων στερεὸν καὶ ἀδιάλυτον ὃ τὰς μεταβολὰς ἐκ εἰς τὸ μὴ ὂν ποιήσεται, ἐδ' ἐκ τῶ μὴ ὄντος, ἀλλὰ κ) μεταθέσεις ἐν πολλοῖς, ὅθι τινῶν δὲ, κ) προσάδες κ) ἀφάδες. ὅταν ἀναγκαῖον τὰ μὴ μεταπιθέμενα ἄφθαρτα εἶναι, κ) τῶν τὰ μεταβάλλοντος φύσιν ἐκ ἔχοντα, ὄγκος δὲ καὶ σχηματισμὸς ἰδίους· τοῦτο γὰρ καὶ ἀναγκαῖον ὑπομένειν. καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν μεταχηματιζομένοις κ) τῶν προαίρεσιν τὸ σχῆμα ἐυπάρχον λαμβάνεται· αἱ δὲ ποιότητες, αἱ ἐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ἐχ ὥσπερ ἐκεῖνο καταλείπονται, ἀλλ' ὅλε τὸ σώματος ἀπόλλυνται. ἱκανὰ ἔν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκείσεων διαφορὰς ποιεῖν· ἐπειδήπερ ὑπολείπεσθαί γέ τινα ἀναγκαῖον, καὶ μὴ εἰς τὸ μὴ ὂν πάντα φθείρεσθαι. ἀλλὰ μηδὲ δεῖ νομίζειν, παῦ μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· ἐλαχίστας δέ τινας μεγεθῶν νομιστέον εἶναι. βέλτιον γὰρ, κ) τότε προσόντος, τὰ κ) τὰ πάθη κ) τὰς αἰσθήσεις γινόμενα, ἀποδοθήσεται. παῦ δὲ μέγεθος ἐνυπάρχον, ἔτε χρήσιμόν ἐςι πρὸς τὰς τῶν ποιοτήτων διαφορὰς, ἀφῖχθαί τε ἀμέλει κ) πρὸς ἡμᾶς ὁρατὰς ἄτομος· ὃ δ' θεωρεῖται γινόμενον, ἔθ' ὅπως ἂν γένοιτο ὁρατὴ ἄτομος, ἔςιν ἐπινοῆσαι. πρὸς δὲ τούτοις ἐ δεῖ νομίζειν ἐν τῷ συνισταμένῳ σώματι ἀπείρας ὄγκους εἶναι, ἐδ' ὁπιλικασῶν. ὥσε ἐ μόνον τῶν εἰς ἄπειρον τομὴν ἐπὶ τὸ ἔλαττον, ἀναιρετέον (ἵνα μὴ πάντα ἀθενῆ ποιῶμεν, καὶ ὡς ταῖς θελήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα τὰ ὄντα, θλίβοντες, καταναλίσκειν) ἀλλὰ κ) τῶν μεταβασιν μὴ νομιστέον γρίεθαι ἐν τοῖς συνισταμένοις εἰς ἄπειρον, μηδὲ ἐπὶ τὸ ἔλαττον. ἔτε γὰρ σαφῶς, ἐπει-

δὲν ἄπαξ τις εἴπῃ ὅτι ἄπειροι ὄγκοι εἰσί τινι ὑπάρχουσιν, ἢ ὑπηλίκοιόν, ἐστὶ νοῆσαι πῶς τ' ἂν ἔτι πέρασμμένον τοῦτο εἴη τὸ μέγεθος. πηλίκοι γάρ τινες, δῆλον ὡς ἂν ἀπειροί εἰσιν ὄγκοι· καὶ τοὐναντίον ἐξ ὧν ὑπηλίκοι ἄν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος, ἄκρον τε ἔχοντες τὸ ὑφ' ἑπερασμμένον διαλήψεσθαι. εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητέον, ἂν ἔστι μὴ καὶ τὸ ἐξῆς τούτῳ πιθανὸν νοεῖν. καὶ ὅπου καὶ τὸ ἐξῆς εἰς τὸ ἔμφρονα βαδίζοντα, εἰς τὸ ἄπειρον ὑπάρχειν κατὰ πιθανὸν ἀφικνεῖσθαι τῇ ἐνοίᾳ. τό, τε ἐλάχιστον τὸ ἐν τῇ αἰσθήσει δεῖ καταμανθάνειν, ὅτι ὅτε πιθανὸν ὄζειν οἷον τὸ τὰς μεταβάσεις ἔχον, ὅτε πάντῃ πάντων ἀνόμοιον, ἀλλ' ἔχον μόνον τινὰ κοινότητα τῇ μεταβαίνων, ὀφλειφειν δὲ μερῶν ἂν ἔχον. ἀλλ' ὅτε ὀφὶ τινὶ τῆς κοινότητος προσεμφέρειαν οἰησόμεθα διαλήψεσθαί τι αὐτῆ, τὸ μὲν ὅτι τάδε, τὸ δὲ ἐπ' ἐκείνα, τὸ ἴσον ἡμῖν δεῖ προσπίπτειν. ἐξῆς τε θεωρήσομεν ταῦτα ἀπὸ τῶν πρώτων καταρχόμενοι. καὶ ἂν ἐν τῷ αὐτῷ, μὲν δὲ μέρεσι μερῶν ἀπτόμενα, ἀλλὰ ἐν τῇ ἰδιότητι τῇ ἑαυτῶν, τὰ μεγέθη καταμεξόντα, τὰ πλείω πλεῖον, καὶ τὰ ἐλάττω, ἔλαττον. ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ τὸ ἐν τῇ ἀτόμῳ ἐλάχιστον κεχρῆσθαι. μικρότητι γὰρ ἐκεῖνο δῆλον ὡς διαφέρει τῶν κατὰ τινὶ αἴσθησιν θεωρουμένων, ἀναλογίᾳ δὲ τῇ αὐτῇ κεχρῆσθαι. ἐπείπερ καὶ ὅτι μέγεθος ἔχει ἡ ἄτομος καὶ τὴν ἐνταῦθα ἀναλογίαν κατηγορήσαμεν, μικρότητι μόνον, μακρὸν ἐκβάλλοντες. ἔτι τε τὰ ἐλάχιστα καὶ ἀμιγῆ πέρατα δεῖ νομίζειν τῆς μικρῶν εἶναι τὸ καταμέξημα ἐξ αὐτῶν πρῶτον τοῖς μείζοσι καὶ ἐλάττοσι διδασκαλίζοντα τῇ ὀφὶ λόγῳ, θεωρεῖφ ὅτι τῆς ἀοράτων. ἡ γὰρ κοινότης ἡ ὑπάρχουσα αὐτοῖς πρὸς τὰ ἀμετάβολα, ἱκανὴ τὸ μέχρι τότε σωτελέσαι. συμφόρησιν δὲ ἐκ τέτων κίνησιν ἐχόντων ἂν οἷόν τε γε-

νέ-

νέσθαι. καὶ μὴν καὶ τὸ ἄπειρον, ὡς μὲν ἀνωτάτω ἢ κατωτάτω, οὐ δεῖ κατηγορεῖν τὸ ἄνω ἢ κάτω· ἴσμεν γὰρ τὸ ὑπὲρ κεφαλῆς, ὅθεν ἂν θῶμεν εἰς ἄπειρον ἄγειν ὄν, μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν· ἢ τὸ ὑποκάτω τῶν ποδῶν, εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ αὐτό· τοῦτο γὰρ ἀδυνάτων διανοηθῆναι. ὥς ἔστι μίαν λαβεῖν φορὰν, τὴν ἄνω νοσμενίων εἰς ἄπειρον· καὶ μίαν τὴν κάτω. ἂν καὶ μυριάκις πρὸς τοὺς πόδας τὴν ἐπάνω τὸ παρ' ἡμῶν φερόμενον ὅτι τοὺς ὑπὲρ κεφαλῆς ἡμῶν τόπους ἀφικνεῖται, ἢ ὅτι τὴν κεφαλὴν τὴν ὑποκάτω τὸ παρ' ἡμῶν κάτω φερόμενον. ἢ γὰρ ὅλη φορὰ ὑφ' ἑνὸς ἕκαστον ἑκατέρα ἑκατέρα ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται. καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τοὺς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται, μηδενὸς ἀντικόπτοντος. ἅτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τὴν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς· ἅτε τὰ μικρὰ τὴν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηδὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ· ἄθ' ἡ αὖω, ἄθ' ἡ εἰς τὸ πλάγιον διὰ τὴν κρίσεων φορὰ, ἄθ' ἡ κάτω διὰ τὴν ἰδίων βαρῶν. ἐφ' ὅσον γὰρ ἂν κατίσχῃ ἑκάτερα ἑκατέρων, ὅτι τοσοῦτο ἅμα νοήματι τὴν φορὰν χρόνου, ἕως ἂν μηδὲν ἀντικόψῃ, ἢ ἐξωθῆσαι, ἢ ἐκ τοῦ ἰδίου βάρους, πρὸς τὴν τοῦ πληξάντος δυνάμιν. ἀλλὰ μηδὲ καὶ τὰς συγκρίσεις θᾶττον ἑτέρας οἰσθήσεται, τὴν ἀτόμων ἰσοταχῶν οὐσῶν, τὴν ἐφ' ἓν τόπον φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους, καὶ τὸν ἐλάχιστον συνεχῆ χρόνον· εἰ δὲ μὴ ἐφ' ἓν τόπον, κατὰ τὸν λόγον θεωρητὸν χρόνος, ἐὰν πυκνὸν ἀντικόπτωσιν, ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γένηται. τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου, ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἔξουσιν, οὐκ ἀληθές

ἐστιν

ζειν ὅτι τῶν τοιούτων· ἐπεὶ τό γε θεωρούμενον πᾶν, ἢ κατ' ὑπόβολὴν λαμβανόμενον τῇ διανοίᾳ, ἀληθές ἐστιν. μετὰ δὲ ταῦτα δεῖ συνοράειν περὶ τῆς ψυχῆς, ἀναφέροντα ὑπὸ τὰς αἰσθήσεις, καὶ τὰ πάθη. ἔπω δὲ ἡ βεβαιοτάτη πίστις ἔσαι, ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς, παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον· προσεμφερέσατον δὲ πνεύματι, θερμὸ τινὰ κρᾶσιν ἔχοντι. καὶ πῇ μὲν, τῷ προσεμφερὲς, πῇ δὲ, ἐκείνῳ. ἔστι δὲ μετὰ μέρος πολλῷ σμικροτέρῳ εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῷ τῶν· συμπαθὲς δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ παῦ αἱ δυνάμεις τῆς ψυχῆς δηλοῦσι, καὶ τὰ πάθη, καὶ αἱ κινησίαι, καὶ αἱ διανοήσεις, καὶ ὧν στερήμεθα θνήσκοντες. καὶ μὲν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείσην αἰτίαν, δεῖ κατέχειν. ἐ μὲν εἰλήφει αὖ ταύτῃ, εἰ μὴ ὑπὸ τὸ λοιπὸν ἀθροίσματος ἐσεγάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα σμικρύσαν ἐκείνῃ τὴν αἰτίαν ταύτῃ, μετείληφε καὶ αὐτὸ τοιούτου συμπεφύκατος παρ' ἐκείνης, ἐ μόνοι πάντων ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλλαγείσης τῆς ψυχῆς, οὐκ ἔχει τὴν αἴσθησιν. ἐ γὰ αὐτὸ ἐν ἑαυτῷ ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγονημένῳ αὐτῷ ἡ φύσις παρεσκεύαζεν, ὃ δὴ τῆς συντελεσθείσης περὶ αὐτῷ δυνάμεως, καὶ τὴν κίνησιν σύμπτωμα αἰσθητικὸν δ' ὃν ὑπολεῖν ἑαυτῷ, ἀπεδίδει καὶ τὴν ὁμόρυσιν καὶ συμπάθειαν, καὶ ἐκείνῳ, καθάπερ εἶπον. διὸ δὴ καὶ ἐνυπαρχούσης τῆς ψυχῆς, οὐδέποτε ἄλλο τινὸς μέρους ἀπολαμβάνει, παναισθησία. ἀλλ' κἂν αὖτη ξυναπόληται τῷ σεγάζοντος λυθέντος, εἶθ' ὅλο εἴτε καὶ μέρους τινός, ἔ ἂν περ δαμῇ τὸ ὀξὺ καὶ τὴν αἴσθησιν. τὸ δὲ λοιπὸν ἄθροισμα δαμέν, καὶ ὅλον καὶ κατὰ μέρος, οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνης ἀπολαμβάνης, ὅσον ποτέ ἐστι τὸ συντεῖνον τῆς ἀτόμων

πλή-

πλῆθος εἰς τὸν τῆς ψυχῆς φύσιν. καὶ μὲν καὶ λυομένου τὸ ὅλον ἀθροίσματος, ἡ ψυχὴ διαπείρεται, καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις, οὐδὲ κινεῖται· ὥστ' οὐδ' αἰσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν αὐτὸν αἰσθανομένου, μὴ ἐν τούτῳ τῷ συνήματι ταῖς κινήσεσι ταύταις χρωμένου, ὅταν τὰ σεγάζοντα καὶ περέχοντα μὴ τοιαῦτα ᾖ, οἷα ἐν οἷς νῦν ὄσα ἔχει παύτας τὰς κινήσεις. ἀλλὰ μὲν καὶ τόδε λέγει ἐν ἄλλοις, καὶ ἐξ ἀτόμων αὐτὸν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τοῦ τε πυρός· καὶ τὸ μυρτι αὐτῆς ἄλογον εἶναι, ὃ τῷ λοιπῷ παραπαρὴ σώματι· τὸ δὲ λογικὸν, ὃ ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. ὕπνον τε γίνεσθαι πονουμένων τοῦ τῆς ψυχῆς μερῶν τοῦ παρ' ὅλον τὸν σύγκρισιν παραπαρμένων, ἢ ἐγκατεχομένων, ἢ διαφορουμένων, εἶτα συμπιπτόντων σὺν τοῖς ἐπαρμένοις. τό, τε σπέρμα ἀφ' ὅλων τοῦ σωμάτων φέρεσθαι. ὅγε δεῖ προσκαπανοεῖν ὅτι ἐκ ἀσώματον· λέγει γὰρ καὶ τὸν πλείστων ὁμιλίαν τὸ ὀνόματος, καὶ μὴ ὅπι τὸ καθ' ἑαυτὸ νοηθέντος πρῶτον· καθ' ἑαυτὸ δὲ ἐκ ἔστι νοῆσαι τὸ ἀσώματον, πλὴν ὅπι τὸ κενόν. τὸ δὲ κενὸν ὅτε ποιῆσαι, ὅτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτὸ τοῖς σώμασι παρέχεται· ὥθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν, ματαιάζουσιν. ἐδὲν γὰρ ἂν ἐδύνατο ποιεῖν, ὅτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα παῦτα διαλαμβάνομεν περὶ τὸν ψυχὸν τὰ συμπτώματα. παῦτα ἓν πάντα τὰ διαλογίσματα περὶ ψυχῆς ἀνάγων τὸς ὅπι τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τοῦ ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριλημμένα, εἰς τὸ τὰ καὶ μέρος ὑπὸ τῶν ἐξαιρεῖσθαι βεβαίως. ἀλλὰ μὲν καὶ τὰ χήματα, καὶ τὰ χρώματα, καὶ τὰ μεγέθη, καὶ τὰ βάρεα, καὶ ὅσα ἄλλα κατηγορεῖται

καὶ

καὶ τὸ σώματος, ὡς ἂν εἰς αὐτὸ βιβηκότα, καὶ πᾶσιν ὑπάρχοντα, ἢ τοῖς ὁρατοῖς, καὶ κατὰ τὴν αἴσθησιν αὐτῶν γνωστοῖς, ἔθ' ὡς καθ' ἑαυτὰς εἰσὶ φύσεις, δοξαστέον· (καὶ γὰρ δυνατὸν ὑπάρξαι τοῦτο) ἔθ' ὅλως ὡς ἐκ εἰσίν, ἔθ' ὡς ἕτερα τινὰ προσυπάρχοντα τούτῳ ἀσώματα, ἔθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον μὲν ἐκ τούτων παύεσθαι τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον, ἐχοῖον τ' εἶναι συμπεφορημένον· ὥσπερ ὅταν ἐξ αὐτῆς τῆς ὄγκων μεῖζον ἄθροισμα συρῇ, ἤτοι τῆς τροφῶν ἢ τῆς τοῦ ὅλου μεγεθῶν, τὸ δέ τινος ἐλαττόνων· ἀλλὰ μόνον (ὡς λέγω) ἐκ τούτων ἀπαύστων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον. καὶ ἐπιβολὰς μὲν ἐχοντα ἰδίας παύεσθαι ταύτας ἐσι νοεῖν, καὶ διαλείψεις· συμπροσακολουθοῦντος δὲ τοῦ ἀθρόου, καὶ ἐδαμῆ ἀποχιζομένου, ἀλλὰ καὶ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορεῖσθαι εἰλικρινῶς. καὶ μὲν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ ἐκ ἀίδιόν τι προσακολουθεῖν, ὅτ' ἐν τοῖς ἀοράτοις, καὶ ὅτε ἀσώματα. ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν, τούτῳ τῷ ὀνόματι χρώμενοι, φανερὸν ποιοῦμεν τὰ συμπτώματα ὅτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ἣν συλλαβόντες καὶ τὸ ἀθρόον, σῶμα προσαγορεύομεν· ὅτε τὴν τοῦ ἀίδιον παρακολουθοῦντων, ὧν ἄνευ, σῶμα δ' δυνατὸν γενέσθαι. κατ' ἐπιβολὰς δ' ὧν τινας προσακολουθοῦντος τοῦ ἀθρόου, ἕκαστα προσαγορεύεσθαι. ἀλλ' ὅτε δή ποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, ἐκ ἀίδιον τῶν συμπτωμάτων προσακολουθούντων καὶ ἐκ ἐξελατέον ἐκ τοῦ ὀνόματος ταύτην τὴν ἐνάργειαν, ὅτι ἐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ τι συμβαίνει, ὃ δὴ καὶ σῶμα προσαγορεύομεν, οὐδὲ τὴν τοῦ ἀίδιον προσακολουθοῦντων, οὐδ' αὖ καθ' αὑτὰ ὑφισταῖ νομιστέον. οὐδὲ γὰρ τοῦτο διανοητέον, ὅτ' ὂν τοῦτον, ὅτ' ὂν τῶν ἀιδίων συμβεβηκότων. ἀλλ' ὅπερ καὶ φαίνεται, συμπτώματα πάντα τὰ σώματα νομιστέον, καὶ ἐκ ἀίδιον προσακολουθοῦντα,

οὐδ'

ἐδ' αὖ φύσεως καθ' ἑαυτὰ τάγμα ἔχοντα· ἀλλ' ὃν ἕ-
πον αὐτὴ ἡ αἴθησις τιὼ ἰδιότητα ποιεῖ, θεωρεῖται· κ᾽
μὴν κ᾽ τόδε γε δεῖ προσκαταλοῆσαι σφοδρῶς· τὸν γὰρ δὴ
χρόνον ἐ ζητητέον, ὥσπερ κ᾽ τὰ λοιπὰ ὅσα ἐν ὑποκει-
μενῷ ζητεῖμεν. ἀνάγοντες ὅπ᾽ τὰς βλεπομενίας παρ' ἡμῖν
αὐτοῖς προλήψεις· ἀλλ' αὐτὸ τὸ ἐνέργημα, καθ' ὃ τὸν
πολὺν ἢ ὀλίγον χρόνον ὠναφωνεῖμεν, συγχρικῶς τὸ τὸ
θ᾽ φέροντες, ἀναλογισέον. κ᾽ ὅτε διαλέκτως, ὡς βελτίως
μεταληπτέον, ἀλλ' αὐταῖς ταῖς ὑπαρχούσαις κατ' αὐτὸ
χρησέον· ὅτε ἄλλό τι καθ' ἑαυτὸ κατηγορητέον, ὡς τιὼ
αὐτιὼ οὐσίαν ἔχοντος τῷ ἰδιώματι τότῳ· (κ᾽ γὰρ τὸ τὸ
ποιοῦσι τινες) ἀλλὰ μόνον ὡς συμπλέκομεν τὸ ἴδιον
τότῳ κ᾽ θ᾽ μεθ᾽ ὧμεν, μάλιστα ἐπιλογισέον. κ᾽ γὰρ τὸ-
το ἐκ ἀποδείξεως προσδεῖται, ἀλλ' ἐπιλογισμῷ· ὅτι
ταῖς ἡμέραις κ᾽ ταῖς νυξὶ συμπλέκομεν χρόνον, κ᾽ τοῖς
τῶν μέρεσιν. ὡσαύτως δὲ κ᾽ τοῖς πάθεσι κ᾽ ταῖς
ἀπαθείαις, κ᾽ κινήσεσι, κ᾽ στάσεσιν, ἴδιόν τι σύμπτω-
μα θ᾽ ταῦτα πάλιν αὐτὸ τὸ ἐνοοῦντες καθ' χρόνον
ὀνομάζομεν. φησὶ δὲ κ᾽ ἐν τῇ β'. τὸ θ᾽ φύσεως,
κ᾽ ἐν τῇ μεγάλῃ ἐπιτομῇ. ὅπ᾽ τε τοῖς προειρημένοις,
Τὸν κόσμον δεῖν κατὰ πᾶσαν σύγκρισιν πεπερασμένον,
τὸ ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχεσαν, νομίζειν
γεγονέναι ἀπὸ τὸ ἀπείρου, πάντων τότων ἐκ συτροφῶν
ἰδίων ὑποκειμενῶν, κ᾽ μειζόνων κ᾽ ἐλατόνων. κ᾽ πά-
λιν διαλύεσθαι πάντα, τὰ μὲν, θᾶττον, τὰ δὲ, βρα-
δύτερον· κ᾽ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ, ὑπὸ τοιῶν-
δε τὸ πάσχοντα. δῆλον ἂν ὡς κ᾽ φθαρτὸς φησι τὸς κόσ-
μους, μεταβαλλόντων τῶν μερῶν. κ᾽ ἐν ἄλλοις, τιὼ γῆν
τῷ ἀεὶ ἐποχεῖσθαι. ἔτι δὲ κ᾽ τὸς κόσμους ὅτε ἐξ ἀνάγ-
κης δεῖν νομίζειν σ᾽α χρηματισμὸν ἔχοντας, ἀλλὰ κ᾽
διαφόρους αὐτὸς, ἐν τῇ ιβ'. θ᾽ τότε φησίν. ὃς μὲν

γὰρ,

γὰρ, σφαιροειδεῖς εἶναι, καὶ ὠοειδεῖς ἄλλους, καὶ ἀλλοίους χήμονας ἑτέρους· ὁ μέντοι παῦ χῆμα ἔχειν. ὑδὲ ζῶα εἶναι ἀποκριθέντα ἀπὸ τῦ ἀπείρυ. ὑδὲ γὰρ ἂν ἀποδείξειεν ὑδεὶς, ὡς μὲν τῷ τοιύτῳ κόσμῳ ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα, ἐξ ὧν ζῶά τε καὶ φυτὰ, καὶ τὰ λοιπὰ πάντα θεωρέμενα συνίσταται· ἐν δὲ τῷ τοιύτῳ, ἐκ ἂν ἐδυνήθη. ὡσαύτως δὲ καὶ ἀνθρώπους εἶναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅτι γῆς τομιστέον. ἀλλὰ μὴν ὑπολειπτέον καὶ τὴν τῶν ἀνθρώπων φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ τῆς αὐτῆς προνοίας πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι· τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα, καὶ ὕστερον ἐπακριβῶν· καὶ προσεξευρίσκειν ἐν μέν τισι, θᾶττον· ἐν δέ τισι, βραδύτερον· καὶ ἐν μέν τισι, κατὰ περιόδους καὶ χρόνους μείζους ἀπὸ τῆς τῶ ἀπείρυ. ἐν δέ τισι, κατ' ἐλάττους. ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῆς ἀνθρώπων, καθ' ἕκασα ἔθνη ἴδια παθήματα πάθη, καὶ ἴδια λαμβανούσας φαντάσματα, ἰδίως τὸν ἀέρα ἐκπέμπειν, σημαινόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἂν ποτε καὶ ἡ περὶ τὰς τόπυς τῶν ἐθνῶν διαφορὰ εἴη. ὕστερον δὲ κοινῶς καθ' ἕκασα ἔθνη τὰ ἴδια πεθῆναι. πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις, καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ συνορώμενα πράγματα εἰσφέροντας, τὰς συνειδότας παρεγγυῆσαι τινὰς φθόγγυς· ὧν τὰς μὲν, ἀναγκασθέντας ἀφωνῆσαι· τὰς δὲ, τῷ λογισμῷ ἑλομένυς κατὰ τὴν πλείσην αἰτίαν, ἅτως ἑρμηνεῦσαι. καὶ μὴν ἐν τοῖς μετεώροις, φορὰν καὶ τροπὴν καὶ ἔκλειψιν, καὶ ἀνατολὴν, καὶ δύσιν, καὶ τὰ σύσοιχα τούτοις, μήτε λειτυργοῦντος τινὸς νομίζειν δεῖ γίνεσθαι, καὶ διατάττοντος, ἢ διατάξαντος, καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος μετ' ἀφθαρσίας.

σίας. ἐ γὰρ συμφωνοῦσι πραγματεῖαι, ἢ φροντίδες, ἢ ὀργαὶ, ἢ χάριτες μακαριότητι, ἀλλ' ἀθενείᾳ, ἢ φόβῳ, ἢ προσδοκήσει τῷ πλησίον παῦται γίνεται. μήτε αὖ πυρώδη τινὰ συνεγραμμένα, τὴν μακαριότητα κεκτημένα, κατὰ βέλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ παῦ τὸ σέμνωμα πρεῖν, κατὰ πάντα ὀνόματα φερόμενα ὅτι τὰς τοιαύτας ἐννοίας, ἐὰν μηδὲν ὑπεναντίον ἐξ αὐτῷ τῷ σεμνώματι δόξῃ. εἰ δὲ μὴ, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὖτη ὑπεναντιότης ἐμβεβλάσει. ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῷ συγγραφῶν τούτων ἐν τῇ τῦ κόσμυ φύσει, δεῖ δοξάζειν, ἢ τὴν ἀνάγκην ταύτην ἢ ἐμόδον συντελεῖσθαι. ἢ μὴν ἢ τὴν ὑπὲρ τῷ κυριωτάτων αἰτίαν ἐξαιρεβῶσαι, φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, ἢ τὸ μακάριον ἐν τῇ περὶ τῷ μετεώρων γνώσει, ἐνταῦθα πεπτωκέναι. καὶ ἐν τῷ τίνες φύσεις, αἱ θεωρέμεναι κατὰ τὰ μετέωρα ταυτὶ, ἢ ὅσα συγγενῆ πρὸς τὴν εἰς παῦτα ἀκείβειαν. ἔτι τε ἢ τὸ πλεοναχῶς ἐν τοῖς πιθανοῖς εἶναι, ἢ τὸ ἐνδεχομένως, ἢ ἄλλως πως ἔχειν, ἀλλ' ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ ἢ μακαρίᾳ φύσει τῷ ἄκρισιν ἐμβαλλόντων, ἢ τάραχον μηδεμίαν· ἢ τῦτο καταλαβεῖν τῇ διανοίᾳ ἐστὶν, ἁπλῶς ὅτως εἶναι. τὸ δ' ἐν τῇ ἰσορροπίᾳ πεπτωκὸς τῆς δύσεως ἢ ἀναπλῆς, καὶ ῥοπῆς ἢ ἐκλείψεως, ἢ ὅσα συγγενῆ τούτοις, μηδὲν ἔτι πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν, ἀλλ' ὁμοίως τὰς φόβυς ἔχειν τὰς παῦτα κατιδόντας, τίνες δὲ αἱ φύσεις ἀγγενεῖτας, ἢ τίνες αἱ κυριώταται αἰτίαι· ἢ εἰ μὲν προϊδεσαν παῦτα, τάχα δὲ ἢ πλείυς. ὅταν τὸ θάμβος ἐκ τῆς τούτων προκατανοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν, κατὰ τὴν ὅτι τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ ἢ πλείυς αἰτίας δεήσομεν ῥοπῶν, ἢ δύσεων,

καὶ

καὶ ἀπωλῶν, καὶ ἐκλείψεων, καὶ τῶν τοιούτων, ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις. καὶ ὑ δεῖ νομίζειν, τιὰ ὑπὲρ τούτων χρείας πραγματείαν ἀναίβειαν μὴ ἀπειλωφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν συντείνει. ὥστε μὴ θεωρῶντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ παντὸς τοῦ ἀδήλου, καταφρονοῦντας τῶν τόδε μοναχῶς ἔχον ἢ γινόμενον γνωριζόντων, ὅτε τὸ πλεοναχῶς συμβαῖνον καὶ τιὰ ἐκ τῶν ὑποσημάτων φαντασίων παραδιδόντων, ἔτι τε ἀγνοούντων καὶ ἐν ποίοις οὐκ ἔστιν ἀταραχτῆσαι. αὖ ἂν οἰώμεθα καὶ ὡδίπως ἐνδεχόμενον αὐτὸ γίνεσθαι, καὶ ἐφ' οἷοις ὁμοίως ἐστὶν ἀταραχτῆσαι, αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες, ὥσπερ κἂν ὅτι ὡδίπως γίνεται εἰδῶμεν, ἀταραχτήσομεν. ὅπι δὲ τούτοις ὅλως ἅπασιν, ἐκεῖνο δεῖ καταλαβεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ ταῦτα μακάρια τε δοξάζειν καὶ ἄφθαρτα, καὶ ὑπεναντίας ἔχειν τούτοις βουλήσεις ἅμα καὶ πράξεις, καὶ αἰτίας, καὶ ἐν τῷ αἰωνίῳ τῷ δεινὸν καὶ προσδοκᾶν, καὶ ὑποπτεύειν κατὰ τοὺς μύθους, εἴτε κατὰ ταὐτίω τιὰ ἀναισθησίαν τι ἐν τῷ τεθνάναι φοβερόν, ὥσπερ ἔσαν τιὰ ψυχιὰ κατ' αὐτούς, εἴτε καὶ ἐν τῷ μὴ δοξάσαι ταῦτα, πάσχειν δ' ἄλλα ἀλόγως γέ τινι προσδοκίᾳ· ὅθεν τοὺς μὴ ὁρίζοντας τὸ δεινὸν, τιὰ ἴσως ἢ καὶ ὑπερτεταμένῳ παραχιὰ λαμβάνειν, τοῖς εἰκαίοις οἱ ἐδόξαζον ταῦτα. ἡ δὲ ἀταραξία, τὸ τούτων πάντων ἀπολελύθαι, καὶ συνεχῆ μνήμιν ἔχειν τῶν ὅλων καὶ κυριωτάτων. ὅθεν τοῖς πᾶσι προσεκτέον τοῖς παροῦσι, καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς· κατὰ δὲ τὸ ἴδιον, ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον, τῶν κριτηρίων ἐναργείᾳ. αὖ γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάρα-

ταραχος καὶ ὁ φόβος ἐγίνετο, ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες, καὶ τῆς λοιπῶν τῆς ἀεὶ παρεμπιπτόντων, καὶ ὅσα φοβεῖ τοὺς λοιποὺς ἀνθρώπους ἐχάπως. ταῦτά σοι, ὦ Ἡρόδοτε, ἔστι κεφαλαιωδέστατα ὑπὲρ τῆς τῆς ὅλων φύσεως ὑπετυπωσάμην. ὥστε ἂν χρόιτο ἔτος ὁ λόγος διωατὸς, καὶ καταχεθείη μετὰ ἀκριβείας, οἶμαι (ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῆς καθ' μέρος ἀκριβωμάτων). ἀσύμβλητον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἀδροπότα λήψεσθαι. καὶ γὰρ καὶ καθαρὰ ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τῆς καθ' μέρος ἐξακριβωμένων καθ' ὅλου πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήμῃ τιθέμενος, συνεχῶς ἑαυτῷ βοηθήσει. τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς τὰ κατὰ μέρος ἤδη ἐξακριβώσαντας ἱκανῶς, ἢ καὶ τελείως εἰς τὰς τοιαύτας ἀναλύσαντας ὑποβολὰς, πλείστας τῆς θεωρουμένων ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι. ὅσοι δὲ μὴ παντελῶς αὐτῶν τῆς ἀποτελουμένων ἐκ τούτων εἰσὶν, ἢ καθ' τὸν ἀνθρώπινον βίον, τῷ ἅμα νοήματι θεωρεῖσθαι τῶν κυριωτάτων πρὸς γαλήνισμὸν ποιήσονται. Καὶ ἥδε μέν ἐστιν αὐτῷ ὑποθήκη περὶ τῆς φυσικῆς.

Περὶ δὲ τῶν μετεώρων ἥδε.

Ἐπίκουρος Πυθοκλεῖ χαίρειν.

Ἥνεγκέ μοι Κλέων ὑποθήκην σὰ, ἐν ᾗ φιλοφρονούμενός τε περὶ ἡμᾶς διετέλεις, ἀξίως τῆς ἡμετέρας περὶ σεαυτὸν σπουδῆς, καὶ ἐκ ἀπιθάνως ἐπαιρῶ μνημονεύειν τῆς εἰς μακάριον βίον συντεινόντων λογισμῶν. ἐδέου τε σεαυτῷ περὶ τῆς μετεώρων συντόμου καὶ οὐ περιττοῦ λογισμὸν ὑποσείλαι, ἵνα ῥᾳδίως μνημονεύῃς.

τὰ γὰρ ἐν ἄλλοις ἡμῖν γεγραμμένα, δυσμνημόνευτα εἶναι, καίτοι (ὡς ἔφης) συνεχῶς αὐτὰ βασάζειν. ἡμεῖς δὲ ἡδέως τε σὺν τιμῇ δέησιν ἀπεδεξάμεθα, καὶ ἐλπίσιν ἡδείαις συνεχέθημεν. χράψαντες δὲ τὰ λοιπὰ πάντα συνετελέμεν ἅπερ ἠξίωσας, τὰ ἐξαλογίσματα ταῦτα, πολλοῖς καὶ ἄλλοις ἐσόμενα χρήσιμα, καὶ μάλιστα τοῖς νεωστὶ φυσιολογίας γνησίᾳ γεγυμνωμένοις, καὶ τοῖς εἰς ἀχολίας βαθυτέρας τῆς ἐγκυκλίων τινὸς ἐμπεπλεγμένοις. καλῶς δὴ αὐτὰ ἐλάλαβε, καὶ ἐπὶ μνήμης ἔχων, ὀξέως αὐτὰ προέδδλε, μετὰ τῆς λοιπῶν, ὧν ἐν τῇ μικρᾷ ἐπιτομῇ πρὸς Ἡρόδοτον ἀπεστείλαμεν. πρῶτον μὲν οὖν, μὴ ἄλλό τι τέλος ἐκ τῆς περὶ μετεώρων γνώσεως, εἴτε κατὰ συναφὴν λεγομένων, εἴτε αὐτοτελῶς, νομίζειν δεῖ εἶναι, ὅπερ ἀταραξίαν καὶ πίστιν βέβαιον, καθάπερ καὶ ἐπὶ τῆς λοιπῶν. μήτε τὸ ἀδύνατον προβιάζεσθαι, μήτε ὁμοίαν κατὰ πάντα τιμὴν θεωρίαν ἔχειν, ἢ τοῖς περὶ βίων λόγοις, ἢ τοῖς κατὰ τὴν τῆς ἄλλων φυσικῶν προβλημάτων κάθαρσιν. οἷον, ὅτι τὸ παν, σῶμα καὶ ἀπαρῆς φύσις ἐστίν· ἢ ὅτι ἄτομα στοιχεῖα, καὶ πάντα τὰ τοιαῦτα, ἢ ὅσα μοναχοῦ ἔχει τοῖς φαινομένοις συμφωνίαν· ὅπερ ἐπὶ τῆς μετεώρων οὐχ ὑπάρχει. ἀλλὰ ταῦτά γε πλεοναχοῦ ἔχει καὶ τῆς γενέσεως αἰτίαν, καὶ τῆς οὐσίας ταῖς αἰσθήσεσι σύμφωνον κατηγορίαν. οὐ γὰρ κατ' ἀξιώματα καινὰ καὶ νομοθεσίας φυσιολογητέον, ἀλλ' ὡς τὰ φαινόμενα ἐκκαλεῖται. οὐ γὰρ ἰδιολογίας καὶ κενῆς δόξης ὁ βίος ἡμῶν ἔχει χρείαν, ἀλλὰ τοῦ ἀθορύβως ἡμᾶς ζῆν. πάντα μὲν οὖν γίνεται ἀσείστως ὅπερ πάντων μετεώρων κατὰ πλεοναχὸν τρόπον, ἐκκαθαιρομένων συμφώνως τοῖς φαινομένοις, ὅταν τις τὸ πιθανολογούμενον ὑπὲρ αὐτῶν δεόντως καταλίπῃ. ὅταν δέ τις τὸ μὲν ἀπολίπῃ, τὸ δὲ ἐκβάλῃ, ὁμοίως σύμφωνον ὂν τοῖς φαινομένοις,

νῷ, δῆλον ὅτι καὶ ἐκ παντὸς ἐκπίπτει φυσιολογήματος, ὅπῃ δὲ τὸν μῦθον καταῤῥεῖ. σημεῖα δέ τινα καὶ ἐν τοῖς μετεώροις συντελουμένων φέρειν δεῖ τῶν παρ' ἡμῖν τινα φαινομένων, ἃ θεωρεῖται ἢ ὑπάρχει, καὶ ἃ τὰ ἐν τοῖς μετεώροις φαινόμενα. ταῦτα γὰρ οὐκ ἐνδέχεται πλεοναχῶς γενέσθαι. τὸ μὴ τοι φάντασμα ἑκάστων πρητέον, καὶ ὅπῃ τὰ συναπτόμενα τούτῳ διαιρετέον. ἃ οὐκ ἀντιμαρτυρεῖται τοῖς παρ' ἡμῖν γινομένοις πλεοναχῶς συντελεῖσθαι. κόσμος ὅτι περιοχή τις ἄστρων καὶ γῆς καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομή τινα ἔχουσα ἀπὸ τοῦ ἀπείρου, καὶ καταλήγουσα ἐν πέρατι, ἢ ἀραιῷ ἢ πυκνῷ· καὶ ὁ λυομένου, πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται. ἢ καταλήγουσα ἢ ἐν περιεχομένῳ, ἢ ἐν σάσιν ἔχοντι, κατὰ στρογγύλον ἢ ζῴγωνον ἢ οἵαν δήποτε περιγραφήν. πανταχῶς γὰρ ἐνδέχεται· τῶν γὰρ φαινομένων οὐδὲν ἀντιμαρτυρεῖ τῷδε τῷ κόσμῳ, ἐν ᾧ λέγομεν οὐκ ἔστι καταλαβεῖν. ὅτι δὲ καὶ ποιητοὶ κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος, τῇ διανοίᾳ ὅτι καταλαβεῖν. καὶ ὅτι καὶ ὁ ποιητὸς δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμῳ καὶ μετακοσμίῳ, ὃ λέγομεν μεταξὺ κόσμων διάστημα, ἐν πολυκενῷ τόπῳ καὶ οὐκ ἐν μεγάλῳ εἱλικρινεῖ καὶ ἀκενῷ. καθάπερ τινά φασιν ὑπηδείων τινῶν ἀπερμάτων, ῥυέντων ἀφ' ἑνὸς κόσμου ἢ μετακοσμίου, ἢ καὶ ἀπὸ πλειόνων, καὶ μικρὸν προθέσεις τε καὶ διαρθρώσεις καὶ μεταστάσεις ποιούντων ἐπ' ἄλλον τόπον, ἂν ἔπι τύχῃ, καὶ ἐπαρδίσεις ἐκ τινων ἐχόντων ὑπηδείους, ἕως τελειώσεως καὶ διαμονῆς, ἐφ' ὅσον τὰ ὑποβληθέντα θεμέλια τῇ προσδοχῇ δύναται ποιεῖσθαι. ἐὰν γὰρ ἀθροισμὸν δεῖ μόνον γενέσθαι, καὶ δίνησιν ἐν ᾧ ἐνδέχεται κόσμον γίνεσθαι κενῷ καὶ τὸ δοξαζόμενον ἐξ ἀνάγκης· αὔξεσθαί τε ἕως ἂν ἑτέρῳ προσκρούσῃ, καθάπερ τῶν φυσικῶν καλουμένων φησίτις. τοῦτο γὰρ

μαχόμενόν ἔξι τοῖς φαινομένοις. ἥλιός τε καὶ σελήνη, καὶ τὰ λοιπὰ ἄστρα, καθ' αὑτὰ φερόμενα, ὕστερον ἐπιλαμβάνεται ὑπὸ τοῦ κόσμου. ὁμοίως δὲ καὶ γῆ καὶ θάλαττα, καὶ ὅσα γε δὴ ζώων ἅμα διὰ θυὸς διεπλάττετο, καὶ αὔξησιν ἐλάμβανον, κατὰ προσκρίσεις καὶ διυήσεις λεπτομερῶν τινων φύσεων, ἥπερ πνευματωδῶν, ἢ πυροειδῶν, ἥπερ συναμφοτέρων. καὶ γὰρ ταῦτα ἕτως ἡ αἴθησις ὑποβάλλει. τὸ δὲ μέγεθος ἡλίου τε καὶ τῶν λοιπῶν ἄστρων, κατὰ μὲν τὸν πρὸς ἡμᾶς, τηλικοῦτόν ἔξιν ἡλίκον ἐποτε φαίνεται. τοῦτο καὶ ἐν τῇ ενδεκάτῃ περὶ φύσεως. Εἰ γὰρ (φησὶ) τὸ μέγεθος ἀπὸ τοῦ σχήματος ὑποβεβλήκει, πολλῷ ἂν μᾶλλον τοῦ χρόνου· ἄλλο γὰρ τούτῳ συμμεμορφώτερον σχῆμα ἀθρόον ἔξι· κατὰ δὲ τὸ κατ' αὐτὸ, ἥπερ μεῖζον τοῦ ὁρωμένου, ἢ ἔλαττον μικρῷ, ἢ τηλικοῦτον ὡς χ' ὁρᾶται. ὅπου γὰρ καὶ τὰ παρ' ἡμῖν πυρὰ ἐξ ὑποστήματος θεωρέμενα, κατὰ τὴν αἴθησιν θεωρεῖται· καὶ πᾶν δὲ τὸ εἰς τοῦτο τὸ μέρος σχῆμα, ῥᾳδίως διαλυθήσεται, ἐάν τις τοῖς ἐναργήμασι προσέχῃ, ὅπερ ἐν τοῖς περὶ φύσεως βιβλίοις δείκνυμεν. ἀνατολὰς καὶ δύσεις ἡλίου καὶ σελήνης, καὶ τῶν λοιπῶν ἄστρων, καὶ κατὰ ἀναφὴν γίνεσθαι δυνάσθαι, καὶ κατὰ σβέσιν, τοιαύτης ὕσης περιφορᾶς. καὶ καθ' ἑτέρους τινὰς τρόπους, ὡς τὰ προειρημένα, ὑποτελεῖσθαι. οὐδὲν γὰρ τῶν φαινομένων ἀντιμαρτυρεῖ. κατ' ἐμφάνειάν τε ὑπὲρ γῆς, καὶ πάλιν ὑποφερόμενον τὸ προειρημένον δυνατὸν ἂν συντελεῖσθαι· οὐδὲ γάρ τι τῶν φαινομένων ἀντιμαρτυρεῖ. πάσας τε κινήσεις αὐτῶν, ἐκ ἀδυνάτου μὲν γίνεσθαι κατὰ τὸν τῶ ὅλω ὑρανῶ δίνον, ἢ τάττειν μὲν τινὰ, αὐτῶν δὲ δίνον, κατὰ τὸν ἐξ ἀρχῆς ἐν τῇ φύσει τοῦ κόσμου ἀνάγκην ἀποκεκριμένον ἐπ' ἀνατολήν· εἶναι τῇ θερμασίᾳ κατά τινα ἀναπνοὴν τοῦ πυρὸς ἀεὶ ἐπὶ τὰς ἑξῆς τόπους φέ-

ξοπὰς ἡλίᾳ καὶ σελήνης, ἐνδέχεται μὲν γίνεσθαι κατὰ λόξωσιν ἀέρων, ὅπως τοῖς χρόνοις κατηναγκασμένα. ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντέξωσιν, ἢ καὶ ὕλης ὑπηδείας ἀεὶ ἐχομένης, καὶ τῆς μὲν, ἐμπιμπραμένης· τῆς δὲ, καταλιπούσης· ἢ καὶ ἐξ ἀρχῆς τοιούτῳ δίνῳ κατειληθῆναι τοῖς ἄστροις τούτοις, ὥσθ' οἷόντε εἶναι κινεῖσθαι. πάντα γὰρ τὰ τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ, γίνεσθαι ἐνδέχεται, καὶ ἐδὲν τῶν ἐναργημάτων ἐναφωνεῖ, ἑαυτὶς ἀεὶ ὑπὸ τῶν τοιούτων μερῶν, ἐχόμενος τὰ δυνατὰ, εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον τόπων δύνηται ἀπάγειν, μὴ φοβούμενος τὰς ἀναπόδειξις τῶν ἀστρολόγων τεχνιτείας. κινήσεις τε σελήνης καὶ πάλιν πληρώσεις, καὶ κατὰ στροφὴν τοῦ σώματος τότε δύναιντ' ἂν γίνεσθαι, καὶ κατὰ σχηματισμὸς ἀέρος ὁμοίως· ἔτι τε καὶ κατὰ προσθετήσεις· καὶ κατὰ πάντας τρόπους, καθ' ὃς καὶ τὰ παρ' ἡμῖν φαινόμενα ἐπικαλεῖται εἰς τὰς τότε τὰ εἴδος ἀποδόσεις, ἐὰν μή τις τὸν μοναχῆ τρόπον καταγαπήσῃ, τὰς ἄλλας κενῶς ἀποδοκιμάζῃ. ἔτε θεωρητικὸς τὶ δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, καὶ τί ἀδύνατον, καὶ διὰ τοῦτο ἀδύνατα θεωρεῖν ὑπολαμβάνῃ. ἔτι τε ἐνδέχεται τῷ σελήνῃ ἐξ ἑαυτῆς ἔχειν τὸ φῶς· ἐνδέχεται δὲ καὶ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ παρ' ἡμῖν θεωρεῖται πολλὰ μὲν ἐξ ἑαυτῶν ἔχοντα, πολλὰ δὲ ἀφ' ἑτέρων. καὶ ἐδὲν ἐμποδοσατεῖ τῶν ἐν τοῖς μετεώροις φαινομένων, ἑαυτὶς τὸν πλεοναχῆ τρόπον ἀεὶ μνήμην ἔχῃ, καὶ τὰς ἀκολούθους αὐτοῖς ὑποθέσεις ἅμα καὶ αἰτίας συνθεωρῇ, μὴ ἀναβλέπων εἰς τὰ ἀνακόλουθα πάντα, καὶ παρρεπῆ ἄλλοτε ἄλλως ἐπὶ τὸν μοναχὸν τρόπον. ἡ δὲ ἔμφασις τοῦ προσώπου ἐν αὐτῇ, δύναται μὲν γίνεσθαι καὶ κατὰ ἀναλογὰν μερῶν, καὶ κατ' ἐπιπροσθέτησιν· καὶ κατὰ πάντας τρόπους, ὅσοι ἂν θεωροῖντο τὸ σύμφωνον τοῖς φαινομένοις κεκτη-

μενοι. ἐπὶ πάντων γὰρ τῶν μετεώρων τῷ τοιούτῳ ἐγκλίνειν οὐ προσθετέον. ἰῷ γάρτισι μαχομένοις τοῖς ἐναργήμασιν, οὐδέποτε δυνήσεται ἀπαραξίας γνησίᾳ μεταλαβεῖν. ἔκλειψις ἡλίου καὶ σελήνης δύναται μὲν γίνεσθαι καὶ κατὰ σβέσιν, καθάπερ καὶ παρ' ἡμῖν τοῦτο θεωρεῖται γινόμενον· καὶ ἔτι κατ' ἐπιπροσθέτησιν ἄλλων τινῶν, ἢ γῆς, ἢ οὐρανοῦ, ἤτινος ἑτέρας τοιαύτης. καὶ ὧδε τὰς οἰκείας ἀλλήλοις τρόπους σωσθεωρητέον, καὶ τὰς ἅμα συγκρίσεις τινῶν ὅτι οὐκ ἀδύνατον γίνεσθαι. ὁ δὲ τῇ δωδεκάτῃ περὶ φύσεως ταῦτα λέγει, καὶ τὸν ἥλιον ἐκλείπειν σελήνης ἐπισκοτούσης· σελήνην δὲ, τὴν τῆς γῆς σκιάσματος ἐμπίπτοντος, ἀλλὰ κατ' ἀναχώρησιν. τοῦτο δὲ καὶ Διονύσιος ὁ Ἐπικούρειος ἐν τῇ πρώτῃ τῶν ἐπιλέκτων. ἔτι τε πάχος περὶ ὁδοῦ, καθάπερ σύννια καὶ παρ' ἡμῖν τῶν τυχόντων γίνεται, λαμβανέσθω, καὶ ἡ θεία φύσις πρὸς ταῦτα μηδαμῇ προσαγέσθω, ἀλλὰ ἀλειτούργητος διαμενέσθω, καὶ ἐν τῇ πάσῃ μακαριότητι. ὡς, εἰ τοῦτο μὴ πραχθήσεται, ἅπασα ἡ περὶ μετεώρων αἰτιολογία ματαία ἔσαι, καθάπερ τισὶν ἤδη ἐγίνετο οὐ δυνατὸς τρόπος ἐφαμένοις, εἰς δὲ τὸ μάταιον ἐκπεσοῦσι, τῷ καθ' ἕνα τρόπον μόνον οἴεσθαι γίνεσθαι, τὰς δὲ ἄλλας ἅπαντας τὰς κατὰ τὸ ἐνδεχόμενον ἐκβάλλειν, εἴς τε τὸ ἀδιανόητον φερομένους· καὶ τὰ φαινόμενα, ἃ δεῖ σημεῖα ὑποδέχεσθαι, μὴ δυναμένους σωσθεωρεῖν. μήκη νυκτῶν καὶ ἡμερῶν προσλάττοντα, καὶ πρὸς τὸ ταχείας ἡλίου κινήσεις γίνεσθαι, καὶ πάλιν βραδείας ὑπὲρ γῆς· ἢ πρὸς τὸ μήκη τόπων προσλάττοντα, καὶ τόπους τινὰς περαιοῦντα τάχιον, ὡς καὶ παρ' ἡμῖν τάχιον, ἢ καὶ βραδύτερόν τινα θεωρεῖται, οἷς συμφώνως δεῖ λέγειν ἐπὶ τῶν μετεώρων. οἱ δὲ τὸ ἓν λαμβάνοντες, τοῖς τε φαινομένοις μάχονται, καὶ τὸ τί δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, διαπεπτώκασιν. ἐπισημασίαι

σίαι δυώνται γενέσθαι καὶ κατὰ συγκυρήσεις καιρῶν, καθάπερ ἐν τοῖς ἐμφανέσι παρ' ἡμῖν ζώοις, καὶ παρ' ἑτέροις, ὡσεὶ ἀέρος καὶ μεταβολῆς. ἀμφότερα γὰρ ταῦτα ἁρμόττεται τοῖς φαινομένοις. ἔτι δὲ ποίοις ποτὲ τοῦτο ἢ τοῦτο τὸ αἴτιον γίνεται, οὐκ ἔστι σωιδεῖν. νέφη γίνεσθαι καὶ σωίζεσθαι δυώνται καὶ ποτὲ πιλήσεις ἀέρος, ἢ πνευμάτων σωωθέσεις· καὶ ποτὲ ἐμπλοκὰς ἀλλήλαις ἀτόμων, καὶ ὑπηνέμων εἰς τὸ τοῦτο τελέσαι· καὶ κατ' ῥεύματα συλλογὴν ἀπό τε γῆς καὶ ὑδάτων, καὶ κατ' ἄλλας δὲ ἕξεις πλείας αἱ τοιούτων συστάσεις οὐκ ἀδυνατοῦσι συντελεῖσθαι. ἤδη δ' ἐπ' αὐτῶν, ἢ μετ', ὀλιβομένων, ἢ δὲ, μεταβαλλόντων, ὕδατα δυώνται συντελεῖσθαι. ἔτι τε πνεύματα, καθ' ἀποφορὰν ἀπὸ ὑπηνέμων τόπων, καὶ δι' ἀέρος κινουμένων, βιαιοτέρας ἐπαρδεύσεως γινομένης ἀπό τινων ἀθροισμάτων, ὑπηνέμων εἰς τὰς τοιαύτας ὑπεμβάλλεις. βροντὰς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πνεύματος ἐν τοῖς κοιλώμασι τῆς νεφῶν ἀνειλήσιν, καθάπερ ἐν τοῖς ἡμετέροις ἀγγείοις· καὶ ποτὲ πυρὸς πεπνευματωμένου βόμβον ἐν αὐτοῖς· καὶ κατ' ῥήξεις δὲ νεφῶν, καὶ θλάσεις. καὶ κατὰ ποτὲ διαξύσεις δὲ νεφῶν καὶ κατάξεις πῆξιν εἰληφότων κρυσταλλοειδῆ, καὶ τὸ ὅλον καὶ τοῦτο τὸ μέρος πλεοναχῶς γίνεσθαι λέγειν, ἐκκαλεῖται τὰ φαινόμενα. καὶ ἀστραπαὶ δ' ὡσαύτως γίνονται κατὰ πλείας ἕξεις· καὶ γὰρ κατὰ ποτὲ διάξυσιν καὶ σύγκρισιν νεφῶν ὁ πυρὸς ἀποτελεσικὸς κατασμὸς ἐξολισθαίνων ἀστραπὴν ποιεῖ· καὶ κατ' ἐκπτισμὸν ἐκ τῶν νεφῶν ὑπὸ πνευματωθέντων σωμάτων, ἀπὸ τοῦ λαμπηδόνα τοιοῦτον ποτὲ ἀποκλάζει, καὶ κατ' ἐκπτισμὸν, θλίψεως τῶν νεφῶν γινομένης, εἴθ' ὑπ' ἀλλήλων, εἴθ' ὑπὸ πνευμάτων· καὶ κατὰ ἐμπρόσθλιψιν δὲ τοῦ ἀπὸ τῶν ἄστρων κατασπειραμένου φωτὸς, εἶτα σωελαυνομένου ὑπὸ τῆς κινήσεως νεφῶν τε καὶ πνευμάτων, καὶ διεκπίπτον-

τος διὰ τὴν νεφῶν· ἢ κατὰ διάθησιν τῆς νεφῶν τὸ λεπτομερες ἅπτε φωτός· ἢ τῷ ὑπὸ τὸ πυρὸς νέφη συνειλέχθαι, καὶ τὰς βροντὰς ἀποτελεῖσθαι· καὶ κατὰ τινὰ πάτε κίνησιν, καὶ κατὰ τινὰ τὸ πνεύματος ἐκπύρωσιν, τὴν γινομένην διά τε συστολὰς φορᾶς, καὶ διὰ σφοδρὰν κατείλησιν· καὶ κατὰ ῥήξεις δὲ νεφῶν ὑπὸ πνευμάτων, καὶ ἔκπτωσιν τῆς πυρὸς ἀποτελεστικῶν ἀτόμων, καὶ τὸ τῆς ἀστραπῆς φάντασμα ἀποτελεσθῶν· καὶ ἄλλως δὲ πλείας τρόπους ῥᾳδίως ἔσαι καθαρὰν τὸν ἐχόμενον καὶ τῆς φαινομένων, καὶ τὸ τούτοις ὅμοιον διυάμενον συνθεωρεῖν. προτερεῖ δὲ ἀστραπὴ βροντῆς, ἐν τοιᾷδέ τινι θεωρεμένει νεφῶν, διὰ τὸ ἅμα τῆς τὸ πνεῦμα ἐμπίπτειν, ὀξωθεῖσθαι τὸν ἀστραπῆς ἀποτελεστικὸν σχηματισμόν· ὕστερον δὲ τὸ πνεῦμα ἀνειλέμενον, τὸν βόμβον ἀποτελεῖν τοῦτον· καὶ κατ' ἐκπύρωσιν δὲ ἀμφοτέρων, ἅμα τῆς πάχει συμπυκνωτέρῳ κεχρῆσθαι πρὸς ἡμᾶς τὴν ἀστραπήν· ὑστερεῖν δὲ τινὶ βροντὴ, καθάπερ ἐπ' ἐνίων ὀξ ἀποσήματος θεωρεμένων, καὶ πληγάς τινας ποιεμένων. κεραυνὸς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πλείονας πνευμάτων συλλογὰς, καὶ κατ' αὐτῶν ἀνείλησιν, ἰσχυράς τε ἐκπύρωσιν· καὶ κατὰ ῥῆξιν μέρους, καὶ ἔκπτωσιν ἰσχυροτέραν αὐτῆ ὅτι τὰς κάτω τόπους· τὸ μὲν πολὺ πρὸς ὄρος τι ὑψηλὸν, ἐν ᾧ μάλισα κεραυνοὶ πίπτουσιν· ἢ τῆς ῥήξεως γινομένης διὰ τὸ τὰς ἐξῆς τόπους πυκνοτέρας εἶναι, διὰ πίλησιν τῆς νεφῶν, καὶ κατὰ ταύτην δὲ τινὶ τὸ πυρὸς ἔκπτωσιν ἀνειλεμμένων· καθὰ καὶ βροντὴν ἐνδέχεται γίνεσθαι, πλείονος ἁθροισθέντος πυρὸς καὶ πνευματωθέντος ἰσχυροτέρου, καὶ ῥήξαντος τὸ νέφος, διὰ τὸ μὴ δυνάσθαι ὑποχωρεῖν εἰς τὰ ἐξῆς, τῇ πίλησιν γίνεσθαι ἀεὶ πρὸς ἄλληλα· καὶ κατ' ἄλλως δὲ τρόπους πλείονας ἐνδέχεται κεραυνὸς ἀποτελεῖσθαι. μόνον ὁ μῦθος ἀπέσω· ἀπέσαι δὲ, ἐάν τις καλῶς τοῖς φαινομένοις ἀκολουθῶν,

περὶ τῶν ἀφανῶν σημειῶται. φρητῆρας ἐνδέχεται γίνεσθαι καὶ κατὰ θέσιν νέφους εἰς τοὺς κάτω τόπους, ἀλλοιουμένου ὑπὸ πνεύματος ἀθρόου ὠθοῦντος· καὶ διὰ τοῦ πνεύματος πολλοῦ φερομένου, ἅμα καὶ τοῦ νέφους εἰς τὸ πλησίον ὠθουμένου τοῦ ἐκτὸς πνεύματος· καὶ καθ' ἕλισσασιν δὲ πνεύματος εἰς κύκλον ἀέρος τινὸς ὑποσυνωθουμένου ὠθοῦντος· καὶ ῥαδίσεως πολλῆς πνευμάτων γενομένης, καὶ ἐξαναμειγνυμένης εἰς τὰ πλάγια διαῤῥυῆναι, διὰ τοῦ πέριξ τοῦ ἀέρος πίπτειν. καὶ ἕως μὲν γῆς τὸ φρητῆρος καθιεμένου, τροβίλοι γίνονται, ὡς ἂν καὶ ἡ ἀποῤῥήνησις κατὰ τοῦ κίνησιν τοῦ πνεύματος γίνηται· ἕως δὲ θαλάττης, διῖνοι ἀποτελοῦνται. σεισμὸς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πνεύματος ἐν τῇ γῇ ἀπόλυσιν, καὶ διὰ μικρὰς ὄγκας αὐτῆς διαῤῥάθεσιν, καὶ συνεχῆ κίνησιν, ὅταν κραδασμὸν τῇ γῇ διασκιδάζῃ, καὶ τὸ πνεῦμα τοῦτο ἔξωθεν ἐμπεριλαμβάνῃ· ἢ ἐκ τοῦ πίπτειν εἰς ἐδάφη, ἢ εἰς αὐλοειδεῖς τόπους τῆς γῆς ἐκ πνευμάτων τὸν περιλημμένον ἀέρα· καὶ ταύτῃ δὲ τοῦ διὰ δόσιν τῆς κινήσεως ἐκ τῶν πτώσεων ἐδαφῶν πολλῶν, καὶ πάλιν ἀναπόδοσιν ὅταν πυκνώμασι σφοδροτέροις τῆς γῆς ἀναστήσῃ, ἐνδέχεται σεισμὸς ἀποτελεῖσθαι. καὶ κατ' ἄλλας δὲ τρόπους πλείους τὰς κινήσεις ταύτας τῆς γῆς γίνεσθαι. τὰ δὲ πνεύματα συμβαίνει γίνεσθαι κατὰ χρόνον, ἀλλοφυλίας τινὸς ἀεὶ καὶ κατὰ μικρὸν παρεισδυομένης· καὶ καθ' ὕδατος ἀφθόνου συλλογήν. τὰ δὲ ὀλίγα πνεύματα γίνεται καὶ ὀλίγων πεσόντων εἰς τὰ πολλὰ κοιλώματα, διὰ δόσεως τῶν γενομένης. χάλαζα συνιστᾶται μὲν κατὰ πῆξιν ἰσχυροτέραν· πάσσεται δὲ πνευματωδῶν ἕλισσασιν τινῶν καὶ καταμέρισιν· καὶ κατὰ πῆξιν μετριωτέραν, ὑδατοειδῶν τινων ὁμοῦ ῥῆξιν, τοῦ τε συνιέναι αὐτῶν ποιουμένων. ἢ καὶ διὰ ῥῆξιν, πρὸς τὸ κατὰ μέρη συνίστασθαι· πεπυκνωμένα δὲ

κατὰ

κατὰ ἀθρόπτα. ἡ δὲ περιφέρεια ἐκ ἀδυνάτου μὴ ἔχει γίνεσθαι, πάντοθεν τῆς ἄκρων ἀποτεμνομένων, καὶ ἐν τῇ συγκάσει πάντοθεν, ὡς λέγεται, καὶ τὰ μέρη ὁμαλῶς περιξαιρῶν, εἴτε ὑδατοειδῶν τινῶν, εἴτε πνευματωδῶν. χιόνα δὲ ἐνδέχεται σωπελεῖσθαι, καὶ ὕδατος λεπτὰ ἐκχεομένου ἐκ τῆς νεφῶν διὰ πόρων συμμέξων· καὶ θλίψεως ὑπαπδείων νεφῶν, καὶ ὑπὸ πνεύματος ἀπορᾶς· εἶπε τότε πῆξιν ἐν τῇ φορᾷ λαμβάνοντος, διά τινα ἰχυρὰν ἐν τοῖς κατώτερον τόποις τῆς νεφῶν ψυχρασίας περίστασιν. καὶ κατὰ πῆξιν δ' ἐν τοῖς νέφεσιν, ὁμαλὴν ἀραιότητα ἔχουσιν, τοιαύτη πρόσεις ἐκ τῆς νεφῶν γίνοιτο ἄν, πρὸς ἄλληλα θλιβομένων καὶ ὑδατοειδῶν συμπαγεισμένων· ἃ οἱονεὶ σιώωσιν ποιεῖμμα, χάλαζαν ἀποτελεῖ· ὃ μάλιστα γίνεται ἐν τῷ ἀέρι. καὶ κατὰ ξύψιν δὲ νεφῶν πῆξιν εἰληφότων, ἀποτέλεσιν ἀναλαμβάνει τὸ τῆς χιόνος τοῦτο ἄθροισμα. καὶ κατ' ἄλλας δὲ τρόπους ἐνδέχεται χιόνα σωπελεῖσθαι. δρόσος σωπελεῖται καὶ κατὰ σιώοδον πρὸς ἄλληλα ἐκ τοῦ ἀέρος τῆς τοιούτων, ἃ τῆς τοιαύτης ὑγρασίας ἀποτελεσικὰ γίνεται· καὶ κατὰ φορὰν δὲ, ἢ ἀπὸ νοτερῶν τόπων, ἢ ὕδατα κεκτημένων, ἐν οἷς τόποις μάλιστα δρόσος σωπελεῖται· εἶπα σιώοδον τόπων εἰς τὸ αὐτὸ λαβόντων, καὶ ἀποτέλεσιν ὑγρασίας, καὶ πάλιν φορὰν ὅπῃ τὰς κάτω τόπας, (καθάπερ ὁμοίως καὶ παρ' ἡμῖν ἐπὶ πλειόνων σωπελεῖται τοιαῦτά τινα.) πάχνη δὲ σωπελεῖται, τῆς δρόσων τόπων πῆξιν τινὰ ποιὰν λαβόντων διά τινα ἀέρος ψυχρόν. κρύσταλλος σωπελεῖται, καὶ κατ' ἔκθλιψιν μὲν τοῦ περιφερῆς σχηματισμοῦ ἐκ τοῦ ὕδατος, σιώωσιν δὲ τῆς σκαλιδῶν καὶ ὀξυγωνίων τῆς ἐν τῷ ὕδατι ὑπαρχόντων· καὶ κατὰ τὰ ἔξωθεν δὲ τῆς τοιούτων πρόσκρισιν, ἃ συνελαθόντα πῆξιν τῷ ὕδατι παρεσκεύασε, ποσὰ τῆς περιφερῶν ἐκθλίψαντα. ἴρις γί-

γίνεται κατὰ προσλαμψιν ὑπὸ τῦ ἡλίυ προς ἀέρα ὑδατοειδῆ· ἢ κατά τινα φύσιν ἰδίαν τῦ τε φωτὸς καὶ τῦ ἀέρος, ἥ τὰ τῷ χρωμάτων τύτων ἰδιώματα ποιήσει, εἴτε παντα, εἴτε μονοειδές· ἀφ' ἕ πάλιν ἀπολάμποντος τὰ ὁμορῦντα τῦ ἀέρος χρῶσιν ταύτῳ λήψεται, οἵαν θεωρῦμεν κατὰ προσλαμψιν προς τὰ μέρη. τὸ δὲ τῆς περιφερείας τῦτο φάντασμα γίνεται, διὰ τὸ διάστημα παντοθεν ἴσον ὑπὸ τῆς ὄψεως θεωρεῖσθαι· ἢ σωζωσιν τοιαύτῳ λαμβανυσῶν τῷ ἐν τῷ ἀεὶ ἀτόμων· ἢ ἐν τοῖς νέφεσιν ὑπὸ τῦ αὐτῦ ἀέρος προσφερομένυ προς τὴν σελήνίλιν, ἀποφερομένων ἀτόμων, περιφέρειά τινα καθίεσθαι εἰς τὴν σύγκρισιν ταύτῳ. ἄλως περὶ τὴν σελήνην γίνεται, καὶ διὰ πυρὸς παντοθεν προσφερομένυ προς τὴν σελήνίλιν. καὶ τὰ ἀπ' αὐτῆς ἀποφερόμενα ῥεύματα ὁμαλῶς ἀναστέλλοντος ὅτι τοσῦτον, ἐφ' ὅσον κύκλῳ περιστήσῃ τὸ νεφοειδὲς τῦτο, καὶ μὴ τὸ διάπαν διακεῖνῃ· ἢ καὶ τὸ πέριξ ἀέρα αὐτῆς ἀναστέλλοντος συμμέτρως παντοθεν, εἰς τὸ περιφερὲς περὶ αὐτὴν καὶ παχυμερὲς περιστῆσαι. ὃ γίνεται κατὰ μέρη τινὰ, ἤτοι ἔξωθεν βιασαμένυ τινὸς ῥεύματος, ἢ τῆς θερμασίας ἐπιπιδείων πνευμάτων ἐπιλαμβανομένης, εἰς τὸ τῦτο ἀπεργάσασθαι. νομῖται ἀστέρες γίνονται, ἤτοι πυρὸς ἐν τόποις τισὶ διὰ χρόνων τινῶν ἐν τοῖς μετεώροις συστρεφομένυ· ἢ καὶ περιστάσεως γινομένης, ἰδίαν τινὰ κίνησιν διὰ χρόνων τῦ ὅλυ ἔχοντος ὑπὲρ ἡμᾶς, ὥστε τὰ τοιαῦτα ἄστρα ἀναφαίνεσθαι· ἢ αὐτὰ ἐν χρόνοις τισὶν ὁρμῆσαι διά τινα περίστασιν, καὶ εἰς τὰς καθ' ἡμᾶς τόπυς ἐλθεῖν καὶ ἐκφαίνεσθαι. τῦτε ἀφάνισιν τύτων γίνεσθαι διὰ τὰς ἀντικειμένας ταύτας αἰτίας, ὅτε τινὰ ἀναστρέφεται αὐτῶν. ὃ συμβαίνει, ἢ μόνον τῷ τὸ μέρος τῦτο τῦ κόσμυ ἐσάναι, περὶ ὃ τὸ λοιπὸν περιστρέφεται, (καθάπερ τινὲς

φα-

φασὶν) ἀλλὰ καὶ τῷ δίνῳ ἀέρος ἔγκυκλον αὐτῷ περιεσπάσθαι, ἢ κωλυτικὴ γίνεται τοῦ συμπολεῖν, ὡς καὶ τἆλλα· ἢ καὶ διὰ τὸ ἐξῆς μὲν αὐτῆς ὕλην ὑπηθεῖαν μὴ εἶναι, ἐν δὲ τούτῳ τῷ τόπῳ ἐν ᾧ κείμενα θεωρεῖται· καὶ κατ' ἄλλας πλείονας τρόπους τοῦτο δυνατὸν συντελεῖσθαι, ἐάν τις δύνηται τὸ σύμφωνον τοῖς φαινομένοις συλλογίζεσθαι· τινὰ τῆς ἀέρων πλανᾶσθαι, εἰ ἔστω ταῖς κινήσεσι χώρημα συμβαίνει, τινὰ δὲ μὴ κινεῖσθαι· ἐνδέχεται μὲν καὶ πάντα τὰ κύκλῳ κινούμενα ἐξ ἀρχῆς ἔτω καταναγκάσθαι, ὥστε τὰ μὲν κατὰ τὸν αὐτὸν δίνον φέρεσθαι ὁμαλῶς ὅσαν, τὰ δὲ, κατ' αὐτὸν ἅμα τισὶν ἀνωμαλίαις χρωμένου· ἐνδέχεται δὲ καθ' ὃς τρόπους φέρεται, ἕ μὲν παρεκπάσεις ἀέρος εἶναι ὁμαλὰς ὑπὸ τοῦ αὐτὸ συνωθούσας κατὰ τὸ ἐξῆς, ὁμαλῶς τε ἐκκαούσας· ἕ δὲ ἀνωμάλους ἔτως, ὥστε τὰς θεωρουμένας πάλλαγὰς συντελεῖσθαι· τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλειοναχῶς τῆς φαινομένων ἐκκαλυμμένων μανικὸν καὶ καθηκόντως ψαττόμενον ὑπὸ τῆς τοῦ ματαίαν ἀστρολογίαν ἐζηλωκότων, καὶ εἰς τὸ κενὸν αἰτίας τινῶν ἀποδιδόντων, ὅταν τοῦ θείαν φύσιν μηδαμῆ λειτουργῶν ἀπολύωσι. τινὰ ἀέρα ἀπολειπόμενα τινῶν θεωρεῖσθαι συμβαίνει, καὶ παρὰ τὸ βραδύτερον συμφερέσθαι τὸν αὐτὸν κύκλον περιόντα· καὶ παρὰ τὸ τοῦ ἐναντίαν κινεῖσθαι, ἀντισωμένα ὑπὸ τῆς αὐτῆς δίνης· καὶ παρὰ τὸ περιφέρεσθαι, τὰ μὲν ἀπὸ πλείονος τόπου, τὰ δὲ δι' ἐλάττονος, τοῦ αὐτοῦ δίνου περικυκλοῦντα. τὸ δὲ ἁπλῶς ἀποφαίνεσθαι περὶ τούτων, καθηκόν ἐστι τοῖς τετολμῆσθαί τι πρὸς τὰς πολλὰς βλεπομένους. οἱ λεγόμενοι ἀστέρες ἐκπίπτειν, καὶ παρὰ μέρος, καὶ παρὰ ξύλιν ἑαυτῶν δύνανται συντελεῖσθαι· καὶ παρὰ ἔκπτωσιν ἕ αὖ ἡ ἐκπύρωσις γίνεται, καθάπερ καὶ ἐπὶ τῆς ἀστραπῶν ἐλέγομεν.

μον· ἢ δὲ κατὰ σωρὸν δὲ ἀπείρων πυρὸς ἀποτελεσικῶν, συμφιλίας γενομένης εἰς τὸ τοῦτο τελέσαι. ἢ κατὰ κίνησιν ἔ ἂν ἡ ὁρμὴ κατὰ τὸν σωρὸν ἐξ ἀρχῆς γένηται· ἢ κατὰ πνεύματος δὲ συλλογὴν ὃν πυκνώμασί τισιν ὁμιχλοειδέσι, κατ' ἐκπύρωσιν τούτων, ἢ διὰ τὸν κατείλησιν· εἶτ' ἐπέκρηξιν τοῦ περιεχόντων, ἢ ἐφ' ὃν ἂν τόπον ἡ ὁρμὴ γένηται, τῆς φορᾶς εἰς τοῦτον φερομένης. ἢ ἄλλοι δὲ τρόποι εἰς τὸ τοῦτο τελέσαι ἀμύθητοί εἰσιν. αἱ δ' ἐπιμασίαι αἱ γινόμεναι ἐπί τισι ζώοις, κατὰ συγκύρημα γίνονται τοῦ καιροῦ. ὁ γὰρ τὰ ζῶα ἀνάγκη τινὰ προσφέρεται τὰ ἀποτελεσθῆναι χειμῶνα. ὧδέ κάθηται τις θεία φύσις παρατρέπουσα τὰς τῶν ζώων τούτων ὁδούς, κἄπειτα τὰς ἐπιμασίας ταύτας ἀποτελεῖ. ὧδε γὰρ τὸ τυχὸν ζῶον, κἂν μικρῷ χαλεπώτερον ᾖ, εἰς παύτην μοῖραν ἐκπέσῃ, μὴ ὅτι τὸ παντελῆ δυσαιμονίαν κεκτημένον. ταῦτα δὴ πάντα, ὦ Πυθόκλεις, μνημόνευσον. κατὰ πολύτε γὰρ τοῦ μύθου ἐκβήσῃ, καὶ τὸ ὁμογενῆ τούτοις σωροῦν δυνήσῃ. μάλιστα δὲ σεαυτὸν ἀποδὸς εἰς τὸν τῆς ἀρχῶν, καὶ ἀπειρίας, καὶ τῆς συγγενῶν τούτοις θεωρίαν· ἔτι τε κερτείων καὶ παθῶν, καὶ ἕ ἕνεκεν ταῦτα ἐκλογιζόμεθα. ταῦτα γὰρ μάλιστα σωθεωρέμενα, ῥᾳδίως τὰς ὑπὲρ τῶν κατὰ μέρος αἰτίας συνορᾶν ποιήσει. οἱ δὲ ταῦτα μὴ καταγαπήσαντες, ἢ μὴ μάλιστα, ὅτε αὐτὰ ταῦτα καλῶς σωθεωρήσαιεν ἄν, ὅτε ἕ ἕνεκεν δεῖ θεωρεῖν ταῦτα περιποιήσαντο. ταῦτα αὐτῷ καὶ περὶ τοῦ μετεώρων δοκεῖ.

Περὶ δὲ τῶν βιωτικῶν, καὶ ὅπως χρὴ τὰ μὲν ἡμᾶς ἐκφεύγειν, τὰ δ' αἱρεῖσθαι, ἔτωσι γράφει. πρότερον δὲ διέλθωμεν ἅ τε αὐτῷ δοκεῖ περὶ τοῦ σοφοῦ, καὶ τοῖς ἀπ' αὐτοῦ. Βλάβας ἐξ ἀνθρώπων, ἢ διὰ μῖσος, ἢ διὰ φθόνον, ἢ διὰ καταφρόνησιν γίνεσθαι· ὧν τὸν σοφὸν

λο-

λογισμῷ περιγίνεσθαι. ἀλλὰ καὶ τὸν ἄπαξ γενόμενον σοφὸν, μηκέτι τῶν ἐναντίων λαμβάνειν διάθεσιν, μηδ' ἐπιλάττειν ἑκόντα. πάθεσι μέλλειν συνεχεσθήσεσθαι· οὐδὲν ἐμποδιθήσεσθαι πρὸς τὴν σοφίαν. οὐδὲ μὴν ἐκ πάσης σώματος ἕξεως σοφὸν γενήσεσθαι· οὐδ' ἐν παντὶ ἔθνει. κἂν στρεβλωθῇ δ' ὁ σοφὸς, εἶναι αὐτὸν εὐδαίμονα. μόνον τε χάριν ἕξειν τὸν σοφὸν, φίλοις καὶ παρεῖσι, καὶ ἀπεῖσιν ὁμοίως. διά τε οὐδὲ ὅτε μανῆ τις στρεβλῶται, οὔθ' ἁλῷ μύξει καὶ οἰμώξει. γυναικί τε οὐ μιγήσεσθαι τὸν σοφὸν ἢ οἱ νόμοι ἀπαγορεύσουσιν, ὡς φησι Διογένης ἐν τῇ ἐπιτομῇ τῶν Ἐπικούρου ἠθικῶν δογμάτων. ὥστε κολάσειν οἰκέτας, ἐλεήσειν μέντοι, καὶ συγγνώμην τινὰ ἕξειν τῷ ἀναιδεῖ. ἐραθήσεσθαι τὸν σοφὸν οὐ δοκεῖ αὐτοῖς. οὐδὲ παρῆς φρονήσειν. οὐδὲ θεόπεμπτον εἶναι τὸν ἔρωτα, ὡς Διογένης ἐν τῷ ιβ'. φησίν. οὐδὲ ῥητορεύσειν καλῶς. συνουσίαι δὲ (φασὶν) ὤνησε μὲν οὐδέποτε, ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψεν. καὶ μὴν καὶ γαμήσειν καὶ τεκνοποιήσειν τὸν σοφὸν, ὡς Ἐπίκουρος ἐν ταῖς διαπορίαις, καὶ ἐν ταῖς περὶ φύσεως. κατὰ περίστασιν δέποτε βίου γαμήσειν, καὶ διατραπήσεσθαί τινας. οὐδὲ μεθύειν πρήσειν ἐν μέθῃ, φησὶν ὁ Ἐπίκουρος ἐν τῷ συμποσίῳ· οὐδὲ πολιτεύεσθαι, ὡς ἐν τῇ πρώτῃ περὶ βίων, οὐδὲ τυραννεύσειν· οὐδὲ κωμεῖν· ὡς ἐν τῇ δευτέρᾳ περὶ βίων· οὐδὲ πτωχεύσειν· ἀλλὰ καὶ πεπρωθείς τὰς ὄψεις, μετέξειν αὐτὸν τοῦ βίου, ὡς ἐν τῇ αὐτῇ φησι· καὶ λυπηθήσεσθαι δὲ τὸν σοφὸν, ὡς ὁ Διογένης ἐν τῇ πέμπτῃ τῶν ἐκλεκτῶν, καὶ δικάσεσθαι, καὶ συγγράμματα καταλείψειν· οὐ παντὸς δὲ. κτήσεως προνοήσεσθαι, καὶ τοῦ μέλλοντος. φιλαργήσειν, τύχης τε ἀντιτάξεσθαι, φίλον τε οὐδένα κτήσεσθαι. δόξης δὲ τοσοῦτον προνοήσεσθαι ἐφ' ὅσον μὴ καταφρονηθήσεσθαι.

μᾶλ-

μᾶλλόν τε δ' φρανθήσεθαι τῶν ἄλλων ἐν ταῖς θεωρίαις. ἁμαρτήματα, ἄϊσα εἶναι. κ) τὴν ὑγίειαν τισὶ μὲν, ἀγαθόν. τισὶ δὲ, ἀδιάφορον. τὴν δὲ ἀνδρείαν φύσει μὴ γίνεθαι· λογισμῷ δὲ τὸ συμφέροντος κ) τὴν φιλίαν διὰ τὰς χρείας. δεῖν μέντοι προκατάρχεθαι (κ) γὰρ τὴν γλῶ πειρομ) συνίσαθαι δὲ αὐτὴν κατὰ κοινωνίαν ἐν ταῖς ἡδοναῖς. τὴν δ' δαιμονίαν δικῆ νοεῖθαι, τήν τε ἀκροτάτην, οἵα ὄξι φ) τὸν θεὸν, ἐπίτασιν ἀκ ἔχουσαν· κ) τὴν ἀνθρωπίνην, ἔχουσαν προσθήκην κ) ἀφαίρεσιν ἡδονῶν. εἰκόνας τε ἀναθήσειν εἰ ἔχοι, ἀδιάφορος ἔξειν ἂν μὴ χοίη. μόνον τε τὸν σοφὸν ὀρθῶς ἂν φ) τε μουσικῆς κ) ποιητικῆς διαλέξεθαι. ποιήματά τε ἐνεργεῖν, ἀκ ἂν ποιῆσαι. ἀ κινεῖται τε ἑτέρα ἕτερον σοφώτερον. χρηματίσεθαί τε, ἀλλ' ἀπὸ μόνης σοφίας ἀπορήσαντα. κ) μόναρχον ἐν καιρῷ θεραπεύσειν. κ) ἐπιχαρίσεθαί τινι ἐπὶ τῷ διορθώματι. κ) σχολὴν παρασκευάσειν· ἀλλ' ἀχ ὥστε ἀχλαγωγῆσαι· κ) ἀναγνώσεσθαι ἐν πλήθει, ἀλλ' ἀχ ἑκόντα· δογματιεῖν τε, κ) ἀκ ἀπορήσειν. κ) καθ' ὕπνους ὅμοιον ἔσεσθαι, κ) ὑπὲρ φίλε ποτὲ τεθνήξεσθαι. ταῦτα δοκεῖ αὐτοῖς φ) τὸ σοφὸ.

Μετιτέον δὲ ἐπὶ τὴν ἐπιστολήν.

Ἐπίκουρος Μητροδώρῳ χαίρειν.

Μήτε νέος τὶς ὢν μελλέτω φιλοσοφεῖν· μήτε γέρων ὑπάρχον κοπιάτω φιλοσοφῶν. ὅτε γὰρ ἄωρος ἐδείς ὄξιν, ὅτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαίνειν. ὁ δὲ λέγων ἢ μήπω τὸ φιλοσοφεῖν ὑπάρχειν ὥραν, ἢ παρεληλυθέναι τὴν ὥραν, ὁμοιός ὄξι τῷ λέγοντι, πρὸς εὐδαιμονίαν ἢ μὴ παρεῖναι τὴν ὥραν, ἢ μηκέτι εἶναι. ὥστε φιλοσοφητέον

τέον καὶ γέροντι καὶ νέῳ· τῷ μὲν, ὅπως γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς, διὰ τὴν χάριν τῶν γεγονότων· τῷ δὲ, ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ, διὰ τὴν ἀφοβίαν τῶν μελλόντων. μελετᾶν ἂν χρὴ τὰ ποιοῦντα τὴν εὐδαιμονίαν, εἴπερ παρούσης μὲν αὐτῆς, πάντα ἔχομεν· ἀπούσης δὲ, πάντα πράττομεν εἰς τὸ ταύτην ἔχειν· ἃ δέσοι συνεχῶς παρήγγελον, ταῦτα καὶ πράττε καὶ μελέτα, συστοιχεῖα τῆς καλῶς ζῆν ταῦτ' εἶναι διαλαμβάνων. πρῶτον μὲν, τὸν θεὸν, ζῷον ἄφθαρτον καὶ μακάριον νομίζων, ὡς ἡ κοινὴ τοῦ θεοῦ νόησις ὑπεγράφη· μηδὲν μήτε τῆς ἀφθαρσίας ἀλλότριον, μήτε τῆς μακαριότητος ἀνοίκειον αὐτῷ προσάπτε· πᾶν δὲ τὸ φυλάττειν αὐτὸ δυνάμενον τὴν μετ' ἀφθαρσίας μακαριότητα, περὶ αὐτὸν δόξαζε. θεοὶ μὲν γάρ εἰσιν· ἐναργὴς μὲν γάρ ἐστιν αὐτοῖς ἡ γνῶσις. οἵους δ' αὐτοὺς οἱ πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· ἃ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νομίζουσιν. ἀσεβὴς δὲ, οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τοὺς τῶν πολλῶν δόξας θεοῖς προσάπτων. αἱ γὰρ προλήψεις εἰσὶν, ἀλλ' ὑπολήψεις ψευδεῖς αἱ τῶν πολλῶν ὑπὲρ θεῶν ἀποφάσεις· ἔνθεν αἱ μέγισαι βλάβαι, αἴτιαι τοῖς κακοῖς ἐκ θεῶν ἐπάγονται· καὶ ὠφέλειαι, τοῖς ἀγαθοῖς. ταῖς γὰρ ἰδίαις οἰκειούμενοι διὰ παντὸς ἀρεταῖς τὰς ὁμοίας ἀποδέχονται, πᾶν τὸ μὴ τοιοῦτον, ὡς ἀλλότριον νομίζοντες. συνέθιζε δὲ ἐν τῷ νομίζειν μηδὲν πρὸς ἡμᾶς εἶναι τὸν θάνατον. ἐπεὶ πᾶν ἀγαθὸν καὶ κακὸν ἐν αἰσθήσει· στέρησις δὲ ἔστιν αἰσθήσεως, ὁ θάνατος. ὅθεν γνῶσις ὀρθὴ τὸ μηδὲν εἶναι πρὸς ἡμᾶς τὸν θάνατον, ἀπολαυστὸν ποιεῖ τὸ τῆς ζωῆς ἄπειρον· οὐκ ἄπειρον προσιθεῖσα χρόνον, ἀλλὰ τὸν τῆς ἀθανασίας ἀφελομένη πόθον. οὐθὲν γάρ ἔστιν ἐν τῷ ζῆν δεινὸν, τῷ κατειληφότι γνησίως τὸ μὴ-

μηδὲν ὑπάρχειν ἐν τῷ μὴ ζῆν δεινόν. ὥστε μάταιος ὁ λέγων δεδιέναι τὸν θάνατον, οὐχ ὅτι λυπήσει παρὼν, ἀλλ' ὅτι λυπεῖ μέλλων. ὃ γὰρ παρὸν, οὐκ ἐνοχλεῖ· προσδοκώμενον, κενῶς λυπεῖ. τὸ φρικωδέστατον οὖν τῶν κακῶν ὁ θάνατος, οὐδὲν πρὸς ἡμᾶς· ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν· ὅταν δὲ ὁ θάνατος παρῇ, τόθ' ἡμεῖς οὐκ ἐσμέν: ὥστε οὔτε πρὸς τοὺς ζῶντας ἐστὶν, οὔτε πρὸς τοὺς τετελευτηκότας· ἐπειδήπερ περὶ οὓς μὲν, οὐκ ἔστιν· οἱ δ', οὐκέτι εἰσίν. ἀλλ' οἱ πολλοὶ τὸν θάνατον, ὁτὲ μὲν ὡς μέγιστον τῶν κακῶν φεύγουσιν· ὁτὲ δὲ, ὡς ἀνάπαυσιν τῶν ἐν τῷ ζῆν ζητοῦσιν. ὁ σοφὸς οὔτε φοβεῖται τὸ μὴ ζῆν· οὔτε γὰρ αὐτῷ προσίσταται τὸ ζῆν. οὔτε δοξάζεται κακὸν εἶναι τὸ μὴ ζῆν. ὥσπερ δὲ τὸ σιτίον οὐ τὸ πλεῖον πάντως, ἀλλὰ τὸ ἥδιστον αἱρεῖται· οὕτω καὶ χρόνον οὐ τὸν μήκιστον, ἀλλὰ τὸν ἥδιστον καρπίζεται. ὁ δὲ παραγγέλλων τὸν μὲν νέον καλῶς ζῆν, τὸν δὲ γέροντα καλῶς καταγηράσειν, ληρώδης ἐστὶν, οὐ μόνον διὰ τὸ τῆς ζωῆς ἀσπαστὸν, ἀλλὰ καὶ διὰ τὸ τὴν αὐτὴν εἶναι μελέτην τοῦ καλῶς ζῆν, καὶ τοῦ καλῶς ἀποθνήσκειν. πολὺ δὲ χείρων καὶ ὁ λέγων,

\- - - Καλὸν μὲν μὴ φῦναι,
Φύντα δ' ὅπως ὤκισα πύλας ἀΐδαο περῆσαι.

εἰ μὲν γὰρ πεποιθὼς τοῦτο φησὶ, πῶς οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; ἐν ἑτοίμῳ γὰρ αὐτῷ τοῦτ' ἔστιν, εἴπερ ἐπὶ τούτῳ βεβουλευμένον αὐτῷ βεβαίως· εἰ δὲ μανικῶς, μάταιος ἐν τοῖς ἐκ προσδοκωμένοις. μνημονευτέον δὲ ὡς τὸ μέλλον, οὔτε ἡμέτερον, οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως προσμένωμεν αὐτὸ ὡς ἐσόμενον, μήτε

ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον. ἀναλογιστέον δὲ ὡς τῶν ἐπιθυμιῶν αἱ μὲν εἰσὶ φυσικαὶ, αἱ δὲ, κεναί. καὶ τῶν φυσικῶν αἱ μὲν ἀναγκαῖαι· αἱ δὲ φυσικαὶ μόνον. τῶν δὲ ἀναγκαίων, αἱ μὲν πρὸς εὐδαιμονίαν εἰσὶν ἀναγκαῖαι, αἱ δὲ, πρὸς τὴν τοῦ σώματος ἀοχλησίαν· αἱ δὲ, πρὸς αὐτὸ τὸ ζῆν. τούτων γὰρ ἁπλανὴς θεωρία πᾶσαν αἵρεσιν, καὶ φυγὴν ἐπαναγαγεῖν οἶδεν ἐπὶ τὴν τοῦ σώματος ὑγίειαν, καὶ τὴν τῆς ψυχῆς ἀταραξίαν. ἐπεὶ τοῦτο τοῦ μακαρίως ζῆν ὅρος τέλος. τούτου γὰρ χάριν ἅπαντα πράττομεν, ὅπως μήτε ἀλγῶμεν, μήτε ταρβῶμεν. ὅταν δὲ ἅπαξ τοῦτο περὶ ἡμᾶς γένηται, λύεται πᾶς ὁ τῆς ψυχῆς χειμών, οὐκ ἔχοντος τοῦ ζῴου βαδίζειν ὡς πρὸς ἐνδέοντι, καὶ ζητεῖν ἕτερον ᾧ τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀγαθὸν συμπληρωθήσεται. τότε γὰρ ἡδονῆς χρείαν ἔχομεν, ὅταν ἐκ τοῦ μὴ παρεῖναι τὸν ἡδονὸν ἀλγῶμεν· ὅταν δὲ μὴ ἀλγῶμεν, οὐκέτι τῆς ἡδονῆς δεόμεθα. καὶ διὰ τοῦτο τὸν ἡδονὸν ἀρχὸν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως ζῆν. τοῦτον γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν, καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς, καὶ ἐπὶ ταύτῃ καταντῶμεν, ὡς κανόνι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες. καὶ ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα· ἀλλ' ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολουθῇ, πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. πᾶσα οὖν ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν, ἀγαθόν· οὐ πᾶσα μήτοι αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα, κακόν· οὐ πᾶσα δὲ ἀεὶ φύσει πεφυκυῖα. τῇ μήτοι συμμετρήσει, καὶ συμφερόντων καὶ ἀσυμφόρων βλέψει, παν-

ταῦτα πάντα κρίνειν καθήκει. χρώμεθα γὰρ τῷ μὲν ἀγαθῷ, κατά τινας χρόνους, ὡς κακῷ· τῷ δὲ κακῷ, τὸ ἔμπαλιν, ὡς ἀγαθῷ. καὶ τὸν αὐτάρκειαν δὲ ἀγαθὸν μέγα νομίζομεν, οὐχ ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα· ἀλλ' ὅπως, ἐὰν μὴ ἔχωμεν τὰ πολλὰ, τοῖς ὀλίγοις χρώμεθα, πεπεισμένοι γνησίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα ταύτης δεόμενοι. καὶ ὅτι τὸ μὲν φυσικὸν παντὸς, εὐπόριστόν ἐστι· τὸ δὲ κενὸν, δυσπόριστον. οἵ τε λιτοὶ χυλοὶ ἴσην πολυτελεῖ δίαιταν τὴν ἡδονὴν προσφέρουσιν, ὅταν ἅπαν τὸ ἀλγοῦν κατ' ἐνδειαν ἐξαιρεθῇ· καὶ μάζα καὶ ὕδωρ τὴν ἀκροτάτην ἀποδιδόασιν ἡδονὴν, ἐπειδὰν ἐνδέων τις αὐτὰ προσενέγκηται. τὸ συνεθίζειν οὖν ἐν ταῖς ἁπλαῖς καὶ ἐπολυτελέσι διαίταις, καὶ ὑγιείας ἐστὶ συμπληρωτικὸν, καὶ πρὸς τὰς ἀναγκαίας τῶ βίω χρήσεις ἄοκνον ποιεῖ τὸν ἄνθρωπον. καὶ τοῖς πολυτελέσιν ἐπ' ἐνίων παρερχομένοις, κρείττονας ἡμᾶς ἐνίστησι, καὶ πρὸς τὴν τύχην ἀφόβως διατίθησι. ὅταν οὖν λέγωμεν ἡδονὴν τέλος ὑπάρχειν, οὐ τὰς τῶν ἀσώτων ἡδονὰς, καὶ τὰς τῶν ἐν ἀπολαύσει κειμένας λέγομεν, ὥς τινες ἀγνοοῦντες καὶ οὐχ ὁμολογοῦντες, ἢ κακῶς ἐκδεχόμενοι, νομίζουσιν, ἀλλὰ τὸ μήτε ἀλγεῖν κατὰ σῶμα, μήτε ταράττεσθαι κατὰ ψυχήν. οὐ γὰρ πότοι καὶ κῶμοι, οὐδ' ἀπολαύσεις παίδων καὶ γυναικῶν, οὐδ' ἰχθύων καὶ τῶν ἄλλων ὅσα φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νήφων λογισμὸς, καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς, καὶ τὰς δόξας ἐξελαύνων, ἀφ' ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος. τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν, ἡ φρόνησις. διὸ καὶ φιλοσοφίας τὸ τιμιώτερον ὑπάρχει ἡ φρόνησις, ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πε-

φύκασιν ἀρεταί· διδάσκεσθαι ὡς οὐκ ἔστιν ἡδέως ζῆν, ἀλλὰ τὸ φρονίμως, καὶ καλῶς, καὶ δικαίως· οὐδὲ φρονίμως, καὶ καλῶς, καὶ δικαίως, ἀλλὰ τὸ ἡδέως. συμπεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως· καὶ τὸ ζῆν ἡδέως τέτων ἐστὶν ἀχώριστον. ἐπεὶ, τίνα νομίζεις εἶναι κρείττονα τὸν περὶ θεῶν ὅσια δοξάζοντος, καὶ περὶ θανάτε ἀφαντος ἀφόβως ἔχοντος, καὶ τὸ τῆς φύσεως ἐπιλελογισμένῳ τέλος; καὶ τὸ μὴ τὰ ἀγαθῶν πέρας, ὡς ἔστιν ἀσυμπλήρωτόν τε καὶ ἀπόρισον, ἐφαλαμβάνοντος· τὸ δὲ τὰ κακῶν, ὡς ἢ χρόνος ἢ πόνος ἔχει βραχεῖς· τὸν δὲ εἱμαρμένην ὑπό τινων δεσπότην εἰσαγομένην πάντων, ἀγγέλλοντος, μὴ εἶναι· ἀλλὰ τὰ μὲν ἀπὸ τύχης· τὰ δὲ παρ' ἡμᾶς· ἐφ' ᾧ τὸν μὲν ἀνάγκην, ἀνυπεύθυνον εἶναι, τὸν δὲ τύχην, ἄσταθμον ὁρᾶν. τὸ δὲ παρ' ἡμᾶς, ἀδέσποτον· ᾧ καὶ τὸ μεμπτὸν καὶ τὸ ἐναντίον ἀκολουθεῖν πέφυκεν. ἐπεὶ κρεῖττον ἦν τῷ περὶ θεῶν μύθῳ κατακολουθεῖν, ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ δουλεύειν. ὁ μὲν γὰρ ἐλπίδα παραιτήσεως ὑπογράφει θεῶν διὰ τιμῆς· ἡ δὲ ἀπαραίτητον ἔχει τὸν ἀνάγκην. τὸν δὲ τύχην, ὅτε θεὸν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὑπολαμβάνων· (οὐθὲν γὰρ ἀτάκτως θεῷ πράττεται) ὅτε ἀβέβαιον αἰτίαν, (οἴεται μὲν γὰρ ἀγαθὸν ἢ κακὸν ἐκ ταύτης πρὸς τὸ μακαρίως ζῆν ἀνθρώποις μὴ δίδοσθαι) ἀρχὰς μέντοι μεγάλων ἀγαθῶν ἢ κακῶν ὑπὸ ταύτης χορηγεῖσθαι. κρεῖττον εἶναι νομίζων δυλογίστως ἀτυχεῖν, ἢ ἀλογίστως δυτυχεῖν. βέλτιον γὰρ τὸ κρίθεν ἐν ταῖς πράξεσι καλῶς, μὴ ὀρθωθῆναι διὰ ταύτης. ταῦτα δὲ καὶ τὰ τέτοις συγγενῆ μελέτα διαπαντὸς, ἡμέρας καὶ νυκτὸς, πρὸς σεαυτὸν, καὶ πρὸς τὸν ὅμοιον σεαυτῷ, καὶ οὐδέποτε οὔτ' ὄναρ οὔτ' ὄναρ διαταραχθήσῃ, ζήσῃ δὲ ὡς θεὸς ἐν ἀν-

SCHOLAE REGIAE DEBRECEN

ἀνθρώποις. ἥδιον γὰρ ἔοικε θνητῷ ζώῳ ζῶν ἄνθρωπος ἐν ἀθανάτοις ἀγαθοῖς. μαντικὴν δὲ ἅπασαν ἐν ἄλλοις αἱρεῖ, ὡς καὶ ἐν τῇ μικρᾷ ὑπτομῇ. καί φησι, μαντικὴ ὡς ἀύπαρκτος· εἰ δὲ καὶ ὑπάρκτη, ἡδὺ ὡρὸς ἡμᾶς ἡγητέον τὰ γινόμενα. τοσαῦτα καὶ περὶ τῶν βιωτικῶν· καὶ ὅτι πλείω διείλεκται ἀλλαχόθι.

Διαφέρεται δὲ ὡρὸς τὰς Κυρηναϊκὰς περὶ τῆς ἡδονῆς. οἱ μὲν γὰρ τὴν καταστηματικὴν ἐκ ἐγκείνουσι, μόνην δὲ τὴν ἐν κινήσει. ὁ δὲ, ἀμφοτέραν, ψυχῆς καὶ σώματος, ὥς φησιν ἐν τῷ περὶ αἱρέσεως καὶ φυγῆς, καὶ ἐν τῷ περὶ τέλους, καὶ ἐν τῷ πρώτῳ περὶ βίων, καὶ ἐν τῇ ὡρὸς τὰς ἐν Μιτυλήνῃ φίλας ἐπιστολῇ. ὁμοίως δὲ καὶ Διογένης ἐν τῇ ἑπτακαιδεκάτῃ τῇ τῶν ἐπιλέκτων, καὶ Μητρόδωρος ἐν τῷ Τιμοκράτει, λέγουσιν ἅπτως· νοεμονὴν δὲ ἡδονῆς τῆς τε κατὰ κίνησιν καὶ τῆς καταστηματικῆς. ὁ δ' Ἐπίκουρος ἐν τῷ περὶ αἱρέσεων ἅπω λέγει· Ἡ μὲν γὰρ ἀπαραξία καὶ ἀοχλησία, καταστηματικαί εἰσιν ἡδοναί· ἡ δὲ χαρὰ καὶ εὐφροσύνη, κατὰ κίνησιν ἐνεργείᾳ βλέπονται.

Ἔτι ὡρὸς τὰς Κυρηναϊκὰς διαφέρεται. οἱ μὲν γὰρ, χείρας τὰς σωματικὰς ἀλγηδόνας λέγουσι τῶν ψυχικῶν. (κολάζεσθαι γὰρ τὸν ἁμαρτάνοντας σώματι) ὁ δὲ, τὰς ψυχικάς. τὸν γὰρ σάρκα διὰ τὸ παρὸν μόνον χειμάζειν· τὸν δὲ ψυχὴν, καὶ διὰ τὸ παρελθὸν, καὶ τὸ παρὸν, καὶ τὸ μέλλον. ἅπως ἂν καὶ μείζονας ἡδονὰς εἶναι τῆς ψυχῆς. ἀποδείξει δὲ χρῆναι τὸ τέλος εἶναι τὸν ἡδονὸν, τῷ τὰ ζῶα, ἅμα τῷ γεννηθῆναι, τὴν μὲν ἀπαρεσκεῖσθαι, τῷ δὲ πόνῳ ὡροσκρούειν φυσικῶς, καὶ χωρὶς λόγου. αὐτοπαθῶς ἂν φαίνομεν τὸν ἀλγηδόνα· ἵνα καὶ ὁ Ἡρακλῆς καταβιβρωσκόμενος ὑπὸ τοῦ χιτῶνος,

- - - - - βοῇ
Δάκνων, ἰύζων· ἀμφὶ δ' ἔσσυον πέζας,
Λοκρῶν τ' ὄρεσι πρῶνες, Εὐβοίας τ' ἄκρα.

Διὰ δὲ τὴν ἡδονὴν καὶ τὰς ἀρετὰς δεῖν αἱρεῖσθαι, ὡς δι' αὐτάς· ὥσπερ τὴν ἰατρικὴν διὰ τὴν ὑγίειαν· καθάφησι καὶ Διογένης ἐν τῇ εἰκοστῇ τῶν ἐπιλέκτων, ὃς καὶ διαγωγὴν λέγει τὴν ἀρετήν. ὁ δ' Ἐπίκουρος καὶ ἀχώριστόν φησι τῆς ἡδονῆς τὴν ἀρετὴν μόνην· τὰ δ' ἄλλα χωρίζεσθαι, οἷον βρωτά.

Καὶ φέρε ἤδη νυνὶ τὸν κολοφῶνα (ὡς ἂν εἴποι τις) ἐπιθῶμεν τῷ παντὸς συγγράμματος, καὶ τῷ βίῳ τῷ φιλοσόφῳ, τὰς κυρίας αὐτῶν δόξας προθέμενοι, καὶ ταύταις τὸ πᾶν σύγγραμμα καταπλείσαντες· τέλει χαίρωμεν τῇ τῆς εὐδαιμονίας ἀρχῇ.

α'. Τὸ μακάριον καὶ ἄφθαρτον, οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει· ὥστε οὔτε ὀργαῖς, οὔτε χάρισι συνέχεται. ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον. ἐν ἄλλοις δέ φησι· τὰς θεὰς λόγῳ θεωρητὰς εἶναι· ὡς μὲν, κατ' ἀριθμὸν ὑφεστώσας· ὡς δὲ, καὶ ὁμοειδίαν ἐκ τῆς συνεχοῦς ἐπιῤῥύσεως τῷ ὁμοίων εἰδώλων ἐπὶ τὸ αὐτὸ, καὶ ποτε τελεσμένας ἀνθρωποειδῶς.

β'. Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν, ἀναισθητεῖ· τὸ δὲ ἀναισθητοῦν, οὐδὲν πρὸς ἡμᾶς.

γ'. Ὅρος τοῦ μεγέθους τῆς ἡδονῶν, ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. ὅπου δ' ἂν τὸ ἡδόμενον ἐνῇ, καθ' ὃν ἂν χρόνον ᾖ, οὐκ ἔστι τὸ ἀλγοῦν, ἢ τὸ λυπούμενον, ἢ τὸ συναμφότερον.

δ'. Οὐ χρονίζει τὸ ἀλγοῦν συνεχῶς ἐν τῇ σαρκί· ἀλλὰ τὸ μὲν ἄκρον, τὸν ἐλάχιστον χρόνον πάρεσι· τὸ δὲ

δὲ μόνον ὑπερτείνον τὸ ἡδόμενον τῇ σάρκα, ἀ πολλὰς ἡμέρας συμβαίνει. αἱ δὲ πολυχρόνιοι τῇ ἀρρωστιῶν πλεονάζον ἔχουσι τὸ ἡδόμενον ἐν τῇ σαρκὶ, ἤπερ τὸ ἀλγεῖν.

ε'. Οὐκ ἔστιν ἡδέως ζῆν, ἄνευ τοῦ φρονίμως, καὶ καλῶς, καὶ δικαίως· οὐδὲ φρονίμως, καὶ καλῶς, καὶ δικαίως, ἄνευ τοῦ ἡδέως. ὅτῳ ἂν μὴ ὑπάρχει τὸ ζῆν φρονίμως, καὶ καλῶς καὶ δικαίως, οὐκ ἔστι τοῦτον ἡδέως ζῆν.

ς'. Ἕνεκα τοῦ θαρρεῖν ἐξ ἀνθρώπων, ἐστὶ καὶ φύσιν ἀρχὴ καὶ βασιλεία ἀγαθὸν, ἐξ ὧν ἄν ποτε τοῦτό τις οἴας τ' ἦ ἀθροκδάζεσθαι.

ζ'. Ἔνδοξοι καὶ ἀβλεπτοί τινες ἐβελήθησαν γενέσθαι, τινὲ ἐξ ἀνθρώπων ἀσφάλειαν ἔπω νομίζοντες περιποιήσεσθαι. ὥστε εἰ μὲν ἀσφαλὴς ὁ τῶν τοιούτων βίος, ἀπέλαβον τὸ τῆς φύσεως ἀγαθόν· εἰ δὲ μὴ ἀσφαλὴς, οὐκ ἔχουσιν ἕνεκα ἐξ ἀρχῆς ἀθροκδὲ τὸ τῆς φύσεως οἰκεῖον ὠρέχθησαν.

η'. Οὐδεμία ἡδονὴ καθ' ἑαυτὴν κακόν· ἀλλὰ τὰ τινῶν ἡδονῶν ποιητικὰ, πολλαπλασίους ἐπφέρει τὰς ὀχλήσεις τῶν ἡδονῶν.

θ'. Εἰ κατεπυκνοῦτο πᾶσα ἡδονὴ, καὶ χρόνῳ κατὰ ἀθροδον τὸ ἄθροισμα ὑπῆρχεν ὅπ τὰ κυριώτατα μέρη τῆς φύσεως, οὐκ ἂν ποτε διέφερον ἀλλήλων αἱ ἡδοναί.

ι'. Εἰ τὰ ποιητικὰ τῶν περὶ τὰς ἀσώτους ἡδονῶν ἔλυε τὰς φόβους τῆς διανοίας, τήν τε ἀθρὶ μετεώρων, καὶ θανάτε, ἀλγηδόνων· ἔτι τε τὸ πέρας τῶν ἐπιθυμιῶν ἐδίδασκεν ἂν, καὶ οὐκ ἂν ποτε εἴχομεν ὅ, τι μεμψαίμεθα αὐτοῖς, παντεχόθεν εἰσπληρεμένοις τῶν ἡδονῶν, ὡς ἐδαμόθεν ἔτε τὸ ἀλγεῖν, ἔτε τὸ λυπεύμενον, ἔχουσιν, ὅπερ ἐστὶ τὸ κακόν.

ιά. Εἰ μηθὲν ἡμᾶς αἱ περὶ τῶν μετεώρων ὑποψίαι λυώχλουν, καὶ αἱ περὶ θανάτου, μήποτε πρὸς ἡμᾶς (εἴ τι ἔτι τεπόλμηκα νοεῖν τὰς ὄρας τῆς ἀλυπηδόνων καὶ τῆς ἐπιθυμιῶν) οὐκ ἂν προσεδεόμεθα φυσιολογίας.

ιβ. Οὐκ ἰῶ τὸν φοβέμενον ὑπὲρ τῆς κυριωτάτων λύειν, μὴ κατειδότα τίς ἡ τῶν σύμπαντος φύσις, ἀλλ' ὑποπτεύομενόν τι τῶν κατὰ τοὺς μύθους. ὥστε οὐκ ἰῶ ἄνευ φυσιολογίας, ἀκεραίας τὰς ἡδονὰς ἀπολαμβάνειν.

ιγ. Οὐθὲν ὄφελος ἰῶ τοῦ κατ' ἀνθρώπους ἀσφάλειαν κατασκευάζεσθαι, τῆς ἄνωθεν ὑποπτων καθεστώτων, καὶ τῆς ὑπὸ γῆς, καὶ ἁπλῶς τῆς ἐν τῷ ἀπείρῳ.

ιδ. Τῆς ἀσφαλείας, τῆς ἐξ ἀνθρώπων, γινομένης μέχρι τινός· δυνάμει τε ἐξουσιακῇ, καὶ εὐπορίᾳ εἰλικρινεστάτῃ, γίνεται ἡ ἐκ τῆς ἡσυχίας, καὶ ἐκχωρήσεως τῶν πολλῶν ἀσφάλεια.

ιε. Οἱ τῆς φύσεως πλοῦτος καὶ ὥρισται, καὶ εὐπόριστός ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν, εἰς ἄπειρον ἐκπίπτει.

ις. Τραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα ὁ λογισμὸς διώκησε, καὶ κατὰ τὸν συνεχῆ χρόνον τὸν βίον διοικεῖ, καὶ διοικήσει.

ιζ. Οἱ δίκαιος, ἀταρακτότατος. ὁ δ' ἄδικος, πλείστης παραχῆς γέμων.

ιη. Οὐκ ἐπαύξεται ἡ ἡδονὴ ἐν τῇ σαρκὶ, ἐπειδὰν ἅπαξ τὸ κατ' ἔνδειαν ἀλγεῖν ἐξαιρεθῇ, ἀλλὰ μόνον ποικίλλεται.

ιθ. Τῆς δὲ διανοίας τὸ πέρας τὸ κεῖ τῶν ἡδονῶν, ἀπεγεννησεν ἥτε τούτων αὐτῶν ἐκλογησις, καὶ τῶν ὁμογενῶν τούτοις, ὅσα τὸν μεγίστων φόβων παρεσκεύαζε τὴν ἔκστασιν.

κ. Οἱ

κ'. Ο' ἄπειρος χρόνος ἴσως ἔχει τινὰ ἡδονὴν καὶ ὁ πεπερασμένος, ἐάν τις αὐτῆς τὸ πέρατα καταμερήσῃ τῷ λογισμῷ.

κά. Εἰ μὲν ἡ σὰρξ ἀπέλαβε τὰ πέρατα τῆς ἡδονῆς ἄπειρα, καὶ ἄπειρος ἂν αὐτὰ χρόνος παρεσκεύασεν.

κβ'. Εἰ δὲ ἡ διάνοια τὰ τῆς σαρκὸς τέλη καὶ πέρατος λαβοῦσα τὸν ὑπολογισμὸν, καὶ τὰς ὑπὲρ τὰ αἰώνια φόβους ἐκλύσασα, τὸν παντελῆ βίον παρεσκεύασε· καὶ ἔδοξεν ἔτι τὰ ἀπείρα χρόνα προσδεήθη ἄν. ἀλλ' ὅτε ἔφυγε τὴν ἡδονὴν, διὰ τίνα τὴν ἐξαγωγὴν ἐν τῷ ζῆν τὰ πράγματα παρεσκεύαζεν, ἀλλ' ὡς ἐλλείπουσά τι τὰ ἀορίστα βίᾳ κατέτρεφεν.

κγ'. Ο' τὰ πέρατα τὰ βίᾳ κατειδὼς, οἶδεν, ὡς δυπόριστόν ἐστι τὸ ἀληθῆ κατ' εὐδαιμονίαν ἐξαιρεῖν, καὶ τὸ τὸν ὅλον βίον παντελῆ καθίσαι. ὥστε οὐδὲν προσδεῖται πραγμάτων ἀγῶνας κεκτημένων.

κδ'. Τὸ ὑφεκτικὸς δὲ τέλος δεῖ ἐπιλογίζεσθαι, κατὰ πᾶσαν τὴν ἐνάργειαν, ἐφ' ᾧ τὰ δοξαζόμενα ἀναγόμενοι· εἰ δὲ μὴ, πάντα ἀκρισίας καὶ ταραχῆς ἔσται μεστά.

κέ. Εἰ μάχῃ πάσαις ταῖς αἰσθήσεσιν, οὐχ ἕξεις ὅθ' ὡς ἂν αὐτῶν φῇς διεψεῦσθαι, οὐδὲ πρός τι, ποιούμενος τὴν ἀναγωγὴν, κείνης.

κς'. Εἴ τινα ἐκβάλλῃς ἁπλῶς αἴσθησιν, καὶ μὴ διαιρῇς εἰς τὸ δοξαζόμενον, καὶ τὸ προσμένον, καὶ τὸ παρὸν ἤδη καὶ τὴν αἴσθησιν καὶ τὰ πάθη, καὶ πᾶσαν φαντασικὴν ἐπιβολὴν τῆς διανοίας· σωταράξεις καὶ τὰς λοιπὰς αἰσθήσεις τῇ ματαίᾳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκβαλεῖς.

κζ'. Εἰ δὲ βεβαιώσεις καὶ τὸ προσμένον ἅπαν ἐν ταῖς δοξασικαῖς ἐννοίαις, καὶ τὸ μὴ τὴν ἐπιμαρτύρησιν

σιν

σιν ἔχον ἢ ἐκλείψεις, τὸ διεψευσμένον· ὡς τετριμμένως ἔστι πᾶσαν ἀμφισβήτησιν καὶ πᾶσαν ὑπόκρισιν τοῦ ὀρθῶς, ἢ μὴ ὀρθῶς.

κή. Εἰ μὴ πρὸς πάντα καιρὸν ἐπανοίσεις ἕκαστον τῶν πραττομένων ὑπὲ τὸ τέλος τῆς φύσεως, ἀλλὰ προαναιρήσεις, εἴτε φυγὴν εἴτε δίωξιν ποιούμενος εἰς ἄλλό τι· οὐκ ἔσονταί σοι τοῖς λόγοις αἱ πράξεις ἀκόλουθοι.

κθ. Ὧν ἡ σοφία προσκυλάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις. Καὶ τοίνυν ἐν αὐτοῖς τοῖς ὡρισμένοις ἀσφάλειαν φιλίας μάλιστα κτήσει δεῖ νομίζειν συντελεσμόν.

λ. Ἡ αὐτὴ γνώμη θαρρεῖν τε ἐποίησεν ὑπὲρ τοῦ μηδὲν αἰώνιον εἶναι δεινὸν, μηδὲ πολυχρόνιον.

λά. Τῶν ἐπιθυμιῶν αἱ μὲν εἰσι φυσικαὶ καὶ ἀναγκαῖαι· αἱ δὲ φυσικαὶ καὶ οὐκ ἀναγκαῖαι. αἱ δὲ, οὔτε φυσικαὶ, οὔτε ἀναγκαῖαι, ἀλλὰ πρὸς κενὴν δόξαν γινόμεναι. φυσικὰς καὶ ἀναγκαίας ἡγεῖται ὁ Ἐπίκουρος, τὰς ἀλυπούσας ἀπολυόσας, ὡς ποτῶν ὑπὲ δίψος· φυσικὰς δὲ καὶ οὐκ ἀναγκαίας, τὰς ποικίλουσας μόνον τὴν ἡδονὴν, μὴ ὑπεξαιρουμένας δὲ τὸ ἄλγημα· ὡς πολυτελῆ σιτία. οὔτε δὲ φυσικὰς, οὔτε ἀναγκαίας· ὡς στέφανος, καὶ ἀνδριάντων ἀναθέσεις.

λβ. Τῶν ἐπιθυμιῶν ὅσαι μὴ ἐπ' ἄλγος ἐπανάγουσιν ἐὰν μὴ συμπληρωθῶσιν, οὐκ εἰσὶν ἀναγκαῖαι, ἀλλ' ὀλιγάχρυτον τοῦ ὄρεξιν ἔχουσιν, ὅταν δυσπόριστοι, ἢ βλαβὰς ἀπεργαστικαὶ, δόξωσιν εἶναι.

λγ. Ἐν αἷς τῶν φυσικῶν ἐπιθυμιῶν, μὴ ἐπ' ἄλγος δὲ ἐπαναγουσῶν ἐὰν μὴ συντελεσθῶσιν, ὑπάρχει ἡ σφοδρὴ σωτήριος, πρὸς κενὴν δόξαν αὗται γίνονται, καὶ οὐχὶ τὴν ἑαυτῶν φύσιν· ἀ δυσχερείαν τινὰ, ἀλλὰ πρὸς τοῦτο τὴν ἀνθρωπικοδοξίαν.

λδ. Τὸ

λδ'. Τὸ τῆς φύσεως δίκαιον, ἐστὶ σύμβολον τοῦ συμφέροντος, εἰς τὸ μὴ βλάπτειν ἀλλήλους μηδὲ βλάπτεσθαι.

λέ. Ὅσα τῶν ζώων μὴ ἠδυνάτο συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἄλληλα, μηδὲ βλάπτεσθαι· πρὸς ταῦτα οὐθὲν ἔχει οὐδὲ δίκαιον, οὐδὲ ἄδικον. ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἠδυνάτο, ἢ μὴ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι, τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἀλλήλους, μηδὲ βλάπτεσθαι.

λς'. Οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἢ ἐν ταῖς μετ' ἀλλήλων συγγραφαῖς, καθ' ὁμιλίας δήποτε ἔδοι τόπους συνθήκης τινὰ ποιεῖσθαι ὑπὲρ τοῦ μὴ βλάπτειν, ἢ βλάπτεσθαι.

λζ'. Ἡ ἀδικία, οὐ καθ' ἑαυτὴν κακόν, ἀλλ' ἐν τῷ καὶ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολάσεις.

λή. Οὐκ ἔστι τὸν λάθρα τι ποιοῦντα οὐ συνιέντα πρὸς ἀλλήλους, εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι, πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ἐπὶ τοῦ παρόντος λανθάνῃ. μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ λήσει.

λθ'. Κατὰ μὲν τὸ κοινὸν, πᾶσι τὸ δίκαιον τὸ αὐτό· (συμφέρον γάρ τι ἦν ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ) κατὰ δὲ τὸ ἴδιον, χώρας καὶ ὅσων δήποτε αἰτιῶν, οὐ πᾶσι συμβέβηκε τὸ αὐτὸ δίκαιον εἶναι.

μ'. Τὸ μὲν ἐπμαρτυρούμενον ὅτι συμφέρει ἐν ταῖς χρείαις τῆς πρὸς ἀλλήλους κοινωνίας, τῶν νομισθέντων εἶναι δικαίων ὄν, τοῦτο ἔχει τὸ δίκαιος χώραν, ἐάν τε τὸ αὐτὸ πᾶσι φύηται, ἐάν τε μὴ τὸ αὐτό.

μά. Ἐὰν νομοθετηθῇ τι, μὴ ἀποβαίνῃ δὲ κατὰ τὸ συμφέρον τῆς πρὸς ἀλλήλους κοινωνίας, οὐκέτι τοῦτο ἤδη τὸ δικαίου φύσιν ἔχει. κἂν μεταπίπτῃ τὸ κατὰ τὸ

δίκαιον

δίκαιον συμφέρον, χρόνον δέ τινα εἰς τὴν πρόληψιν ἐναρμόττῃ· ἡδὺ ἦττον κατ' ἐκεῖνον τὸν χρόνον ἦν δίκαιον, ὅτε συμφέρον, τοῖς μὴ φωναῖς κεναῖς ἑαυτὰς συνταράττουσιν, ἀλλὰ πλεῖστα πράγματα βλέπουσιν.

μβ'. Ἔνθα μὴ καινῶν γενομένων τῶν περιεστώτων πραγμάτων, ἀνεφάπτῃ μὴ ἁρμόττοντα εἰς τὴν πρόληψιν τὰ νομισθέντα δίκαια ἐπ' αὐτῶν τῶν ἔργων, ἐκ ἦν ταῦτα δίκαια. ἔνθα δὲ καινῶν γενομένων τῶν περιεστώτων πραγμάτων, ἐκέτι συμφέρει τὰ αὐτὰ δίκαια κείμενα. ἐνταῦθα δὴ τότε μὲν ἦν δίκαια, ὅτε συμφέρον εἰς τὸν πρὸς ἀλλήλους κοινωνίαν τῶν συμπολιτευομένων· ὕστερον δὲ ἐκ ἦν ἔτι δίκαια, ὅτε μὴ συνέφερεν.

μγ'. Ὁ τὸ μάλιστα θαρρεῖν ἀπὸ τῶν ἔξωθεν ἄρτι σύνηθες ἀμβλύς, ὅτος τὰ μὲν δυνατὰ, ὁμόφυλα κατεσκευάσατο· τὰ δὲ μὴ δυνατὰ, ἀλλόφυλα, οἷς ἀνεπίμικτος ἐγένετο, κ) ἐξωρίσατο ὅσα τούτων μὴ λυσιτελεῖ πράττειν.

μδ'. Ὅσοι τὴν δύναμιν ἔχον τὸ τὸ θαρρεῖν μάλιστα ἐκ τῶν ὁμορόντων βεβαιοῦσθαι· ὅτοι κ) ἐβίωσαν μετ' ἀλλήλων ἥδιστον, βεβαιότατον πίστωμα ἔχοντες, καὶ πληρεστάτῳ οἰκειότητα λαβόντες, ἐκ ὠδύροντο, ὡς πρὸς ἔλεον, τῷ τὸ τελευτήσαντος προκαταφοράν.

ΤΕΛΟΣ.

ΦΙΛΟΣΟΦΩΝ ΚΑΤΑΛΟΓΟΣ

ὧν τὰς βίους γέγραφεν ὁ Διογένης.

Α

Αἰσχίνης. 84
Ἀλεξῖνος, ὃς καὶ Ἐλεγξῖνος. 103
Ἀλκμαίων. 395
Ἀναξαγόρας. 61
Ἀνάξαρχος. 427
Ἀναξίμανδρος. 58
Ἀναξιμένης. 59
Ἀνάχαρσις ὁ Σκύθης. 47
Ἀντισθένης. 236
Ἀρίστιππος. 86
Ἀρισταγόρας. 196
Ἀρίστων. 341
Ἀρκεσίλαος. 177
Ἀρχέλαος. 65
Ἀρχύτας. 392

Β

Βίας. 37
Βίων. 186

Γ

Γλαύκων. 111

Δ

Δημήτριος. 227
Δημόκριτος. 416
Διογένης ὁ Κυνικός. 243

Διοφάνης ὁ Ἀπολλωνιάτης. 426
Διόδωρος. 105
Διονύσιος. 344

Ε

Ἐμπεδοκλῆς. 381
Ἐπίκουρος. 450
Ἐπιμενίδης. 51
Ἐπίχαρμος. 392
Εὐβουλίδης. 103
Εὔδοξος. 397
Εὐκλείδης. 102

Ζ

Ζηνὼν ὁ Κιτιεύς. 280
Ζηνὼν ὁ Ἐλεάτης. 411

Η

Ἡρακλείδης. 232
Ἡράκλειτος. 400
Ἥλιος. 343

Θ

Θαλῆς. 10
Θεόφραστος. 210

Ι

Ἱππαρχία. 274
Ἵππασος. 395

Κ

Καρνεάδης. 192
Κέβης. 112
Κλεανθης. 345
Κλειτόμαχος. 194
Κλεόβουλος. 40
Κράνωρ. 175

Κράτης ὁ Ἀθηναῖος. 174
Κράτης Ἀσκώνδε. 269
Κείπων. 109

Λ

Λακύδης. 191
Λύκιππος. 414
Λύκων. 223

Μ

Μέλισσος. 411
Μενέδημος. 112
Μενέδημος Κωλώτε μαθητής. 277
Μύιππος. 276
Μητροκλῆς. 273
Μόνιμος. 267
Μύσων. 49

Ξ

Ξενοκράτης. 167
Ξενοφάνης. 407
Ξενοφῶν. 79

Ο

Οἰνοπίκειος. 268

Π

Παρμενίδης. 409
Πεισίανδρος. 43
Πιττακὸς. 33
Πλάτων. 121
Πολέμων. 171
Πρωταγόρας. 423
Πυθαγόρας. 361
Πύῤῥων. 428

Σ

Σιμμίας. 111
Σίμων. 110
Σόλων. 20
Σπεύσιππος. 164
Στίλπων. 106
Σχάτων. 220
Σφαῖρος. 349
Σωκράτης. 66

Τ

Τίμων· ὅτος δὲ καλεῖται ὁ Σίμων, ἐν παλαιοῖς τισὶν ἀντιγράφοις. 446

Φ

Φαίδων. 101
Φερεκύδης. 54
Φιλόλαος. 396

Χ

Χείλων. 30
Χρύσιππος. 350

DEBRECENI EGYETEMI KÖNYVTÁR
1725 1950 gyarapodási napló szám

BIBLIOTECA CENTRAL

720056